www.tezaurliturgic.ro

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΥΡΗΝΗΣ ΑΘΑΝΑΣΙΟΥ ΚΥΚΚΩΤΟΥ

# Ο ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΓΕΩΡΓΙΟΣ Ο ΤΡΟΠΑΙΟΦΟΡΟΣ

Μετ᾽ Ἀκαθίστου Ὕμνου ποιηθέντος
ὑπὸ τοῦ Δρος Χαραλάμπους Μπούσια
Μεγάλου Ὑμνογράφου
τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας



Ἔκδοσις Ἱερᾶς Μητροπόλεως Κυρήνης
ΑΘΗΝΑΙ 2014

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# Ο ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΓΕΩΡΓΙΟΣ
# Ο ΤΡΟΠΑΙΟΦΟΡΟΣ

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΚΥΡΗΝΗΣ ΑΘΑΝΑΣΙΟΥ ΚΥΚΚΩΤΟΥ

# Ο ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΓΕΩΡΓΙΟΣ Ο ΤΡΟΠΑΙΟΦΟΡΟΣ

Μετ᾽ Ἀκαθίστου Ὕμνου ποιηθέντος
ὑπὸ Δρος Χαραλάμπους Μπούσια,
Μεγάλου Ὑμνογράφου
τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

ΕΚΔΙΔΕΤΑΙ
ΕΠΙ ΤΗ ΕΚ ΒΑΘΡΩΝ ΑΝΑΚΑΙΝΙΣΕΙ
ΥΠΟ ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΠΑ ΚΑΙ ΠΑΤΡΙΑΡΧΟΥ
ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ Β΄
ΤΗΣ ΙΕΡΑΣ ΘΕΟΒΑΔΙΣΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΜΟΝΗΣ
ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ ΚΑΪΡΟΥ ΚΑΙ ΤΗ ΑΓΟΜΕΝΗ
ΔΕΚΑΕΤΗΡΙΔΙ ΤΗΣ ΕΥΣΗΜΟΥ ΠΑΤΡΙΑΡΧΙΚΗΣ
ΔΙΑΚΟΝΙΑΣ ΑΥΤΟΥ

ΑΘΗΝΑΙ 2014

www.tezaurliturgic.ro

ΤΑ ΣΤΟΙΧΕΙΑ ΤΟΥ ΒΙΒΛΙΟΥ:

**1. Κείμενον**
*Συγγραφεύς:* Σεβασμιώτατος Μητροπολίτης Κυρήνης Ἀθανάσιος Κυκκώτης

**2. Ἀκάθιστος Ὕμνος εἰς τὸν Ἅγιον Ἔνδοξον Μεγαλομάρτυρα Δρακοντοκτόνον Γεώργιον τὸν Τροπαιοφόρον**

*Ποιητής:*
Μέγας Ὑμνογράφος τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας Δρ Χαράλαμπος Μπούσιας

*Ἐπιμελητής:*
Μέγας Ὑμνογράφος τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας Δρ Χαράλαμπος Μπούσιας

*Χορηγός:* Ῥωμανὸς Παγκράτωφ

Αἱ εἰκόνες προέρχονται ἐκ τοῦ κειμηλιαρχείου τοῦ Μητροπολίτου Κυρήνης, κ.κ. Ἀθανασίου.

ISBN: 978-9963-2926-2-2

Ἐκδοτικὴ παραγωγὴ

ΕΠΤΑΛΟΦΟΣ
ΕΚΔΟΤΙΚΕΣ ΕΠΙΧΕΙΡΗΣΕΙΣ

ΕΠΤΑΛΟΦΟΣ Α.Β.Ε.Ε.
Ἀρδηττοῦ 12-16, 116 36 Ἀθήνα
Τηλ.: 210.921.7513, 210.921.4820 • Fax: 210.923.7033
www.eptalofos.gr • e-mail: info@eptalofos.gr

www.tezaurliturgic.ro

Τῷ Μακαριωτάτῳ Πάπᾳ καὶ Πατριάρχῃ Ἀλεξανδρείας
Κυρίῳ Κυρίῳ Θεοδώρῳ τῷ Β΄,
ἔτους τούτου ἄγοντι τὴν ἱερὰν σύναξιν
τῆς εὐσήμου Πατριαρχικῆς διακονίας Αὐτοῦ
καὶ ἀνακαινίσαντι ἐκ βάθρων τὴν Ἱερὰν Θεοβάδιστον
Πατριαρχικὴν Μονὴν τοῦ Ἁγίου Γεωργίου
ἐν τῷ Παλαιῷ Καΐρῳ θεοσημίᾳ, ἅτε ἐκ Κυρήνης ὁρμηθέντι,
ἐν ᾗ καὶ τὸ θαῦμα τοῦ Ἁγίου Γεωργίου
τῆς ἀναιρέσεως τοῦ βυθίου δράκοντος γέγονε,
ἡ περὶ τοῦ Ἁγίου Γεωργίου βίβλος ἥδε
Κυρηναϊκῇ ὀφειλῇ ἀφιεροῦται.

† Ὁ Κυρήνης Ἀθανάσιος

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

Τῷ εὐγενεῖ χορηγῷ
κυρίῳ Ῥωμανῷ Παγκράτωφ
ἄγονται θερμαὶ εὐχαριστίαι.



www.tezaurliturgic.ro

Ἡ Ὀρθόδοξος Ἐκκλησία τηρεῖ ὡς ἀνεκτίμητον περιουσιακόν αὐτῆς στοιχεῖον τήν ἐμπειρίαν τοῦ μαρτυρίου. Ἡ ἐμπειρία τοῦ μαρτυρίου ἐχάλκευσε τό φρόνημα τῶν Χριστιανῶν καί ἤρδευσε τήν προσμονήν τῆς σωτηρίας, κατά τόν προφητικόν λόγον τοῦ Χριστοῦ *«ὁ δέ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται»* (Ματθ. 10,22). Πρότυπον δέ καταξιώσεως τοῦ μακαρισμοῦ τοῦ Χριστοῦ *«μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καί διώξωσι καί εἴπωσι πᾶν πονηρόν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ»* (Ματθ. 5,11), ἀνεδείχθη διά τῆς βιοτῆς καί τῆς μαρτυρικῆς τελευτῆς του ὁ Μεγαλομάρτυς Γεώργιος.

Ἡ παλαίφατος Ἐκκλησία τῆς Ἀλεξανδρείας ἐξαιρέτως τιμᾷ τόν Τροπαιοφόρον Ἅγιον ἐν τῇ φερωνύμῳ Πατριαρχικῇ Μονῇ, τῇ εὑρισκομένῃ ἐν Παλαιῷ Καΐρῳ καί ἀποτελούσῃ πανορθόδοξον καί παναθρώπινον προσκύνημα μεγάλης θρησκευτικῆς καί πνευματικῆς σπουδαιότητος. Ἡ Ροτόντα αὐτή τῆς Ἀνατολῆς, ἡ ἑδραζομένη ἐπί τριωρόφου κυκλοτεροῦς ρωμαϊκοῦ πύργου τοῦ 1ου μ.Χ. αἰῶνος, προσφάτως ἐστερεώθη καί ἐκ βάθρων ἀνεστηλώθη ἐξόδοις τῆς εὐσεβοῦς οἰκογενείας τοῦ Ἀθανασίου Μαρτίνου.

Ὅθεν ἡ μετά χεῖρας πραγματεία περί τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, συνταχθεῖσα ὑπό τοῦ Σεβασμιωτάτου Μητροπολίτου Κυρήνης κυρίου Ἀθανασίου καί παραδοθεῖσα τύποις νυνδή ἐπί τῷ ἐγκαινισμῷ τῆς Πατριαρχικῆς Μονῆς αὐτοῦ ἐν τῷ Παλαιῷ Καΐρῳ καί ἐπί τῇ δεκαετηρίδι τῆς πατριαρχικῆς ἡμῶν διακονίας, ἐπιστέφει συμβολικῷ τῷ τρόπῳ τό ὅλον τοῦτο ἔργον, συντρεχούσης καί τῆς παραδόσεως τῆς θαυματουργοῦ δρακοντοκτονίας ἐν Κυρήνῃ, τῇ θεαρέστως ποιμαινομένῃ ὑπό τοῦ κομίσαντος τήν παροῦσαν πραγματείαν Σεβασμιωτάτου Μητροπολίτου κυρίου Ἀθανασίου. Ἀπονέμομεν δέ αὐτῷ τήν Πατριαρχικήν ἡμῶν εὐαρέσκειαν, ἐπικαλούμενοι ἐπ' αὐτόν τάς πρός Θεόν πρεσβείας τοῦ ἀξιωθέντος τό βραβεῖον τῆς ἐν Χριστῷ ἀληθείας Ἁγίου Γεωργίου.

† Ἀλεξανδρείας Θεόδωρος Β΄

Ἐν τῇ Μεγάλῃ Πόλει
τῆς Ἀλεξανδρείας
τῇ 21ῃ Ἰουνίου 2014



www.tezaurliturgic.ro

# ΕΙΣΑΓΩΓΙΚΟΝ ΣΗΜΕΙΩΜΑ

Ἡ μετὰ χεῖρας πραγματεία περὶ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, ἐρχομένη ἐν τοῖς παροῦσι καιροῖς τῆς ὀρθολογικῆς κριτικῆς τῶν πάντων καὶ τῆς ἀμφισβητήσεως τῶν Ἁγίων καὶ τῶν θαυμάτων, ἀκολουθεῖ ἀναγκαίως ἰδίᾳ πορείᾳ. Ἀσχοληθέντες νεωστὶ πρὸς τοὺς Ἁγίους τῆς λαχούσης ἡμῖν Μητροπόλεως Κυρήνης, πάντως κατὰ χάριν Θεοῦ καὶ οὐ κατὰ τὰς βραχείας δυνάμεις ἡμῶν, ἐμάθομεν ὅτι ὁ βίος τῶν Ἁγίων, ἐνέχων τὴν διάστασιν τῆς πίστεως καὶ τοῦ ἐπέκεινα, δεῖται ἰδίας πραγματεύσεως, οὐχὶ τῆς περιωρισμένης ὀρθολογικῆς.

Ὁ βίος τῶν Ἁγίων περιέχει τὰ θαύματα τοῦ Χριστοῦ, τὰ ἀρχέτυπα θαύματα ἐπαναλαμβανόμενα. Τὸ θαῦμα εἶναι πνευματικὴ ἐνέργεια τοῦ Χριστοῦ, οὐχὶ στιγμαίας διαρκείας, ἀλλὰ διαρκοῦσα εἰς τοὺς αἰῶνας. Οἱ Ἅγιοι κατὰ χάριν τελεσιουργοῦσι τὰ αἰώνια θαύματα τοῦ Χριστοῦ ἐν τῷ κόσμῳ.

Τὰ μαρτύρια τῶν Ἁγίων εἶναι ἡ πνευματικὴ διάστασις τῆς ζωῆς αὐτῶν, τελεσιουργούσης τὴν ἐπίγειον ζωὴν καὶ τὸ Πάθος τοῦ Χριστοῦ. Τὰ μαρτύρια εἶναι προσωπικὰ τοῖς Ἁγίοις, ἀλλ᾽

ἔχουσι κοινὴν θεματολογίαν. Οἱ Μάρτυρες ἐπιθυμοῦσι τὸ Μαρτύριον, ὡς ἀπόλυτον ἀφοσίωσιν πρὸς τὸν Χριστόν, προετοιμάζονται, ὁμολογοῦσι, μαρτυροῦσι, νικῶσι, στεφανοῦνται.

Διὰ τῶν θαυμάτων ὁ Χριστὸς ἑνοῖ τὸ παρὸν τοῦ ἀνθρώπου πρὸς τὸ ἐπέκεινα τοῦ Θεοῦ, σημαίνει τὸ σωτήριον Πάθος Αὐτοῦ καὶ προεικονίζει τὴν οὐράνιον βασιλείαν. Ὁ Χριστὸς ἑνοῖ τὰ οὐράνια καὶ τὰ ἐπίγεια εἰς τὸν αἰῶνα ἐν τῇ Ἐκκλησίᾳ Αὐτοῦ, τελεσιουργῶν τὰ Ἅγια Μυστήρια τῆς σωτηρίας διὰ τῶν Ἁγίων Αὐτοῦ.

Ὁ βίος τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, ὡς μέρος τοῦ ὅλου, ἐπιβεβαιουμένου ὑπ᾽ αὐτοῦ, ἐν τῇ μετὰ χεῖρας πραγματείᾳ δὲν παρουσιάζεται μεμονωμένος καὶ ἀφ᾽ ἑαυτοῦ αὐτάρκης, ἀλλ᾽ ἐντεταγμένος ἐν τῇ οἰκείᾳ ἑνότητι. Ἡ ἑνότης αὕτη, ἀπεικονίζουσα τὴν ἐν τῷ κόσμῳ καὶ τῷ ἐπέκεινα ὑπόστασιν τῶν Ἁγίων, ἀποτελεῖ καὶ τὸ παράδειγμα προσεγγίσεως καὶ παρουσιάσεως αὐτῶν. Οἱ Ἅγιοι ἀποτελοῦσι ψηφῖδας ἐν τῷ καθόλου, εἰκονιζούσας τοῦτο. Ἄνευ τοῦ καθόλου, δὲν ὑπάρχει τὸ ἐπὶ μέρους αὐτῶν. Ἑπομένη τῇ οὐσίᾳ ταύτῃ καὶ ἡ πρωτόλειος πραγματεία ἥδε περὶ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, πορεύεται, οὐχὶ τὴν γραμμικήν, ἀλλὰ τὴν κύκλῳ φέρουσαν ὁδόν, τὴν θεώρησιν δηλονότι τοῦ ἑνὸς ἐν τῷ ὅλῳ, ὅπερ ἐστὶν ὁ ἐνανθρωπήσας Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Ἔνθεν τοι καὶ ἡ ἐν κύκλῳ θεματολογία αὐτῆς συμπεριλαμβάνει τάδε:

- *Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ τὰ θαύματα Αὐτοῦ*
- *Ὁ Ἀρχιστράτηγος Ἀρχάγγελος Μιχαὴλ καὶ τὰ θαύματα αὐτοῦ*
- *Οἱ στρατιωτικοὶ Ἅγιοι καὶ τὰ θαύματα αὐτῶν*
- *Ὁ Ἅγιος Μεγαλομάρτυς Γεώργιος ὁ Τροπαιοφόρος*

www.tezaurliturgic.ro

# ΠΡΟΛΕΓΟΜΕΝΑ

## ΤΑ ΘΑΥΜΑΤΑ ΤΩΝ ΑΓΙΩΝ ΘΑΥΜΑΤΑ ΧΡΙΣΤΟΥ

*«Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει»* (Ἰω ιδ΄ 12)

Ὁ τὰ πάντα μυστικῶς διατιθεὶς Θεὸς μυστικῶς διέθηκε καὶ τὴν ἐκ βάθρων ἀνακαίνισιν τῆς ἐν Καΐρῳ Ἱερᾶς Θεοβαδίστου Πατριαρχικῆς Μονῆς τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου. Ἰδοὺ ἡ ἀνακαίνισις αὕτη διὰ τῶν ἄρτι ἐπιβαινόντων ἑορτασμῶν καθίσταται κέντρον ἀναφορᾶς τῆς Πανορθοδοξίας. Αὕτη ἐγένετο εὐλογίᾳ Θεοῦ ὑπὸ τοῦ Μακαριωτάτου Πάπα καὶ Πατριάρχου Ἀλεξανδρείας Κυρίου Κυρίου Θεοδώρου τοῦ Β΄, στεφανώσασα, ὡς ἀπαστράπτων ἀδάμας χάριτος, τὴν δεκαετίαν τῆς Πατριαρχικῆς διακονίας αὐτοῦ, καρποφορούσης τῆς εὐσεβοῦς οἰκογενείας Ἀθανασίου Μαρτίνου. Ὁ τανῦν λαμπρύνων τὸν Θρόνον τοῦ Ἀποστόλου Μάρκου Προκαθήμενος ὡρμήθη ἐκ Κυρήνης. Ἡ Ἀλεξάνδρεια καὶ ἡ Κυρήνη ἔχουσι παλαιόθεν

ἀγχιστείας δεσμούς. Ἱδρυτὴς τῶν Ἐκκλησιῶν ἀμφοτέρων ὑπῆρξεν ὁ Ἀπόστολος καὶ Εὐαγγελιστὴς Μᾶρκος. Ὁ διὰ τῶν πανορθοδόξων τούτων ἑορτασμῶν νῦν ἄρτι τιμώμενος Ἅγιος Μεγαλομάρτυς Γεώργιος ὁ Τροπαιοφόρος ἔσχε παρουσίαν ἐν Αἰγύπτῳ καὶ ἐποίησε τὸ θαῦμα τῆς ἀναιρέσεως τοῦ βυθίου δράκοντος ἐν Κυρήνῃ.

Συναγαλλόμενοι ἐπὶ τοῖς ὑπὸ τοῦ Θεοῦ μυστικῶς διατεθεῖσι πᾶσι τούτοις, ἰδοὺ παραδίδομεν τύποις πρωτόλειον κατὰ δύναμιν πραγματείαν περὶ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου. Τὴν πραγματείαν ταύτην κοσμεῖ κάλλει Ἀκάθιστος Ἀκολουθία αὐτοῦ, ποιηθεῖσα προτροπῇ ἡμετέρᾳ ὑπὸ τοῦ φιλτάτου ἡμῖν ἐλλογιμωτάτου Μεγάλου Ὑμνογράφου τοῦ Πατριαρχείου Ἀλεξανδρείας κυρίου Χαραλάμπους Μπούσια, ᾧ ὡς πλείστας χάριτας ὁμολογοῦμεν.

Ἐν τῇ παγκοσμίῳ Ἱστορίᾳ τὴν πρώτην θέσιν ἐπὶ θαυμασίοις καὶ ἀπαραβλήτοις ἔργοις πανθομολογουμένως κατέχει ὁ νεαρὸς βασιλεὺς τῆς Μακεδονίας Ἀλέξανδρος, ὁ ἀποκληθεὶς Μέγας. Τὴν αὐτὴν θέσιν ἐν τοῖς Ἁγίοις κατέχει ὁ νεαρὸς μάρτυς τοῦ Χριστοῦ Γεώργιος, ὁ τῶν αἰχμαλώτων ἐλευθερωτής, τῶν πτωχῶν ὑπερασπιστής, τῶν ἀσθενούντων ἰατρὸς καὶ τῶν βασιλέων ὑπέρμαχος, ὁ δικαίως ἀποκληθεὶς Μεγαλομάρτυς καὶ Τροπαιοφόρος. Ἂν ὁ βίος καὶ ἡ πολιτεία αὐτοῦ οὐ γινώσκονται ὑπὸ τῶν πολλῶν, ὅμως ἡ ἀναίρεσις ὑπ᾽ αὐτοῦ τοῦ βυθίου δράκοντος τυγχάνει ἔναυλος τοῖς πᾶσι. Ἡ σημερινὴ νομοκρατουμένη διανόησις ἀρνεῖται τοὺς Ἁγίους καὶ τὰ θαύματα αὐτῶν, προσέτι καὶ τὰ θαύματα καὶ τὴν Ἀνάστασιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἔνθεν τοι καὶ ἡ ἐπιβεβλημένη ἡμῖν ἀφήγησις περὶ τοῦ Ἁγίου Γεωργίου οὐκ ἔσται ἁπλῶς γραμμική, ἱστοροῦσα τὴν καταγωγήν, τὴν βιοτήν, τὴν ὁμολογίαν πίστεως, τὰ θαύματα, τὸ μαρτύριον καὶ τὴν διηνεκῆ παρουσίαν καὶ

προστασίαν αὐτοῦ ἐν τῷ κόσμῳ, ἀλλ᾽ ἐξαιρέτως παραγωγική, ἀρχομένη ἀπὸ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ χαριζομένου τοῖς κλητοῖς Αὐτοῦ τὴν ἁγιότητα καὶ τὴν θαυματουργίαν. Ὁ Ἅγιος Γεώργιος εἶναι ὁ ἀρχηγέτης τῶν καλουμένων στρατιωτικῶν Ἁγίων. Οἱ Ἅγιοι οὗτοι καλοῦνται στρατιωτικοί, οὐχὶ διότι ἔχυσαν αἵματα ἐχθρῶν, ἀλλὰ διότι κατετρόπωσαν τὸν Ἑωσφόρον, ἐπαναλαμβάνοντες τὸ ἐν οὐρανοῖς θαῦμα τοῦ Ἀρχαγγέλου Μιχαήλ, οἱανδήποτε μεταμόρφωσιν καὶ ἂν εἶχεν ὁ ἀντίθεος οὗτος, εἴτε ὡς δράκων, εἴτε ὡς Μαξιμιανός, εἴτε ὡς ἄλλος τις πολέμιος τῆς πίστεως. Ἡ Ὀρθόδοξος Ἐκκλησία καλεῖ τοὺς Ἁγίους τούτους Μεγαλομάρτυρας, εἰκονίζουσα αὐτοὺς ὡς σταυροφόρους, διότι διὰ τοῦ μαρτυρίου αὐτῶν ἐμιμήθησαν τὴν Σταύρωσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Κατὰ ταῦτα ἡ ἡμετέρα παραγωγικὴ πραγματεία ἕξει τὸ σχῆμα: Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ Θεὸς ἡμῶν, ἡ πηγὴ πάντων τῶν ἀγαθῶν, ἡ ἐν Χριστῷ ἁγιότης καὶ θαυματουργία, οἱ στρατιωτικοὶ Ἅγιοι καὶ ὁ ἀρχηγέτης αὐτῶν Ἅγιος Γεώργιος. Ἡ ἀλληλουχία αὕτη φωτίζει καὶ ἑρμηνεύει τὴν ἁγιότητα καὶ τὴν θαυματουργίαν τοῦ Ἁγίου Γεωργίου δι᾽ ὅρων τῆς πίστεως ἡμῶν. Τῇ ἀφηγήσει προστίθεται ἥ τε διηνεκὴς παρουσία καὶ προστασία τοῦ Ἁγίου Γεωργίου ἐν τῷ κόσμῳ καὶ ἡ πρόσληψις αὐτοῦ ἐν τῷ λαϊκῷ βίῳ καὶ ταῖς παραδόσεσι.

Κατὰ τοὺς Πατέρας τῆς Ἐκκλησίας ὁ Θεὸς εἶναι ἐπέκεινα νοῦ καὶ νοήσεως, ἀπερινόητος καὶ ἀπερίγραπτος. Γινώσκεται διὰ τῆς ἀποκαλύψεως, οὐχὶ διὰ τῆς λογικῆς. Ὁ ἄνθρωπος γινώσκει, οὐχὶ τὴν οὐσίαν τοῦ Θεοῦ, ἀλλὰ τὰ περὶ τὸν Θεόν, τὰς ἐνεργείας τοῦ Θεοῦ. Κατὰ τὴν Ὀρθοδοξίαν αἱ ἐνέργειαι τοῦ Θεοῦ οὔκ εἰσι κτισταί, ἀλλ᾽ ἄκτιστοι. Οἱ Ἅγιοι τοῦ Θεοῦ δι᾽ ἀσκήσεως δύνανται νὰ ἴδωσιν ἕκαστος ἐν τῷ ἰδίῳ μέτρῳ τὸ ἄκτιστον φῶς τοῦ Θεοῦ, τὴν περιλάμπουσαν τὸν Χριστὸν δόξαν κατὰ τὴν Με-

ταμόρφωσιν Αὐτοῦ. Ἐνανθρωπήσας ὁ Θεός, ἀπεκάλυψεν ἡμῖν ἑαυτόν. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς αὐτοαποκαλύπτεται ὡς ἡ μόνη Ἀλήθεια, ἣν κατέχει ἡ Ἐκκλησία Αὐτοῦ.

Ὁ Θεὸς εἶναι ἐπέκεινα παντός. Ὡς ἐπέκεινα παντός, εἶναι παντελεύθερος, ὑπ᾽ οὐδενὸς δεσμευόμενος, οὐδὲ τόπου, οὐδὲ χρόνου, οὐδὲ νόμου, οὐδ᾽ ἄλλου τινός. Ἂν ὑπέκειτο περιορισμῷ τινι, οὐκ ἂν ἦν Θεός. Ὡς παντελεύθερος, εἶναι πανταχοῦ παρών, εἶναι αἰώνιος, ἄναρχος καὶ ἀτελεύτητος, ὁ ἦν, ὁ ὢν καὶ ὁ ἐσόμενος, εἶναι παντοδύναμος, ὑπεράνω τῶν φυσικῶν νόμων λειτουργίας τοῦ σύμπαντος, εἶναι παντογνώστης, γνώστης τῶν παρελθόντων, τῶν παρόντων καὶ τῶν μελλόντων.

Ὁ Θεὸς εἶναι ἡ ἀπόλυτος πηγὴ παντὸς ἀγαθοῦ, τῆς ἀγαθότητος, τῆς ἁγιότητος, τοῦ ἐλέους, τῆς δικαιοσύνης, τῆς ἀγάπης. Εἶναι ὁ πανάγαθος, ὁ πανάγιος, ὁ πολυέλεος, ὁ δίκαιος, ἡ αὐτοαγάπη. Ἄνευ Θεοῦ, ὡς πηγῆς τῶν ἀγαθῶν, ὁ ἄνθρωπος ἐν τῇ κοινωνίᾳ αὐτοῦ θὰ καθίστατο λύκος.

Ὁ κόσμος, ὡς ῥέων, ἔχει τὴν ἀπαρέγκλιτον νομοτέλειαν αὐτοῦ. Ἀλλ᾽ ὁ Θεός, ὡς παντελεύθερος, διανοίγει πύλας μεταξὺ τοῦ ἐπέκεινα Αὐτοῦ καὶ τοῦ νομοκρατουμένου ῥέοντος κόσμου. Ἡ ἐλευθέρα ἐνέργεια τοῦ Θεοῦ ἐν τῷ νομοκρατουμένῳ ῥέοντι κόσμῳ καλεῖται θαῦμα. Τὸ Εὐαγγέλιον καταγράφει θαύματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατὰ τὴν ἐπίγειον ζωὴν Αὐτοῦ. Οἱ Ἅγιοι δι᾽ ἀσκήσεως διανοίγουσι πύλην ἐπικοινωνίας πρὸς τὸ ἐπέκεινα τοῦ Θεοῦ καὶ λαμβάνουσι τὴν χάριν νὰ τελῶσι θαύματα. Οἱ Ἅγιοι οὐ τελοῦσι θαύματα ἀφ᾽ ἑαυτῶν, ἀλλ᾽ ὁ Θεὸς τελεῖ θαύματα δι᾽ αὐτῶν. Τὰ θαύματα αὐτῶν οὐκ εἰσι νέα, ἀλλ᾽ ἐπανάληψις τῶν θαυμάτων τοῦ Χριστοῦ. Οἱ ἀρνούμενοι τὰ θαύματα ἀρνοῦνται τὸν Θεὸν καὶ τὴν θεότητα τοῦ Χριστοῦ.

Ἡ λέξις *θαῦμα* ἔσχε ποικίλας σημασίας. Ἐν τῇ ἀρχαίᾳ

www.tezaurliturgic.ro

Ἑλληνικῇ γλώσσῃ σημαίνει πᾶν ὅ,τι ἐμποιεῖ θαυμασμὸν τοῖς ὁρῶσι καὶ τοῖς ἀκούουσι. Ἐν τῇ ἐννοίᾳ ταύτῃ παραδίδονται τὰ ἑπτὰ θαύματα τοῦ ἀρχαίου κόσμου, ἐμποιοῦντα θαυμασμὸν διὰ τὸ κάλλος ἢ τὸ μέγεθος αὐτῶν. Κατὰ πληθυντικὸν ἡ λέξις σημαίνει κυρίως τὰ τεχνάσματα τῶν θαυματοποιῶν. Αὕτη ἔσχε καὶ τὴν ἔννοιαν πράξεως ἢ φαινομένου κατὰ παράβασιν τῶν φυσικῶν νόμων. Ἐν τῇ ἐννοίᾳ ταύτῃ παραδίδονται τὰ θαύματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰ καὶ ταῦτα δὲν ἀποσκοποῦσιν εἰς τὴν φύσιν -οὕτω δὲν θὰ εἶχον λόγον- ἀλλὰ τελοῦνται ἐν πνεύματι. Τὸ θαῦμα εἶναι ἡ ἔκτακτος ἐπέμβασις τοῦ Θεοῦ ἐν τῷ κόσμῳ, ἐν τῷ ἱστορικῷ γίγνεσθαι.

Διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καταργεῖται τὸ ἀξίωμα τοῦ φιλοσόφου Πλάτωνος, ὅτι θεὸς ἀνθρώποις οὐ μείγνυται. Ὁ Ἰησοῦς Χριστὸς εἶναι ὁ Θεάνθρωπος. Εἶναι τὸ δεύτερον πρόσωπον τῆς Ἁγίας Τριάδος, Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ὁμοούσιος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, ἀλλὰ καὶ ἄνθρωπος, προσλαβὼν διὰ τῆς ἐνανθρωπήσεως ἐκ Πνεύματος Ἁγίου καὶ τῆς Ἀειπαρθένου Μαρίας ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως καὶ ἀναλλοιώτως καὶ τὴν ἀνθρωπίνην φύσιν. Ἡ ἐνανθρώπησις ἀποτελεῖ ἀπροϋπόθετον προαιώνιον σχέδιον τοῦ Θεοῦ σωτηρίας καὶ θεώσεως τοῦ ἀνθρώπου. Ὁ Ἰησοῦς Χριστός, ὡς Θεός, παντελεύθερος, ἐπέκεινα παντὸς ὁρίου, τελεῖ θαύματα. Διανοίγει πύλας ἐπικοινωνίας μεταξὺ τοῦ ἐπέκεινα πνευματικοῦ κόσμου Αὐτοῦ καὶ τοῦ νομοκρατουμένου καὶ ῥέοντος ὑλικοῦ κόσμου τοῦ ἀνθρώπου. Ὁ Ἰησοῦς Χριστὸς ἐπαναλαμβάνει πάντοτε τὰ θαύματα Αὐτοῦ διὰ τῶν Ἁγίων Αὐτοῦ ἐν τῇ ἄνω καὶ τῇ ἐπιγείῳ Ἐκκλησίᾳ Αὐτοῦ.

Ἡ ἁγιότης τοῦ ἀνθρώπου ἀποτελεῖ δωρεὰν τοῦ Ἁγίου Πνεύματος, συνίσταται δὲ εἰς πίστιν, κάθαρσιν, φωτισμὸν καὶ θέωσιν δι᾽ ὧν διανοίγεται πύλη συμμετοχῆς εἰς τὸ ἐπέκεινα τοῦ

Θεοῦ. Ὁ κυριαρχούμενος ὑπὸ τοῦ ὀρθοῦ λόγου καὶ τῆς νομοτελείας ἄνθρωπος στομοῖ τὴν ἐπικοινωνίαν πρὸς τὸ ἐπέκεινα τοῦ Θεοῦ, ἀποξενούμενος τοῦ Θεοῦ καὶ ἀρνούμενος τὰ θαύματα. Μακρὰν τοῦ Θεοῦ ὁ ἄνθρωπος, τοποθετεῖ εἰς τὴν θέσιν Αὐτοῦ τὴν πρόοδον, ἀνακηρύσσει γνώμονα τῶν πράξεων αὐτοῦ τὴν ὀρθὴν συνείδησιν αὐτοῦ καὶ θεωρεῖ ὡς σκοπὸν τῆς ἄνευ ἐπέκεινα ζωῆς αὐτοῦ τὴν ἀπόλαυσιν ὡς πλείστην εὐτυχίαν. Ὁ τοιοῦτος ἄνθρωπος εἶναι πεπεδημένος ἐν τῇ ζωῇ, ὡς εἶναι πεπεδημένοι καὶ οἱ νεκροὶ ἐν τῷ Ἅδῃ. Οἱ Ἅγιοι, κοινωνοῦντες πρὸς τὸ ἐπέκεινα τοῦ Θεοῦ, λαμβάνουσι παρ᾽ Αὐτοῦ τὴν χάριν, ὅπως τελῶσι τὰ θαύματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Διατί ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατὰ τὴν ἐπίγειον παρουσίαν Αὐτοῦ τελεῖ θαύματα; Οὐδόλως ποιεῖ θαύματα, ἵνα ἀποδείξῃ τοῖς ἀνθρώποις ὅτι εἶναι Θεός. Ἂν ἤθελε νὰ ἀποδείξῃ τὴν θεότητα Αὐτοῦ, ὡς παντοδύναμος, ἠδύνατο νὰ καταπλήξῃ τα πλήθη, μεθιστῶν ὄρη καὶ ἐκκενῶν θαλάσσας. Ἀλλὰ τοιαῦτα ἔργα δὲν ἀποτελοῦσι θαύματα, διότι ταῦτα δύνανται νὰ συμβῶσι καὶ διὰ γεωλογικῶν ἀνακατατάξεων κατὰ τοὺς φυσικοὺς νόμους καὶ τὸ οὐσιαστικὸν στεροῦνται πνευματικῆς διαστάσεως. Τὰ θαύματα τοῦ Ἰησοῦ Χριστοῦ εἶναι ἐπακόλουθον πίστεως. Ἵνα τελέσῃ ὁ Ἰησοῦς Χριστὸς θαῦμα, ζητεῖ πρῶτον τὴν ὁμολογίαν πίστεως. Ἀφοῦ τελέσῃ τὸ θαῦμα, παραγγέλλει, ὅπως μὴ διαφημισθῇ τοῦτο ἐν τῷ κόσμῳ. Τὸ θαῦμα ἀποτελεῖ μυστήριον πνευματικόν, οὐχὶ φυσικὴν παρατήρησιν. Ὁ Ἰησοῦς Χριστὸς δὲν ἐπιθυμεῖ νὰ κατακτήσῃ τὰς καρδίας τῶν ἀνθρώπων διὰ καταπλήξεως, καταργῶν τὸ αὐτεξούσιον αὐτῶν. Ἡ βασιλεία τοῦ Θεοῦ ἐν τῷ προσώπῳ τοῦ Ἰησοῦ Χριστοῦ οὐκ ἔρχεται ἔξωθεν, ἀλλὰ γεννᾶται ἔνδον, ἐν τῇ ψυχῇ.

Εἰκόνες ἐκ τῆς Παλαιᾶς Διαθήκης καὶ πάγιοι συνειρμοὶ ἐν τῷ ἀνθρωπίνῳ βίῳ λειτουργοῦσιν ὡς σημαντικὴ τῶν θαυμά-

των. Ἡ διάβασις τῆς Ἐρυθρᾶς θαλάσσης ὑπὸ τῶν Ἑβραίων, ὁρίζουσα τὴν ἀπαλλαγὴν ἐκ τῆς δουλείας τοῦ Φαραὼ καὶ τὴν μετάβασιν εἰς τὴν ἐλευθερίαν τῆς Γῆς τῆς Ἐπαγγελίας, ἐσήμανε τὸ ἑβραϊκὸν Πάσχα. Ἡ ἐν τῷ σταυρῷ θυσία τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ Ἀνάστασις Αὐτοῦ κατὰ τὸ ἑβραϊκὸν Πάσχα ἐσήμανε τὸ χριστιανικὸν Πάσχα, καθ' ὃ ἐπατήθη ὁ θάνατος καὶ ἐχαρίσθη τοῖς πιστοῖς ἡ αἰώνιος ζωή. Τὸ Πάσχα τοῦ Χριστοῦ εἶναι ἡ μετάβασις ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Αἱ κακουχίαι τῶν Ἑβραίων ἐν τῇ ἐρήμῳ πρὸ τῆς εἰσόδου εἰς τὴν Γῆν τῆς Ἐπαγγελίας ἐσήμαναν τοὺς ἀγῶνας τῆς Ἐκκλησίας πρὸς εἴσοδον εἰς τὴν οὐράνιον βασιλείαν. Ἡ ἀναχώρησις τῶν ἀσκητῶν ἐκ τοῦ κόσμου δὲν σημαίνει ἀπαξίωσιν τούτου, ἀλλὰ δημιουργίαν συνθηκῶν γονίμου σωτηρίου ἐρήμου. Αἱ μοναί, ἐν αἷς ἀσκοῦνται νυχθημερὸν οἱ ἀσκηταὶ καὶ οἱ πατέρες, εἶναι ἔρημος, παρέχουσα καλλίκαρπον καρποφορίαν, τὸ ἔπαθλον τοῦ Παραδείσου, τὴν καθίδρυσιν τῆς αἰωνίου ἀγάπης μετὰ τοῦ Χριστοῦ. Ὁ ἁγνὸς ἀμνός, ὁ θυόμενος ὑπὸ τῶν Ἑβραίων κατὰ τὸ Πάσχα αὐτῶν, ἵνα διὰ τῆς ἁγνότητος αὐτοῦ ἐξαλείψῃ τὰς ἁμαρτίας αὐτῶν καὶ καταστήσῃ αὐτοὺς ὁμοίως ἁγνούς, ἐσήμανε τὸν ἀναμάρτητον, ὑπέραγνον καὶ ἄμωμον Υἱὸν τοῦ Θεοῦ, ὅστις διὰ τῆς θυσίας Αὐτοῦ ἐξήλειψε τὰς ἁμαρτίας τοῦ κόσμου. Ὁμοίως ἡ περιστερά, σύμβολον τῆς ἁγνότητος, τῆς ἀγάπης καὶ τῆς εἰρήνης, ἐσήμανε τὴν καταλλαγὴν τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους, τὴν παρουσίαν τοῦ Ἁγίου Πνεύματος καὶ τὴν ἁγνὴν ψυχήν. Τὰ ἀπαραίτητα στοιχεῖα πρὸς ζωὴν καὶ εὐωχίαν, ὁ ἄρτος καὶ ὁ οἶνος, ἐσήμαναν τὴν οὐράνιον βρῶσιν καὶ πόσιν, τὸ σῶμα καὶ αἷμα τοῦ Χριστοῦ, καὶ τὸ ὕδωρ ἐσήμανε τὸ ζῶν ὕδωρ, τὴν χάριν καὶ τὰς δωρεὰς Αὐτοῦ. Τὸ ζείδωρον φῶς ἐσήμανε τὸν Χριστόν, ὅστις εἶναι τὸ ὑπερφάος, τὸ φῶς ἐκ φωτός. Τὸ μύρον ἐσήμανε τὴν χάριν τοῦ Ἁγίου Πνεύματος. Ἡ

πτῶσις τοῦ Ἑωσφόρου καὶ τῶν ἀγγέλων αὐτοῦ ἐπαναλαμβάνεται διηνεκῶς ἐν τῇ Ἐκκλησίᾳ διὰ τῆς κατανικήσεως τοῦ διαβόλου, τοῦ βυθίου δράκοντος καὶ τῶν δαιμονίων.

Ὅλον τὸ ἱερὸν Εὐαγγέλιον σημαίνει τὸ Πάθος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τὴν σωτηρίαν τοῦ ἀνθρώπου ἐν τῇ οὐρανίῳ βασιλείᾳ Αὐτοῦ. Τὰ ἐν αὐτῷ θαύματα τοῦ Χριστοῦ τὸ Πάθος Αὐτοῦ καὶ τὴν σωτηρίαν τοῦ πανανθρώπου σημαίνουσι.

Ὁ Χριστὸς ἐγκαινιάζει τὸ ἔργον τῆς Θείας Οἰκονομίας διὰ τῆς βαπτίσεως Αὐτοῦ. Ὁ Εὐαγγελιστὴς Ματθαῖος παραδίδει τὴν Βάπτισιν τοῦ Χριστοῦ, ὡς ἀκολούθως:

*«Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας*

*καὶ λέγων· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.*

*οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου λέγοντος· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.*

*αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον»* (Ματ γ´ 1-4).

*«Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ.*

*ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;*

*ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε ἀφίησιν αὐτόν·*

*καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν καὶ ἐρχόμενον ἐπ᾽ αὐτόν·*

*καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα»* (Ματ γ΄ 13-17).

Ὁ Εὐαγγελιστὴς Ἰωάννης παραδίδει τὴν Βάπτισιν τοῦ Χριστοῦ, ὡς ἀκολούθως:

*«Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.*

*οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν.*

*κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ᾿ ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων.*

*καὶ ἐμαρτύρησεν Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡς περιστερὰν ἐξ οὐρανοῦ καὶ ἔμεινεν ἐπ᾿ αὐτόν.*

*κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ᾿ ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ᾿ ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ᾿ αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ.*

*κἀγὼ ἑώρακα καὶ μεμαρτύρηκα ὅτι αὐτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.*

*τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰωάννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ δύο,*

*καὶ ἐμβλέψας τῷ Ἰησοῦ περιπατοῦντι λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ.*

*καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ»* (Ἰω α΄ 29-37).

Διατί ἐβαπτίσθη ὁ Χριστός; Ὁ ἀναμάρτητος Υἱὸς τοῦ Θεοῦ οὐκ εἶχεν ἀνάγκην μετανοίας καὶ καθάρσεως ἐν τῷ ὕδατι.

Ὁ Ἰωάννης κατέφυγεν εἰς τὴν ἔρημον καὶ ἔζη ἐν συνθήκαις ἐρήμου. Ἐνεδύετο ἔνδυμα ἐκ τριχῶν καμήλου καὶ δερματίνην ζώνην καὶ ἔτρωγεν ἀκρίδας καὶ ἄγριον μέλι. Ἐκήρυσσε με-

τάνοιαν καὶ ἐβάπτιζεν ἐν τῷ Ἰορδάνῃ ποταμῷ. Πάντα ταῦτα τὴν διάβασιν τῆς Ἐρυθρᾶς θαλάσσης, τὴν περιπλάνησιν ἐν τῇ ἐρήμῳ καὶ τὴν εἴσοδον τῶν σεσωσμένων εἰς τὴν Γῆν τῆς Ἐπαγγελίας σημαίνουσι. Βαπτιζόμενος ὁ Χριστός, ἐγκαθίσταται καὶ διακηρύττεται βασιλεὺς τοῦ καινοῦ κόσμου τοῦ Θεοῦ καὶ ἀρχηγέτης τῆς διαβάσεως τῶν ἀνθρώπων ἀπὸ τοῦ φθαρτοῦ κόσμου εἰς τὴν ἄφθαρτον βασιλείαν τῶν οὐρανῶν.

Ἡ διάβασις τῆς Ἐρυθρᾶς θαλάσσης ὑπὸ τῶν Ἑβραίων προσελάβετο σωτηριολογικὴν σημασίαν, ἐκφραζομένην διὰ τοῦ Πάσχα αὐτῶν, ὅρου, σημαίνοντος διάβασιν. Ταύτῃ ἀκολουθεῖ ἡ τεσσαρακονταέτις περιπλάνησις ἐν τῇ ἐρήμῳ ἐπὶ τῇ προσδοκίᾳ εἰσόδου εἰς τὴν Γῆν τῆς Ἐπαγγελίας. Οἱ δοκιμαζόμενοι ἐν τῇ ἐρήμῳ Ἑβραῖοι τοὺς ἐκπεσόντας ἐκ τοῦ Παραδείσου πρωτοπλάστους καὶ ποθοῦντας, ὅπως γένωνται καὶ πάλιν δεκτοὶ ἐν αὐτῷ, σημαίνουσι. Οἱ ἀναχωρηταὶ τῶν ἐρήμων ἐν τῇ Παλαιστίνῃ καὶ τῇ Αἰγύπτῳ τοὺς ποθοῦντας τὴν ἐπιστροφὴν εἰς τὸν Παράδεισον σημαίνουσι. Αἱ μοναὶ ἀποτελοῦσιν ἐρήμους, δι᾽ ὧν τελεῖται ἡ παλιννόστησις εἰς τὸν Παράδεισον. Αὐτὴ ἡ Ἐκκλησία εἶναι ἡ μεγάλη ἔρημος, ἡ εἰς σωτηρίαν ἄγουσα.

Τὸ ἑβραϊκὸν Πάσχα ὁλοκληροῦται διὰ τῆς θυσίας τοῦ ἐνιαυσίου πασχαλίου ἀμνοῦ, ὅστις διὰ τῆς ἁγνότητος αὐτοῦ καθαίρει τοὺς Ἑβραίους τῶν ἁμαρτιῶν αὐτῶν. Ἡ Βάπτισις τοῦ Χριστοῦ συμπεριλαμβάνει καὶ τὴν θυσίαν τοῦ Χριστοῦ ἐπὶ τοῦ σταυροῦ πρὸς σωτηρίαν τοῦ κόσμου.

Ὁρῶν Αὐτὸν ἐρχόμενον ὁ Ἰωάννης ὁ Βαπτιστής, ἀποκαλεῖ ἀμνὸν τοῦ Θεοῦ, ἐξαλείφοντα τὴν ἁμαρτίαν τοῦ κόσμου. Ὁ Χριστὸς διὰ τῆς Σταυρώσεως, τῆς εἰς Ἅδου καθόδου καὶ τῆς Ἀναστάσεως Αὐτοῦ καθίσταται ὁ ἀρχηγέτης τῆς διαβάσεως εἰς τὴν βασιλείαν τῶν οὐρανῶν τῶν ἀκολουθούντων Αὐτῷ, ἵνα ᾖ Αὐτὸς τὰ πάντα, ἐν πᾶσι πρωτεύων.

www.tezaurliturgic.ro

Κατὰ τὴν Βάπτισιν τοῦ Χριστοῦ τελεσιουργεῖται ἡ ἐπιφάνεια τοῦ τριαδικοῦ Θεοῦ. Ὁ Πατὴρ ἐπιφαίνεται διὰ τῆς φωνῆς ἐξ οὐρανῶν, ὁ Υἱὸς διὰ τῆς ἐν σώματι παρουσίας Αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ καὶ τὸ Ἅγιον Πνεῦμα ἐν εἴδει περιστερᾶς καταβαῖνον ἐπ᾽ Αὐτόν. Τὸ εἶδος τῆς περιστερᾶς τὴν καταλλαγὴν τοῦ Θεοῦ πρὸς τοὺς ἀνθρώπους σημαίνει. Ἡ περιστερὰ ἦν σύμβολον ἁγνότητος καὶ ἀγάπης. Διὰ τῆς προσκομιδῆς κλάδου ἐλαίας εἰς τὴν Κιβωτὸν τοῦ Νῶε, δηλοῦντος κατάπαυσιν τοῦ Κατακλυσμοῦ, αὕτη ἐγένετο καὶ σύμβολον εἰρήνης.

Ἐν τῇ Δύσει τὸ εἶδος τῆς περιστερᾶς ἐτυποποιήθη εἰς ἑραλδικὸν κρίνον, ἀποτελούμενον ἐκ τριῶν πετάλων, τοῦ μεσαίου ὀρθίου καὶ τῶν ἄλλων, κλινόντων ἐπὶ δεξιὰ καὶ ἀριστερά. Ὁ ἑραλδικὸς κρίνος συνεδέθη πρὸς τὸ γαλλικὸν στέμμα. Κατὰ τὴν παράδοσιν κρίνος, ὡς σύμβολον ἁγνότητος, ἐστάλη ἐξ οὐρανοῦ εἰς τὸν Φράγκον βασιλέα Κλόβις κατὰ τὴν βάπτισιν αὐτοῦ.

Ἡ Παναγία Θεοτόκος παριστάνεται ἐν τῇ εἰκονογραφίᾳ φέρουσα τρεῖς ἀστέρας, ἕνα ἐν τῷ μετώπῳ ἐπὶ τοῦ μαφορίου καὶ ἀνὰ ἕνα ἐν τοῖς ὤμοις, σημαίνοντας τὴν ἐπισκίασιν Αὐτῆς ὑπὸ τοῦ Ἁγίου Πνεύματος, ἀλλὰ καὶ τὴν Ἁγίαν Τριάδα, τὸ ἀειπάρθενον Αὐτῆς καὶ τὴν τριπλῆν ἐμφάνισιν Ἀγγέλου κατὰ τὸ ἔργον τῆς σωτηρίας, ἐν τῷ Εὐαγγελισμῷ, ἐν τῇ Γεννήσει καὶ τῇ Ἀναστάσει. Κατὰ μεταγενεστέραν Δυτικὴν ἐπίδρασιν ἡ Παναγία Θεοτόκος παριστάνεται φέρουσα, ἀντὶ ἀστέρων, ἑραλδικοὺς κρίνους μετὰ τοῦ αὐτοῦ σημαινομένου. Ὡς σημαντικὸς τῆς ἁγνότητος Αὐτῆς, ἐπλάσθη καὶ ὁ κρίνος τοῦ Εὐαγγελισμοῦ.

Κατὰ τὴν ἐποχὴν τῶν Παλαιολόγων ὁ Δυτικὸς ἑραλδικὸς κρίνος παρεστάθη ὡς δικέφαλος ἀετός. Οἱ Βυζαντινοὶ παρέλαβον τὸν δικέφαλον ἀετὸν παρὰ τῶν Περσῶν, παρ᾽ οἷς ἐδήλου τὸ ἀναγεννώμενον μαγικὸν πτηνόν. Ὡς σημαντικὸν τῆς Ἁγίας

Τριάδος, φέρει ἐν ἀναγλύφοις τρία στέμματα, ἓν ἐν τῷ μέσῳ καὶ ἀνὰ ἓν ἐπὶ τῶν κεφαλῶν. Ὁ δικέφαλος ἀετός, ὡς σημαντικὸς τῆς Ἁγίας Τριάδος, ἐγένετο ἔμβλημα τῆς Ὀρθοδόξου Ἐκκλησίας.

Ἐν τῷ ἱερῷ Εὐαγγελίῳ τὰ συμβάλλοντα εἰς τὴν συντήρησιν καὶ τὴν εὐφροσύνην τῆς ζωῆς, ἡ βρῶσις, ἡ πόσις καὶ τὸ φῶς, σημαίνουσι τὰ ἀνέκφραστα ἐπέκεινα ἀγαθά. Ὁ Χριστὸς ἀπεκάλυψεν Ἑαυτὸν ὡς ἄρτον ζωῆς καὶ ὡς φῶς τοῦ κόσμου. Τὸ μυστήριον τῆς σωτηρίας τοῦ ἀνθρώπου τελεῖται διὰ Πνεύματος, ὕδατος καὶ αἵματος:

*«Καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, τὸ Πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν»* (1Ἰω ε΄ 8).

Ἡ βάπτισις ἐν ὕδατι ἀποτελεῖ τελετουργίαν θεώσεως. Ὁ βαπτιζόμενος εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος ἀπεκδύεται τὸν παλαιὸν ἄνθρωπον τῆς φθορᾶς καὶ ἐνδύεται τὸν νέον τῆς ἀφθαρσίας. Κατὰ τὸν διάλογον πρὸς τὸν Νικόδημον ὁ Χριστὸς λέγει περὶ τοῦ Βαπτίσματος:

*«Ἀπεκρίθη Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ»* (Ἰω γ΄ 5).

Κατὰ τὸν διάλογον πρὸς τὴν Σαμαρείτιδα ὁ Χριστὸς λέγει περὶ τοῦ ζῶντος ὕδατος, δηλῶν διὰ τούτου τὴν δωρεὰν τῆς βασιλείας Αὐτοῦ:

*«Λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν;*

*μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ;*

*ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν·*

*ὃς δ᾽ ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ, ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον»* (Ἰω δ´ 11-14).

Τὸ ὕδωρ, μεταβαλλόμενον διὰ θαύματος εἰς οἶνον, τὴν εὐωχίαν ἐν τῇ γαμηλίῳ τραπέζῃ τοῦ Χριστοῦ ἐν οὐρανοῖς σημαίνει. Ἐκ τῆς νύξεως τῆς πλευρᾶς τοῦ Χριστοῦ ἐπὶ τοῦ σταυροῦ ἐξῆλθεν αἷμα καὶ ὕδωρ. Τὸ ὕδωρ τὸ μυστήριον τοῦ Βαπτίσματος σημαίνει καὶ τὸ αἷμα τὸ μυστήριον τῆς Θείας Εὐχαριστίας.

Περὶ τοῦ ἄρτου τῆς ζωῆς ὁ Χριστὸς λέγει:

*«Εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ μὴ διψήσῃ πώποτε»* (Ἰω στ´ 35).

*«Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον.*

*ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς.*

*οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον·*

*οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ.*

*ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς»* (Ἰω στ´ 47-51).

Ὁ ἄρτος καὶ ὁ οἶνος διὰ τῆς ἐπικλήσεως τοῦ Ἁγίου Πνεύματος κατὰ τὸ μυστήριον τῆς Θείας Εὐχαριστίας μεταβάλλονται εἰς σῶμα καὶ αἷμα Χριστοῦ. Περὶ τοῦ μυστηρίου τῆς Θείας Εὐχαριστίας λέγει:

*«Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ*

*φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.*

*ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.*

*ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις.*

*ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ»* (Ἰω στ΄ 53-56).

Περὶ τοῦ φωτὸς τοῦ κόσμου ὁ Χριστὸς λέγει:

*«Πάλιν οὖν αὐτοῖς ὁ Ἰησοῦς ἐλάλησε λέγων· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ᾽ ἕξει τὸ φῶς τῆς ζωῆς»* (Ἰω η΄ 12).

Κατὰ τὴν Μεταμόρφωσιν Αὐτοῦ ἐν τῷ ὄρει Θαβὼρ ἐπιτρέπει εἰς τρεῖς μαθητὰς Αὐτοῦ, ὅπως ἀτενίσωσιν ἐν τῷ προσώπῳ Αὐτοῦ τὸ ἄκτιστον φῶς, τὸν ἐπέκεινα κόσμον τοῦ Θεοῦ. Ὁ Εὐαγγελιστὴς Ματθαῖος παραδίδει τὴν ὄψιν, ὡς ἀκολούθως:

*«Καὶ μεθ᾽ ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ᾽ ἰδίαν.*

*καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡς τὸ φῶς.*

*καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας μετ᾽ αὐτοῦ συλλαλοῦντες.*

*ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν καὶ Μωσεῖ μίαν καὶ μίαν Ἠλίᾳ.*

*ἔτι δὲ αὐτοῦ λαλοῦντος ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν*

*αὐτούς, καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε.*

*καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν καὶ ἐφοβήθησαν σφόδρα. καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο αὐτῶν καὶ εἶπεν· ἐγέρθητε καὶ μὴ φοβεῖσθε.*

*ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον εἰ μὴ τὸν Ἰησοῦν μόνον.*

*καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων·*

*μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ»* (Ματ ιζ΄ 1-9).

Ὁ Εὐαγγελιστὴς Λουκᾶς παραδίδει ὅτι οἱ ἐμφανισθέντες κατὰ τὴν Μεταμόρφωσιν Μωυσῆς καὶ Ἠλίας συνωμίλουν πρὸς τὸν Χριστὸν καὶ ἔλεγον περὶ τῆς Σταυρώσεως καὶ Ἀναστάσεως Αὐτοῦ ἐν Ἱερουσαλὴμ:

*«Καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωυσῆς καὶ Ἠλίας, οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλὴμ* (Λκ θ΄ 30-31).

Ἡ Μεταμόρφωσις τοῦ Χριστοῦ ἐγένετο ἐν ὄρει ὑψηλῷ. Κατ᾽ αὐτὴν παρευρίσκοντο τρεῖς μαθηταί, οὓς ἐπεσκίασε νεφέλη φωτεινή. Τὸ ὕψος τὸ ἐπέκεινα, ἀλλὰ καὶ τὸ ἐγγὺς τῆς παρουσίας τοῦ Θεοῦ σημαίνει. Ὁμοίως ὁ ἀριθμὸς τρία καὶ ἡ ἐπισκίασις τῆς νεφέλης. Καὶ ἐν τῇ Βαπτίσει καὶ ἐν τῇ Μεταμορφώσει ἀκούεται ἡ φωνὴ τοῦ Πατρός, πιστοποιοῦσα τὸν ἀγαπητὸν Υἱὸν Αὐτοῦ. Ὡς ἐν τῇ Βαπτίσει, οὕτω καὶ ἐν τῇ Μεταμορφώσει σημαίνεται καὶ ἡ σταυρικὴ θυσία πρὸς σωτηρίαν τῶν ἀνθρώπων.

Ὁ Εὐαγγελιστὴς Ματθαῖος παραδίδει τὴν περιπάτησιν τοῦ Χριστοῦ ἐπὶ τῆς θαλάσσης, ὡς ἀκολούθως:

*«Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους.*

*καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ᾽ ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ.*

*τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος.*

*τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς περιπατῶν ἐπὶ τῆς θαλάσσης.*

*καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα ἐταράχθησαν λέγοντες ὅτι φάντασμά ἐστι, καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν.*

*εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς λέγων· θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε.*

*ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπε· Κύριε, εἰ σὺ εἶ, κέλευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα.*

*ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν πρὸς τὸν Ἰησοῦν·*

*βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξε λέγων· Κύριε, σῶσόν με.*

*εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ· ὀλιγόπιστε! εἰς τί ἐδίστασας;*

*καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον ἐκόπασεν ὁ ἄνεμος·*

*οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν αὐτῷ λέγοντες· ἀληθῶς Θεοῦ υἱὸς εἶ»* (Ματ ιδ´ 22-24).

Ἡ περιπάτησις τοῦ Χριστοῦ ἐπὶ τῆς θαλάσσης τὴν διάβασιν τῆς Ἐρυθρᾶς θαλάσσης σημαίνει.

Τὸ κλυδωνιζόμενον ἐν τοῖς κύμασι τῆς θαλάσσης καὶ μὴ βυθιζόμενον πλοῖον τὴν Ἐκκλησίαν σημαίνει.

Ὁ Χριστὸς εἶναι ὁ πλοηγὸς τῆς Ἐκκλησίας, ὡς νεώς, πρὸς τὴν σωτηρίαν.

Ὁ Πέτρος, ὁ πειρώμενος, ὅπως περιπατήσῃ ἐπὶ τῶν ὑδάτων, καὶ φοβούμενος ὅτι θὰ καταποντισθῇ, τὸν κυμαινόμενον ἐν τῇ πίστει αὐτοῦ ἄνθρωπον σημαίνει. Καὶ ἐν τῷ κλύδωνι τοῦ Πάθους, ὅτε ὁ Χριστὸς ἐδικάζετο, ὁ Πέτρος ἠρνήσατο Αὐτὸν τρίς, ἀλλά, μετανοήσας, ἔκλαυσε πικρῶς.

Ὁ Χριστὸς ἐποιήσατο ἀρχὴν τῶν θαυμάτων Αὐτοῦ ἐν τῷ ἐν Κανᾷ γάμῳ, μεταβάλλων τὸ ὕδωρ εἰς οἶνον. Ὁ Εὐαγγελιστὴς Ἰωάννης παραδίδει τὸ θαῦμα, ὡς ἀκολούθως:

*«Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ.*

*ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. καὶ ὑστερήσαντος οἴνου λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· οἶνον οὐκ ἔχουσι.*

*λέγει αὐτῇ ὁ Ἰησοῦς· τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου.*

*λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· ὅ,τι ἂν λέγῃ ὑμῖν, ποιήσατε. ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητοῖς δύο ἢ τρεῖς.*

*λέγει αὐτοῖς ὁ Ἰησοῦς· γεμίσατε τὰς ὑδρίας ὕδατος, καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. καὶ λέγει αὐτοῖς· ἀντλήσατε νῦν καὶ φέρετε τῷ ἀρχιτρικλίνῳ. καὶ ἤνεγκαν.*

*ὡς δὲ ἐγεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον –καὶ οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν οἱ ἠντληκότες τὸ ὕδωρ– φωνεῖ τὸν νυμφίον ὁ ἀρχιτρίκλινος*

*καὶ λέγει αὐτῷ· πᾶς ἄνθρωπος πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν μεθυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ τετήρηκας τὸν καλὸν οἶνον ἕως ἄρτι.*

*ταύτην ἐποίησε τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ*

*τῆς Γαλιλαίας καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ»* (Ἰω β΄ 1-11).

Ὁ γάμος ἐν Κανᾶ, ἐν ᾧ παρευρίσκεται ὁ Χριστὸς μετὰ τῆς Μητρὸς καὶ τῶν μαθητῶν Αὐτοῦ, τὴν οὐράνιον τράπεζαν σημαίνει.

Ἡ μεταβολὴ τοῦ ὕδατος εἰς οἶνον τὸ μυστήριον τῆς Θείας Εὐχαριστίας σημαίνει.

Ὁ Χριστὸς διὰ πέντε ἄρτων καὶ δύο ἰχθύων ἔθρεψεν ὄχλον πολὺν ἐν τῇ ἐρήμῳ. Ὁ Εὐαγγελιστὴς Ματθαῖος παραδίδει τὸ θαῦμα, ὡς ἀκολούθως:

*«Ἀκούσας δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν εἰς ἔρημον τόπον κατ᾽ ἰδίαν· καὶ ἀκούσαντες οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων.*

*καὶ ἐξελθὼν ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ᾽ αὐτοῖς καὶ ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν.*

*ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· ἔρημός ἐστιν ὁ τόπος καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα.*

*ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. οἱ δὲ λέγουσιν αὐτῷ· οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας.*

*ὁ δὲ εἶπε· φέρετέ μοι αὐτοὺς ὧδε.*

*καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις.*

*καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις.*

*οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων»* (Ματ ιδ΄ 15-21).

Ὁ ἔρημος τόπος τὴν διάβασιν τῆς Ἐρυθρᾶς θαλάσσης καὶ τὴν περιπλάνησιν τῶν Ἑβραίων ἐν τῇ ἐρήμῳ καὶ τὴν διατροφὴν αὐτῶν διὰ τοῦ ἐξ ουρανοῦ ἐπιουσίου μάννα σημαίνει.

Οἱ πέντε ἄρτοι καὶ οἱ δύο ἰχθύες τὸν ἀριθμὸν ἑπτὰ τῆς Ἁγίας Γραφῆς σημαίνουσι.

Οἱ ἰχθύες τὴν Ἐρυθρὰν θάλασσαν σημαίνουσι.

Ὁ χορτασμὸς πεντακισχιλίων ἀνδρῶν χωρὶς γυναικῶν καὶ παιδίων διὰ πέντε ἄρτων καὶ δύο ἰχθύων ὑπὸ τοῦ Χριστοῦ τὴν μετὰ τὴν Σταύρωσιν καὶ Ἀνάστασιν Αὐτοῦ κοινωνίαν τοῦ σώματος καὶ τοῦ αἵματος Αὐτοῦ σημαίνει.

Οἱ πλήρεις δώδεκα κόφινοι τοῦ περισσεύοντος τῶν κλασμάτων τοῦ ἄρτου τὴν ἀκένωτον δωρεὰν τῆς Θείας Κοινωνίας σημαίνει.

Οἱ δώδεκα κόφινοι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ καὶ συνεκδοχικῶς σύμπαν τὸ ἀνθρώπινον γένος σημαίνουσι.

Ὁ Εὐαγγελιστὴς Λουκᾶς παραδίδει τὸ θαῦμα τῆς ἁλιείας ἰχθύων, ὡς ἀκολούθως:

*«Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ,*

*καὶ εἶδε δύο πλοῖα ἑστῶτα πρὸς τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ᾽ αὐτῶν ἀπέπλυναν τὰ δίκτυα.*

*ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους.*

*ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· ἐπανάγαγε εἰς τὸ βάθος καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.*

*καὶ ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ· ἐπιστάτα, δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον.*

*καὶ τοῦτο ποιήσαντες συνέκλεισαν πλῆθος ἰχθύων πολύ· διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν.*

*καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά.*

*ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσε τοῖς γόνασιν Ἰησοῦ λέγων· ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε·*

*θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ῇ συνέλαβον»* (Λκ ε΄ 1-9).

Θαῦμα ἄγρας πλήθους ἰχθύων τελεῖ ὁ Χριστὸς καὶ κατὰ τὴν τρίτην ἐμφάνισιν μετὰ τὴν Ἀνάστασιν Αὐτοῦ τοῖς μαθηταῖς. Τὸ θαῦμα παραδίδει ὁ Εὐαγγελιστὴς Ἰωάννης, ὡς ἀκολούθως:

*«Μετὰ δὲ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως.*

*ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο.*

*λέγει αὐτοῖς Σίμων Πέτρος· ὑπάγω ἁλιεύειν. λέγουσιν αὐτῷ· ἐρχόμεθα καὶ ἡμεῖς σύν σοι. ἐξῆλθον καὶ ἐνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν.*

*πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι.*

*λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· παιδία, μή τι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ· οὔ. ὁ δὲ εἶπεν αὐτοῖς· βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε.*

*ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων.*

*λέγει οὖν ὁ μαθητής, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο· ἦν γὰρ γυμνός· καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν·*

*οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον· οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ᾽ ὡς ἀπὸ πηχῶν διακοσίων· σύροντες τὸ δίκτυον τῶν ἰχθύων.*

*ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον.*

*λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν.*

*ἀνέβη Σίμων Πέτρος καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν· καὶ τοσούτων ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον.*

*λέγει αὐτοῖς ὁ Ἰησοῦς· δεῦτε ἀριστήσατε. οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτὸν σὺ τίς εἶ, εἰδότες ὅτι ὁ Κύριός ἐστιν.*

*ἔρχεται οὖν ὁ Ἰησοῦς καὶ λαμβάνει ἄρτον καὶ δίδωσιν αὐτοῖς καὶ τὸ ὀψάριον ὁμοίως.*

*τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν.*

*ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; λέγει αὐτῷ· ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε· λέγει αὐτῷ· βόσκε τὰ ἀρνία μου.*

*λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; λέγει αὐτῷ· ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ· ποίμαινε τὰ πρόβατά μου.*

*λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φιλεῖς με, καὶ εἶπεν αὐτῷ·*

*Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. λέγει αὐτῷ ὁ Ἰησοῦς· βόσκε τὰ πρόβατά μου»* (Ἰω κα´ 1-17).

Ὁ Εὐαγγελιστὴς Λουκᾶς παραδίδει ὅτι κατὰ τὴν ἐμφάνισιν Αὐτοῦ ὁ Χριστὸς ἔφαγε μέρος ὀπτοῦ ἰχθύος καὶ κηρήθρας μέλιτος:

*«Καὶ τοῦτο εἰπὼν ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας.*
*ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς καὶ θαυμαζόντων εἶπεν αὐτοῖς· ἔχετέ τι βρώσιμον ἐνθάδε;*
*οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος καὶ ἀπὸ μελισσίου κηρίου,*
*καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν»* (Λκ κδ´ 40-43).

Τὸ θαῦμα τῆς ἄγρας πλήθους ἰχθύων τὴν ἵδρυσιν τῆς Ἐκκλησίας σημαίνει.

Ὁ ἰχθὺς διὰ τοῦ μέρους τὸ ὅλον σημαίνει, δηλονότι τὴν διάβασιν τῆς Ἐρυθρᾶς θαλάσσης πρὸς τὴν Γῆν τῆς Ἐπαγγελίας καὶ τὰ Πάθη καὶ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ πρὸς σωτηρίαν τῶν ἀνθρώπων. Κατὰ τὴν σημαντικὴν ταύτην ἡ παράστασις τοῦ ἰχθύος ἐδήλωσε τὸν Χριστὸν καὶ τὰ γράμματα τοῦ ὀνόματος αὐτοῦ τὴν ἀκροστιχίδα *Ἰησοῦς Χριστὸς Θεοῦ Υἱὸς Σωτήρ*.

Ἡ βρῶσις ἄρτου καὶ ἰχθύος τὴν εὐωχίαν ἐν τῇ τραπέζῃ τοῦ Χριστοῦ σημαίνει.

Ἡ κηρήθρα μέλιτος τὴν Ἐκκλησίαν σημαίνει, ἥτις μετετράπη ἀπὸ πικρᾶς ἐρήμου εἰς γλυκεῖαν κιβωτὸν σωτηρίας.

Ὁ Χριστὸς ἔφαγεν ἐνώπιον τῶν μαθητῶν Αὐτοῦ, ἵνα δείξῃ αὐτοῖς ὅτι δὲν ἦτο φάντασμα, ἀλλ᾽ αὐτὸς ὁ Διδάσκαλος αὐτῶν, ἀναστὰς ἐκ νεκρῶν. Ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας μετὰ τῶν τύπων τῶν ἥλων, οἵτινες, ὡς σημεῖον τοῦ σωτηρίου Πάθους, ἐνετυπώθησαν ἐν τῷ ἀφθάρτῳ σώματι Αὐτοῦ.

Ὁ Χριστὸς ἐμφανίζεται τρίτον τοῖς μαθηταῖς Αὐτοῦ. Ἐν συνδυασμῷ πρὸς τὴν ἄγραν τῶν ἰχθύων, ἥτις τὴν ἵδρυσιν τῆς

Ἐκκλησίας σημαίνει, ἐρωτᾷ τρίτον τὸν Πέτρον ἂν ἀγαπᾷ Αὐτόν. Μετὰ τὴν στεῤῥὰν ὁμολογίαν τοῦ Πέτρου ἐντέλλεται αὐτῷ, ὅπως ποιμαίνῃ τὰ πρόβατα Αὐτοῦ. Ὁ ἀρθμὸς τρία ἐν τῇ Ἐκκλησίᾳ τὴν παρουσίαν τοῦ Θεοῦ σημαίνει.

Ὁ Χριστὸς δὲν τελεῖ θαύματα, ἵνα προκαλέσῃ τὸν θαυμασμόν, οἷα θαυματοποιός τις, οὐδὲ ἵνα καταδείξῃ τὴν θεότητα Αὐτοῦ, ὡς λέγουσί τινες. Τίς ἡ φύσις τῶν θαυμάτων τοῦ Χριστοῦ; Ἀνέστησάν τινες, ἀλλὰ καὶ πάλιν ἀπέθανον, ἰάθησάν τινες, ἀλλὰ πάντοτε ὑπάρχουσιν ἑκατομμύρια πασχόντων. Διὰ τῆς ἐνανθρωπήσεως ὁ Χριστὸς ἑνοῖ τὸ ἐλεύθερον ἐπέκεινα πρὸς τὸ νομοκρατούμενον παρόν. Διὰ τῶν θαυμάτων ὁ Χριστὸς ἐκφαίνει τὸ ἐπέκεινα ἐν τῷ παρόντι. Τὰ θαύματα τοῦ Χριστοῦ εἶναι καθολικὰ καὶ αἰώνια. Σημαίνουσι τὰ σωτήρια Πάθη Αὐτοῦ καὶ τὴν συνεστίασιν τῆς Ἐκκλησίας ἐν τῇ οὐρανίῳ τραπέζῃ Αὐτοῦ. Αἱ ἀναστάσεις καὶ αἱ ἰάσεις Αὐτοῦ σημαίνουσι τὴν βασιλείαν τῶν οὐρανῶν, ἐν ᾗ οὐδὲ θάνατος, οὐδὲ χωλοί, οὐδὲ τυφλοί, οὐδὲ κυλλοί, οὐδὲ ἄλαλοι, οὐδὲ δαιμονιζόμενοι, οὐδὲ ἐλλεῖπόν τι ὑπάρχουσιν, ἀλλὰ ζωὴ πλήρης, τελεία καὶ ἀτελεύτητος. Ἐν τῇ σημαντικῇ ταύτῃ ὁ Χριστὸς τελεῖ θαύματα ἀναστάσεων καὶ ἰάσεων. Τοιαῦτα θαύματα εἶναι τὰ ἀκόλουθα:

Ὁ Χριστὸς ἀνέστησε τὸν μονογενῆ υἱὸν τῆς χήρας τῆς Ναΐν:

*«Καὶ ἐγένετο ἐν τῷ ἑξῆς ἐπορεύετο εἰς πόλιν καλουμένην Ναΐν· καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ καὶ ὄχλος πολύς.*

*ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκὼς υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη ἦν χήρα, καὶ ὄχλος τῆς πόλεως ἱκανὸς ἦν σὺν αὐτῇ.*

*καὶ ἰδὼν αὐτὴν ὁ Κύριος ἐσπλαγχνίσθη ἐπ᾽ αὐτῇ καὶ εἶπεν αὐτῇ· μὴ κλαῖε·*

*καὶ προσελθὼν ἥψατο τῆς σοροῦ, οἱ βαστάζοντες ἔστησαν, καὶ εἶπε· νεανίσκε, σοὶ λέγω, ἐγέρθητι.*

*καὶ ἀνεκάθισεν ὁ νεκρὸς καὶ ἤρξατο λαλεῖν, καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ»* (Λκ ζ´ 11-15).

Ὁμοίως ὁ Χριστὸς ἀνέστησε τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου Ἰαείρου:

*«Καὶ ἰδοὺ ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχε· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ,*

*ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα, καὶ αὕτη ἀπέθνῃσκεν. Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν»* (Λκ η´ 41-42).

*«Ἔτι αὐτοῦ λαλοῦντος ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων αὐτῷ ὅτι τέθνηκεν ἡ θυγάτηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον. ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ λέγων· μὴ φοβοῦ· μόνον πίστευε καὶ σωθήσεται.*

*ἐλθὼν δὲ εἰς τὴν οἰκίαν οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα εἰ μὴ Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα.*

*ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. ὁ δὲ εἶπε· μὴ κλαίετε· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει.*

*καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας καὶ κρατήσας τῆς χειρὸς αὐτῆς ἐφώνησε λέγων· ἡ παῖς, ἐγείρου.*

*καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα, καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν.*

*καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς. ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός»* (Λκ η´ 49-56).

Ὁ παραδίδων τὸ θαῦμα τῆς ἀναστάσεως τοῦ ἠγαπημένου φίλου τοῦ Χριστοῦ Λαζάρου Εὐαγγελιστὴς Ἰωάννης, ὁ απο-

καλούμενος καὶ Θεολόγος, παραδίδει καὶ τὴν θεολογίαν τῆς ἀναστάσεως τῶν νεκρῶν ἐν τῇ οὐρανίῳ βασιλείᾳ:

*«Ἦν δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς.*

*ἦν δὲ ἡ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει.*

*ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτὸν λέγουσαι· Κύριε, ἴδε ὃν φιλεῖς ἀσθενεῖ.*

*ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν· αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ᾽ ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ δι᾽ αὐτῆς.*

*ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν Λάζαρον.*

*ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας·*

*ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς· ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. λέγουσιν αὐτῷ οἱ μαθηταί· ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ;*

*ἀπεκρίθη Ἰησοῦς· οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει·*

*ἐάν τις περιπατῇ ἐν τῇ νυκτί, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ.*

*ταῦτα εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν.*

*εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ· Κύριε, εἰ κεκοίμηται, σωθήσεται.*

*εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει.*

*τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παῤῥησίᾳ· Λάζαρος ἀπέθανε,*

*καὶ χαίρω δι᾿ ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ· ἀλλ᾿ ἄγωμεν πρὸς αὐτόν.*

*εἶπεν οὖν Θωμᾶς ὁ λεγόμενος Δίδυμος τοῖς συμμαθηταῖς· ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ᾿ αὐτοῦ.*

*ἐλθὼν οὖν ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ.*

*ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων ὡς ἀπὸ σταδίων δεκαπέντε,*

*καὶ πολλοὶ ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ Μάρθαν καὶ Μαρίαν ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν.*

*ἡ οὖν Μάρθα ὡς ἤκουσεν ὅτι ὁ Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο.*

*εἶπεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν· Κύριε, εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει.*

*ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δώσει σοι ὁ Θεός.*

*λέγει αὐτῇ ὁ Ἰησοῦς· ἀναστήσεται ὁ ἀδελφός σου.*

*λέγει αὐτῷ ἡ Μάρθα· οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.*

*εἶπεν αὐτῇ ὁ Ἰησοῦς· ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα.*

*πιστεύεις τοῦτο; λέγει αὐτῷ· ναί, Κύριε, ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ὁ εἰς τὸν κόσμον ἐρχόμενος.*

*καὶ ταῦτα εἰποῦσα ἀπῆλθε καὶ ἐφώνησε Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρᾳ εἰποῦσα· ὁ διδάσκαλος πάρεστι καὶ φωνεῖ σε.*

*ἐκείνη ὡς ἤκουσεν, ἐγείρεται ταχὺ καὶ ἔρχεται πρὸς αὐτόν.*

*οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ᾿ ἦν ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα.*

*οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ᾿ αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν Μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ, λέγοντες ὅτι ὑπάγει εἰς τὸ μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ.*

*ἡ οὖν Μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, ἰδοῦσα αὐτὸν ἔπεσεν αὐτοῦ εἰς τοὺς πόδας λέγουσα αὐτῷ· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός.*

*Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι καὶ ἐτάραξεν ἑαυτόν,*

*καὶ εἶπε· ποῦ τεθείκατε αὐτόν;*

*ἔλεγον οὖν οἱ Ἰουδαῖοι· ἴδε πῶς ἐφίλει αὐτόν.*

*τινὲς δὲ ἐξ αὐτῶν εἶπον· οὐκ ἠδύνατο οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;*

*Ἰησοῦς οὖν, πάλιν ἐμβριμούμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον· ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ᾿ αὐτῷ.*

*λέγει δὲ ὁ Ἰησοῦς· ἄρατε τὸν λίθον. λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος Μάρθα· Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι.*

*λέγει αὐτῇ ὁ Ἰησοῦς· οὐκ εἶπόν σοι ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ;*

*ἦραν οὖν τὸν λίθον οὗ ἦν ὁ τεθνηκὼς κείμενος. ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπε· πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου.*

*ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν παρεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας.*

*καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγασε· Λάζαρε, δεῦρο ἔξω.*

*καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς*

*χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. λέγει αὐτοῖς ὁ Ἰησοῦς· λύσατε αὐτὸν καὶ ἄφετε ὑπάγειν»* (Ἰω ια´ 1-44).

Ὁ Χριστὸς ἰάσατο τὸν τυφλὸν τῆς Ἱεριχοῦς:

*«Καὶ ἔρχονται εἰς Ἱεριχώ· καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἱεριχὼ καὶ τῶν μαθητῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ, ὁ υἱὸς Τιμαίου Βαρτίμαιος τυφλὸς ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν.*

*καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν, ἤρξατο κράζειν καὶ λέγειν· υἱὲ Δαυῒδ Ἰησοῦ, ἐλέησόν με.*

*καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ· ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν· υἱὲ Δαυΐδ, ἐλέησόν με.*

*καὶ στὰς ὁ Ἰησοῦς εἶπε· φωνήσατε αὐτόν· καὶ φωνοῦσι τὸν τυφλὸν λέγοντες αὐτῷ· θάρσει, ἔγειρε· φωνεῖ σε.*

*ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀναστὰς ἦλθε πρὸς τὸν Ἰησοῦν.*

*καὶ ἀποκριθεὶς λέγει αὐτῷ ὁ Ἰησοῦς· τί σοι θέλεις ποιήσω; ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ· ῥαββουνί, ἵνα ἀναβλέψω.*

*καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· ὕπαγε, ἡ πίστις σου σέσωκέ σε. καὶ εὐθέως ἀνέβλεψε, καὶ ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ»* (Μαρ ι´ 46-52).

Ὁ Χριστὸς ἰάσατο δαιμονιζόμενον:

*«Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν Γεργεσηνῶν.*

*καὶ ἐξελθόντος αὐτοῦ ἐκ τοῦ πλοίου εὐθέως ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ,*

*ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνήμασι, καὶ οὔτε ἁλύσεσιν οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι,*

*διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσι δεδέσθαι, καὶ δι-*

*εσπάσθαι ὑπ᾽ αὐτοῦ τὰς ἁλύσεις καὶ τὰς πέδας συντετρῖφθαι, καὶ οὐδεὶς ἴσχυεν αὐτὸν δαμάσαι·*

*καὶ διὰ παντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς μνήμασι καὶ ἐν τοῖς ὄρεσιν ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις.*

*ἰδὼν δὲ τὸν Ἰησοῦν ἀπὸ μακρόθεν ἔδραμε καὶ προσεκύνησεν αὐτόν,*

*καὶ κράξας φωνῇ μεγάλῃ λέγει· τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ καὶ ὑψίστου; ὁρκίζω σε τὸν Θεόν, μή με βασανίσῃς.*

*ἔλεγε γὰρ αὐτῷ· ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου.*

*καὶ ἐπηρώτα αὐτόν· τί ὄνομά σοι; καὶ ἀπεκρίθη λέγων· λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν.*

*καὶ παρεκάλει αὐτὸν πολλὰ ἵνα μὴ ἀποστείλῃ αὐτοὺς ἔξω τῆς χώρας.*

*ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων μεγάλη βοσκομένη πρὸς τῷ ὄρει·*

*καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες λέγοντες· πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν.*

*καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ἰησοῦς, καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν· ἦσαν δὲ ὡς δισχίλιοι· καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ.*

*καὶ οἱ βόσκοντες τοὺς χοίρους ἔφυγον καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς· καὶ ἐξῆλθον ἐδεῖν τί ἐστι τὸ γεγονός.*

*καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, καὶ θεωροῦσι τὸν δαιμονιζόμενον καθήμενον καὶ ἱματισμένον καὶ σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν λεγεῶνα, καὶ ἐφοβήθησαν.*

*καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες πῶς ἐγένετο τῷ δαιμονιζομένῳ καὶ περὶ τῶν χοίρων.*

*καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων*

*αὐτῶν. καὶ ἐμβαίνοντος αὐτοῦ εἰς τὸ πλοῖον παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς ἵνα μετ᾽ αὐτοῦ ᾖ.*

*καὶ οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ· ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σοὺς καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι ὁ Κύριος πεποίηκε καὶ ἠλέησέ σε.*

*καὶ ἀπῆλθε καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς καὶ πάντες ἐθαύμαζον»* (Μαρ ε´ 1-20).

Ὁ Χριστὸς ἰάσατο τὸν παραλυτικὸν τῆς Καπερναούμ:

*«Καὶ εἰσῆλθε πάλιν εἰς Καπερναοὺμ δι᾽ ἡμερῶν καὶ ἠκούσθη ὅτι εἰς οἶκόν ἐστι.*

*καὶ εὐθέως συνήχθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον.*

*καὶ ἔρχονται πρὸς αὐτὸν παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ τεσσάρων·*

*καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβαττον, ἐφ᾽ ᾧ ὁ παραλυτικὸς κατέκειτο.*

*ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ· τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.*

*ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν·*

*τί οὗτος οὕτω λαλεῖ βλασφημίας; Τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς ὁ Θεός;*

*Καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως αὐτοὶ διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς· τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν;*

*τί ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ, ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειρε καὶ ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει;*

*ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρτίας λέγει τῷ παραλυτικῷ·*

*σοὶ λέγω, ἔγειρε καὶ ἆρον τὸν κράβαττόν σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.*

*καὶ ἠγέρθη εὐθέως, καὶ ἄρας τὸν κράβαττον ἐξῆλθεν ἐναντίον πάντων, ὥστε ἐξίστασθαι πάντας καὶ δοξάζειν τὸν Θεὸν λέγοντας ὅτι οὐδέποτε οὕτως εἴδομεν»* (Μαρ β΄ 1-12).

Ὁ Χριστὸς ἰάσατο τὸν παραλυτικὸν τῆς Βηθεσδά:

*«Μετὰ ταῦτα ἦν ἡ ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη Ἰησοῦς εἰς Ἱεροσόλυμα.*

*ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ προβατικῇ κολυμβήθρᾳ, ἡ ἐπιλεγομένη Ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα.*

*ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν.*

*ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγένετο ᾧ δήποτε κατείχετο νοσήματι.*

*ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα καὶ ὀκτὼ ἔτη ἐν τῇ ἀσθενείᾳ αὐτοῦ.*

*τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· θέλεις ὑγιὴς γενέσθαι;*

*ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει.*

*λέγει αὐτῷ ὁ Ἰησοῦς· ἔγειρε, ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει.*

*Καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράβαττον αὐτοῦ καὶ περιεπάτει. ἦν δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.*

www.tezaurliturgic.ro

*ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· σάββατόν ἐστιν· οὐκ ἔξεστί σοι ἆραι τὸν κράβαττον.*

*ἀπεκρίθη αὐτοῖς· ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει.*

*ἠρώτησαν οὖν αὐτόν· τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει;*

*ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ.*

*μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ καὶ εἶπεν αὐτῷ· ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοί τι γένηται.*

*ἀπῆλθεν ὁ ἄνθρωπος καὶ ἀνήγγειλε τοῖς Ἰουδαίοις ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.*

*Καὶ διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ»* (Ἰω ε΄ 1-16).

Ὁ Χριστὸς ἰάσατο τοὺς δέκα λεπρούς:

*«Καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόῤῥωθεν.*

*καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς.*

*καὶ ἰδὼν εἶπεν αὐτοῖς· πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν.*

*εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν,*

*καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης.*

*ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ;*

*οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος;*

*Καὶ εἶπεν αὐτῷ· ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε»* (Λκ ιζ΄ 12-19).

Ἡ κορύφωσις τῶν θαυμάτων εἶναι ἡ ἐκ νεκρῶν Ἀνάστασις τοῦ Χριστοῦ. Ἡ Ἀνάστασις τοῦ Χριστοῦ εἶναι γεγονὸς τοῦ ἐπέκεινα, ὅπερ τελεῖται ἐν τῷ παρόντι. Εἶναι γεγονὸς πνευματικὸν καὶ διὰ τοῦτο ὁ ἀναστὰς Χριστὸς δὲν ἐμφανίζεται τοῖς διώκταις Αὐτοῦ καὶ τῷ πλήθει, ἀλλὰ τοῖς ἰδίοις Αὐτοῦ. Ὁ Ἀπόστολος Πέτρος, ὁμιλῶν πρὸς τὸ συνηγμένον πλῆθος καὶ ἀναγγέλλων τὴν Ἀνάστασιν τοῦ Χριστοῦ μετὰ τὴν ἐπιφοίτησιν τοῦ Ἁγίου Πνεύματος, δὲν ἀποφθέγγεται δι' ὅρων περιγραφῆς, ἀλλὰ δι' ὅρων τοῦ ἐπέκεινα:

*«Σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρε τὴν φωνὴν αὐτοῦ καὶ ἀπεφθέγξατο αὐτοῖς· ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω καὶ ἐνωτίσασθε τὰ ῥήματά μου.*

*οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας·*

*ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ·*

*καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ καὶ αἱ θυγατέρες ὑμῶν καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται·*

*καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι.*

*καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ·*

*ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.*

*καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται.*

*ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους τούτους.*

*Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησε δι᾿ αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε,*

*τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε· ὃν ὁ Θεὸς ἀνέστησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ᾿ αὐτοῦ.*

*Δαυῒδ γὰρ λέγει εἰς αὐτόν· προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ.*

*διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾿ ἐλπίδι,*

*ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν.*

*ἐγνώρισάς μοι ὁδοὺς ζωῆς, πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου.*

*ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ παῤῥησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυῒδ ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης.*

*προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστὸν καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ,*

*προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ὅτι οὐ κατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.*

*τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός, οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες.*

*τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς, τήν τε ἐπαγγελίαν τοῦ Ἁγίου Πνεύματος λαβὼν παρὰ τοῦ πατρός, ἐξέχεε τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε.*

*οὐ γὰρ Δαυῒδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός· εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου*

*ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.*

*ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ Κύριον καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε»* (Πρ β΄ 14-36).

Ἡ Ἀνάστασις τοῦ Χριστοῦ δὲν περιγράφεται ἐν τῷ ἱερῷ Εὐαγγελίῳ, διότι ἀποτελεῖ μυστήριον, ἀπρόσιτον τῇ ἀνθρωπίνῃ διανοίᾳ. Ἡ πεπερασμένη ἀνθρωπίνη διάνοια θεᾶται τὸ μυστήριον ἐν αἰνίγμασι. Διὰ τῆς Ἀναστάσεως τοῦ Χριστοῦ συνετελέσθη ἡ θέωσις τοῦ ἀνθρωπίνου γένους ἐν τῇ ὁλότητι αὐτοῦ, ἐν τοῖς πρώην, ἐν τοῖς νῦν καὶ ἐν τοῖς μέλλουσι. Ἡ εἰκονογραφία τῆς Ὀρθοδόξου Ἐκκλησίας εἰκονίζει τὴν Ἀνάστασιν τοῦ Χριστοῦ ὡς τὴν εἰς Ἅδου κάθοδον Αὐτοῦ, ἵνα ἐλευθερώσῃ πάντας τοὺς ἀπὸ Ἀδὰμ καὶ Εὔας, κεκοιμημένους καὶ ζῶντας. Ἡ εἰς Ἅδου κάθοδος τοῦ Χριστοῦ, ἵνα καὶ τοῖς κεκοιμημένοις κηρύξῃ, παραδίδεται ὑπὸ τοῦ Ἀποστόλου Πέτρου:

*«Ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι·*

*ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν»* (1Πέτρ γ΄ 18-19).

Ἡ ὥρα τῆς Ἀναστάσεως τοῦ Χριστοῦ παραμένει ἄγνωστος, ἐν μυστηρίῳ. Ὁ Χριστὸς ἀνέστη, κεκλεισμένου τοῦ τάφου. Ἡ ἀποκύλισις τοῦ λίθου ὑπὸ τοῦ ἀγγέλου ἐγένετο, οὐχὶ ἵνα ἐξέλθῃ ὁ Χριστός, ἀλλ᾽ ἵνα βεβαιωθῇ τὸ γεγονὸς τῆς Ἀναστάσεως.

www.tezaurliturgic.ro

Ὁ Χριστὸς εἶχε δύο τελείας φύσεις, ἡνωμένας ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως καὶ ἀναλλοιώτως, θείαν, ἀθάνατον καὶ ἀπαθῆ, καὶ ἀνθρωπίνην, θνητὴν καὶ παθητήν. Διὰ τῆς Ἀναστάσεως κατέστη καὶ ἡ ἀνθρωπίνη φύσις Αὐτοῦ ἀθάνατος καὶ ἀπαθής. Τὰ σημεῖα τοῦ σωτηρίου Πάθους ἀπετυπώθησαν ἐν τῷ ἀναστάντι ἀθανάτῳ σώματι τοῦ Χριστοῦ, ὡς φαίνονται κατὰ τὰς ἐμφανίσεις Αὐτοῦ. Τὸ ἀναστὰν σῶμα τοῦ Χριστοῦ ὑπ᾽ οὐδενὸς περιορίζεται, διὸ ἐμφανίζεται κεκλεισμένων τῶν θυρῶν καὶ ἀναλαμβάνεται εἰς τοὺς οὐρανούς.

Ὁ Διαφωτισμός, ἐμφανισθεὶς κατὰ τὸ τέλος τοῦ δεκάτου ἑβδόμου αἰῶνος, ἀποτελεῖ τὴν βάσιν τοῦ νῦν νεωτερικοῦ κόσμου. Ὁρίζων οὗτος ὡς ἀρχὴν τῆς γνώσεως τὸν ὀρθὸν λόγον, ἀποῤῥίπτει διαῤῥήδην τὰ θαύματα. Ἀποδέχεται τὸ πρωταγόρειον «*πάντων χρημάτων μέτρον ἄνθρωπος*» καὶ κατασύρει τὸ πλατωνικὸν ἔστι ὄντως ὂν ἀίδιον καὶ ἀναλλοίωτον. Καθιστᾷ τὸν ὀρθὸν λόγον ὑπέρτερον τοῦ Θεοῦ.

Ὁ Σκῶτος Δαβὶδ Χιοὺμ (1711-1776) ἐν τῷ ἔργῳ αὐτοῦ *Πραγματεία περὶ θαυμάτων* (1748) ὑποστηρίζει τὸ ἀδύνατον τῶν θαυμάτων. Ἐπιχειρηματολογεῖ ὅτι δὲν ὑπάρχουσι σύγχρονα θαύματα, ἀνάλογα τῶν θαυμάτων τῆς Καινῆς Διαθήκης, ὡς ἡ Ἀνάστασις τοῦ Χριστοῦ. Προβάλλει ὅτι τὰ θαύματα τῆς Καινῆς Διαθήκης στηρίζονται ἀποκλειστικῶς εἰς τὴν ἀνθρωπίνην μαρτυρίαν. Κατ᾽ αὐτὸν οὐδεμία ἀνθρωπίνη μαρτυρία ἐξαρκεῖ πρὸς κατοχύρωσιν θαύματος ἐν τῇ ἀπουσίᾳ σημερινοῦ ἀναλόγου.

Ὁ Γάλλος Διονύσιος Διδερὸ (1713-1784) ἀποῤῥίπτει τὴν Ἀνάστασιν τοῦ Χριστοῦ. Διακηρύσσει ὅτι, καὶ ἂν ὅλος ὁ πληθυσμὸς τῶν Παρισίων διεβεβαίου αὐτὸν ὅτι νῦν δὴ εἷς νεκρὸς ἄνθρωπος ἠγέρθη ἐκ νεκρῶν, δὲν θὰ ἐπίστευε. Ἐπιφέρει ὅτι τὸ παρελθὸν εἶναι ἀνάλογον πρὸς τὸ παρόν, ὅθεν ἡ ἀπουσία ανα-

στάσεων κατὰ τὸ παρὸν εἶναι ἀποτελεσματικὴ μαρτυρία κατὰ πάσης ὑποθετικῆς ἀναστάσεως καὶ κατὰ τὸ παρελθόν.

Ἡ ἔμφασις, ἣν ἀποδίδει ὁ Διαφωτισμὸς εἰς τὴν παντοδυναμίαν τοῦ ὀρθοῦ λόγου καὶ τὴν σπουδαιότητα τῶν συγχρόνων ἀναλόγων πρὸς τὰ παρελθόντα γεγονότα ὡδήγησεν εἰς ἀμφισβήτησιν τῆς Ἀναστάσεως κατὰ τὸν δέκατον ὄγδοον αἰῶνα. Ὁ Γερμανὸς Ἐφραὶμ Λέσσιγκ (1729- 1781), υἱὸς ἱερέως, ἀποτελεῖ παράδειγμα αὐτῆς τῆς ἀμφισβητήσεως. Προβάλλων ὅτι δὲν ἔχει ἁπτὴν ἐμπειρίαν τῆς Ἀναστάσεως τοῦ Χριστοῦ, διερωτᾶται διατί νὰ πιστεύσῃ εἴς τι, ὅπερ δὲν εἶδε. Κατ' αὐτὸν ἡ χρονικὴ ἀπόστασις ἰσχυροποιεῖ τὰς ἀμφισβητήσεις περὶ τῆς ἀξιοπιστίας τῶν αὐτοπτῶν μαρτύρων. Ἐπιφέρει ὅτι, ἐφ' ὅσον ἡ ἀλήθεια τῶν θαυμάτων ἐπαύσατο καταδεικνυομένη διὰ σημερινῶν ἀναλόγων, παραμένουσα ἁπλῶς εἰδησιογραφία, ἡ πίστις ἡμῶν στηρίζεται εἰς τὴν αὐθεντίαν τῶν ἄλλων, οὐχὶ εἰς τὴν αὐθεντίαν ἡμῶν. Διερωτᾶται, ἐφ' ὅσον σήμερον ἄνθρωποι δὲν ἐγείρονται ἐκ νεκρῶν, διατί νὰ πιστεύσωμεν ὅτι ἠγέρθησαν κατὰ τὸ παρελθόν.

Ἡ θεότης τοῦ Χριστοῦ ἀπεδεικνύετο ἐσφαλμένως διὰ τῶν θαυμάτων Αὐτοῦ. Ὁ Χριστὸς τελεῖ θαύματα σημαίνοντα τὸ Πάθος Αὐτοῦ καὶ τὴν ἀποκατάστασιν τοῦ ἀνθρώπου ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, οὐχὶ ἵνα ἀποδείξῃ τὴν θεότητα Αὐτοῦ. Ἡ ἀμφισβήτησις τῶν θαυμάτων τῆς Καινῆς Διαθήκης ὡδήγησε τὴν Δύσιν, ὥστε νὰ ὑπερασπίσῃ τὸ δόγμα εἰς ἄλλα ἐπίπεδα.

Βασικὴ ἰδέα τοῦ Διαφωτισμοῦ εἶναι ἡ ἀνθρωπίνη αὐτονομία. Ἡ πραγματικότης εἶναι λογική, ὁ δὲ ἄνθρωπος κέκτηται τὰς ἀναγκαίας ἐπιστημολογικὰς δυνατότητας, ἵνα ἀνακαλύψῃ τὴν λογικὴν διάταξιν τοῦ κόσμου. Ἡ ἀλήθεια δὲν εἶναί τι, ἀπαιτοῦν, ὅπως γίνῃ ἀποδεκτὸν ἐπὶ τῇ βάσει ἐξωτερικῆς τινος αὐθεντίας. Ἡ ἀλήθεια θὰ ἀναγνωρισθῇ καὶ θὰ γίνῃ ἀποδεκτὴ

ὑπὸ τοῦ αὐτονόμως σκεπτομένου ἀνθρώπου ἐπὶ τῇ βάσει τῆς ἀντιλήψεως τῆς συμφωνίας μεταξὺ ἐκείνου, ὅπερ οὗτος γνωρίζει ὡς ἀληθὲς καὶ τοῦ δῆθεν ἀληθοῦς, ὅπερ παρουσιάζεται πρὸς ἐπαλήθευσιν. Κατὰ τὸν Διαφωτισμὸν ἡ ἀλήθεια εἶναί τι, ὅπερ διακρίνεται, οὐχί τι, ὅπερ ἐπιβάλλεται. Κατὰ τὸν Ἐφραὶμ Λέσσιγκ ὁ ἐξαναγκασμὸς νὰ ἀποδεχθῇ τις τὴν μαρτυρίαν τῶν ἄλλων ἰσοδυναμεῖ πρὸς παραβίασιν τῆς ἀνθρωπίνης πνευματικῆς αὐτονομίας. Ἡ Ἀνάστασις, λέγει, εἶναι ἓν παρεξηγημένον γεγονός, μὴ βασικῆς σημασίας εἰς τὴν ἠθικὴν σπουδαιότητα τοῦ Χριστοῦ.

Ὁ Γερμανὸς Λουθηρανὸς θεολόγος Ῥοδόλφος Βούλτμανν (1884-1976) δογματίζει ὅτι κατὰ τὴν σύγχρονον ἐποχὴν εἶναι ἀδύνατον νὰ πιστεύῃ τις εἰς θαύματα. Διερωτᾶται πῶς εἶναι δυνατὸν σήμερον νὰ χρησιμοποιῇ τις τὸ ἠλεκτρικὸν φῶς καὶ τὰς ραδιοκατασκευὰς καί, ἀσθενῶν, νὰ ζητῇ τὴν βοήθειαν τῆς Ἰατρικῆς καὶ τῶν νέων ἐφευρέσεων, ἀλλὰ συγχρόνως νὰ πιστεύῃ εἰς τὸν κόσμον τῆς Καινῆς Διαθήκης τῶν πνευμάτων καὶ τῶν θαυμάτων. Κατ᾽ αὐτὸν πίστις εἰς τὴν Ἀνάστασιν τοῦ Χριστοῦ δὲν εἶναι πλέον δυνατή. Ἡ σύγχρονος ἀνθρωπότης εὑρίσκει τὴν μυθολογικὴν θεώρησιν τῆς Καινῆς Διαθήκης ἀκατανόητον καὶ ἀπαράδεκτον. Ὁ θεολόγος Ῥοδόλφος Βούλτμανν ἀποφαίνεται ὅτι ὁ Χριστὸς εἶναι παρὼν ἐν τῇ Ἐκκλησίᾳ, οὐχὶ διὰ τῆς Ἀναστάσεως, ἀλλὰ διὰ τοῦ κηρύγματος. Αἱ ἐφευρέσεις τοῦ ὑλικοῦ κόσμου, τὸ ἠλεκτρικὸν φῶς, τὸ τηλέφωνον, ἡ τηλεόρασις, οἱ ὑπέρηχοι, κατὰ τὴν θεώρησιν ταύτην δύνανται νὰ ἀντικαταστήσωσι τὸν πνευματικὸν κόσμον καὶ τὸν Χριστόν.

Ὁ Διαφωτισμός, καίπερ ἐπαγγέλλεται τὴν πλήρη ἐλευθερίαν τοῦ ἀνθρώπου, καθίσταται ὁ ἴδιος αὐταρχικός, ἀρνούμενος τὸν πνευματικὸν κόσμον τοῦ Θεοῦ καὶ ἐπιβάλλων ὕψιστον κριτὴν τῶν πάντων τὸν πεπερασμένον νοῦν τοῦ ἀνθρώπου. Ὁ παν-

τελεύθερος Θεὸς γίνεται ὑπήκοος καὶ δέσμιος τοῦ ἀνθρωπίνου νοῦ. Ὁ Χριστός, ἐὰν ἀναγνωρίζηται ὡς ἱστορικὸν πρόσωπον, ὑποβιβάζεται εἰς ἠθικὸν διδάσκαλον μεταξὺ πολλῶν ἄλλων. Μία μόνη γνῶσις ὑπάρχει, ἡ στηριζομένη εἰς τὴν παρατήρησιν, τὸ πείραμα καὶ τὴν ἀπόδειξιν. Ὁ πνευματικὸς κόσμος καὶ τὸ ἐπέκεινα δὲν ὑπάγονται εἰς τὴν τοιαύτην γνῶσιν. Ὡς ἐκτὸς τῆς ἐμβελείας αὐτοῦ, ὁ Διαφωτισμὸς ἀποῤῥίπτει τὸν Χριστὸν καὶ τὰ θαύματα Αὐτοῦ, τοὺς Ἁγίους καὶ τὰ θαύματα αὐτῶν. Ἡ ἀπόῤῥιψις τῶν θαυμάτων καὶ τῆς Ἀναστάσεως τοῦ Χριστοῦ ἀποτελεῖ εὔσχημον ἀποχριστιανισμόν. Ἂν τὰ θαύματα κρίνωνται διὰ τῆς νομοτελείας τῆς φύσεως, τότε δὲν εἶναι δυνατά. Πλὴν ἀλλ᾽ ὅμως, ὁ Χριστὸς εἶναι ὁ ἐνανθρωπήσας Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, Θεὸς ὁμοούσιος ἐν ἀδιαιρέτῳ Ἁγίᾳ Τριάδι. Διὰ τῆς ἐνανθρωπήσεως Αὐτοῦ ἥνωσε τὸ ἐλεύθερον ἐπέκεινα τοῦ Θεοῦ πρὸς τὸ δεδεσμευμένον παρὸν τοῦ ἀνθρώπου. Τὰ θαύματα τοῦ Χριστοῦ εἶναι τελεσιουργίαι τοῦ ἐπέκεινα ἐν τῷ παρόντι. Εἶναι γεγονότα πνευματικά, μὴ μετρούμενα ὑπὸ τῶν φυσικῶν νόμων. Ἡ κορυφὴ τῶν θαυμάτων, ἡ Ἀνάστασις τοῦ Χριστοῦ, εἶναι ἡ ἐξ ἀγάπης χάρις καὶ δωρεὰ τοῦ Θεοῦ, δι᾽ ἧς ἀπήλλαξε τὸν ἄνθρωπον τοῦ θανάτου καὶ εἵλκυσεν αὐτὸν πρὸς τὴν ἀθανασίαν Αὐτοῦ, εἶναι ἡ πλήρωσις τοῦ πόθου τῶν γενεῶν τῶν ἀνθρώπων. Ὁ Διαφωτισμὸς καὶ ὁ ὀρθολογισμὸς δύναται νὰ ἀμφιβάλλῃ, ἀλλ᾽ ἡ Ἐκκλησία ἀπὸ τῆς πρώτης ἱδρύσεως αὐτῆς δὲν ἀμφιβάλλει περὶ τῆς Ἀναστάσεως τοῦ Χριστοῦ. Εἶδε καὶ ἐμαρτύρησε. Ζῇ πάντοτε τὸ θαῦμα ἐν τοῖς θεοσδότοις μυστηρίοις αὐτῆς. Τὸ θαῦμα τὴν παρουσίαν τοῦ Χριστοῦ ἐν τῷ κόσμῳ σημαίνει. Ὁ κηρύξας τὴν Ἀνάστασιν τοῦ Χριστοῦ τοῖς ἔθνεσιν Ἀπόστολος Παῦλος λέγει περὶ αὐτῆς:

*«Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν;*

*εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται·*

*εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν»* (1Κορ. ιε΄ 12-14).

Οἱ Ἅγιοι δὲν ἐπιτελοῦσι θαύματα ἀφ᾽ ἑαυτῶν. Τὰ θαύματα τῶν Ἁγίων ἀποτελοῦσιν ἐπανάληψιν τῶν θαυμάτων τοῦ Χριστοῦ κατὰ χάριν Αὐτοῦ. Διὰ τῶν ἀσκητικῶν ἀγώνων αὐτῶν διήνοιξαν πύλην ἐποικοινωνίας πρὸς τὸ ἐλεύθερον ἐπέκεινα τοῦ Θεοῦ, ὅθεν λαμβάνουσι τὴν χάριν, ὅπως ἐπαναλαμβάνωσι τὰ θαύματα τοῦ Χριστοῦ. Τὰ θαύματα καὶ ἡ ἐκχεομένη εὐλογία τῶν Ἁγίων ἀποτελοῦσι πρόγευσιν τῆς οὐρανίου βασιλείας. Οἱ κλείοντες τὴν κοινωνίαν τῆς ψυχῆς πρὸς τὸ ἐπέκεινα τοῦ Θεοῦ λογίζονται νεκροί, ὡς λέγει ὁ φιλεύσπλαγχνος πατήρ, ὑποδεχόμενος τὸν ἐπιστρέφοντα ἄσωτον υἱόν:

*«ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν καὶ εὑρέθη»* (Λκ ιε΄ 14).

Ἡ θαυματουργικὴ ἐνέργεια τοῦ Θεοῦ ἐν τῷ κόσμῳ δὲν παύεται. Τὰ θαύματα αἰσθάνονται καὶ βιοῦσιν ὅσοι ἀνοίγουσι τὰς καρδίας αὐτῶν εἰς τὸ ἐπέκεινα τοῦ Θεοῦ. Ὁ Χριστὸς ἐβεβαίωσεν ὅτι καὶ οἱ Ἅγιοι Αὐτοῦ θὰ ἐπιτελῶσι τὰ θαύματα Αὐτοῦ:

*«Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι,*

*καὶ ὅ,τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ.*

*ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω»* (Ἰω ιδ΄ 12-14).

Ἡ χορεία τῶν Ἁγίων ἐστήριξε τὴν Ἐκκλησίαν, τὸ μὲν διὰ τῆς ἀσκήσεως αὐτῶν, τὸ δὲ διὰ τῆς κατανικήσεως τῶν ἐχθρῶν αὐτῆς. Οἱ Ἅγιοι, ἀσκηταὶ καὶ στρατιωτικοί, τοιχογραφοῦνται ἐν τοῖς ναοῖς, ὡς στῦλοι τῆς Ἐκκλησίας. Ἐν τοῖς ναοῖς τοιχογραφοῦνται δύο ζωφόροι, μία μετὰ τῶν ἀσκητῶν καὶ ἄλλη μετὰ τῶν στρατιωτικῶν Ἁγίων. Οἱ ἀσκηταὶ εἰκονίζονται μετὰ τῶν ἰχνῶν τῆς ἐρήμου, ἰσχνοὶ καὶ ἐξαϋλωμένοι, οἱ στρατιωτικοὶ Ἅγιοι εὐσταλεῖς νέοι μετὰ τῆς λαμπρᾶς στολῆς τῆς στρατιωτικῆς ἱεραρχίας τοῦ Βυζαντίου. Ἡ Ὀρθόδοξος Ἐκκλησία ἀποκαλεῖ τοὺς στρατιωτικοὺς Ἁγίους Μεγαλομάρτυρας.

Ἀρχηγέτης τῶν στρατιωτικῶν Ἁγίων, οὗ τὸν ἐν οὐρανοῖς ἆθλον τῆς κατανικήσεως τοῦ βυθίου δράκοντος ἐπαναλαμβάνουσιν οὗτοι ποικιλοτρόπως ἐν τῇ γῇ, εἶναι ὁ Ταξιάρχης τῶν ἄνω δυνάμεων Ἀρχάγγελος Μιχαήλ. Εἰκὼν τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἐν τῇ γῇ καὶ ἀρχηγέτης τῶν στρατιωτικῶν Ἁγίων εἶναι ὁ Ἅγιος Μεγαλομάρτυς Γεώργιος ὁ Τροπαιοφόρος. Ἐν τῇ Ἀποκαλύψει ὁ Ἀρχάγγελος Μιχαὴλ μετὰ τῶν ἀγγέλων αὐτοῦ κατεπολέμησε καὶ ἔῤῥιψεν εἰς τὴν γῆν τὸν δράκοντα μετὰ τῶν ἀγγέλων αὐτοῦ, ὅστις ἦν ὁ πρῶτος τῶν ἀγγέλων Ἑωσφόρος, ἀποστατήσας καὶ πειραθείς, ὅπως θέσῃ τὸν θρόνον αὐτοῦ ὑπεράνω τοῦ θρόνου τοῦ Θεοῦ:

*«Καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ Μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ – τοῦ πολεμῆσαι μετὰ τοῦ δράκοντος· καὶ ὁ δράκων ἐπολέμησε καὶ οἱ ἄγγελοι αὐτοῦ,*

*καὶ οὐκ ἴσχυσεν, οὐδὲ τόπος εὑρέθη αὐτῷ ἔτι ἐν τῷ οὐρανῷ.*

*καὶ ἐβλήθη ὁ δράκων – ὁ ὄφις ὁ μέγας ὁ ἀρχαῖος, ὁ καλούμενος Διάβολος, καὶ ὁ Σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλήθη εἰς τὴν γῆν, καὶ οἱ ἄγγελοι αὐτοῦ ἐβλήθησαν.*

*καὶ ἤκουσα φωνὴν μεγάλην ἐν τῷ οὐρανῷ λέγουσαν· ἄρτι*

*ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡμῶν καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ, ὅτι ἐβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ Θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός»* (Ἀπ ιβ΄ 7-10).

Κατὰ τὴν παράδοσιν ὁ Ἀρχάγγελος Μιχαὴλ πρὸς στερέωσιν τῶν ἀγγέλων ἀνεφώνησε τὸ *«στῶμεν καλῶς»*, ὅπερ ἐκφωνεῖται ὑπὸ τοῦ διακόνου κατὰ τὴν Ἁγίαν Ἀναφοράν, μεθ᾽ ὃ ἐπάγεται ὁ ἐπινίκιος ὕμνος αὐτοῦ καὶ τῶν ἀγγέλων αὐτοῦ:

*«Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου.»*

Ὡς κατανικήσας τὸν δράκοντα, ὁ Ἀρχάγγελος Μιχαὴλ εἰκονίζεται καὶ ὡς δρακοντοκτόνος. Ὁ ὑπὸ τοὺς πόδας αὐτοῦ Ἑωσφόρος εἰκονίζεται μετὰ πτερύγων, δηλωτικῶν τῆς πτώσεως αὐτοῦ ἐκ τῶν ἀγγέλων. Πτερυγοφόρον εἰκονίζει τὸν Ἑωσφόρον, καταβαλλόμενον ὑπὸ τοῦ Ἀρχαγγέλου Μιχαὴλ καὶ ὁ Ραφαὴλ ἐν πίνακι αὐτοῦ. Ἡ κατανίκησις τοῦ δράκοντος ὑπὸ τοῦ Ἀρχαγγέλου Μιχαήλ, σημαίνουσα τὴν νίκην τῆς Ἐκκλησίας κατὰ τῶν ἐχθρῶν αὐτῆς, ἐπαναλαμβάνεται ὑπὸ τῶν δρακοντοκτόνων Ἁγίων, καὶ κατ᾽ ἐξοχὴν ὑπὸ τοῦ Ἁγίου Γεωργίου.

Κατὰ τὴν Ἀποκάλυψιν ὁ ἐκπεσὼν ἐκ τοῦ οὐρανοῦ δράκων ἐξέβαλεν ἐκ τοῦ στόματος αὐτοῦ ὕδωρ, ἵνα πνίξῃ τὴν γυναῖκα, ἥτις τὴν Ἐκκλησίαν σημαίνει, ἀλλ᾽ ἡ γῆ ἤνοιξε καὶ κατέπιε τοῦτο:

*«Καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς ὕδωρ ὡς ποταμόν, ἵνα αὐτὴν ποταμοφόρητον ποιήσῃ,*

*καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς καὶ κατέπιε τὸν ποταμὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ»* (Ἀπ ιβ΄ 15-16).

Τὸ θαῦμα τῆς καταπόσεως τοῦ ὕδατος ὑπὸ τῆς γῆς ἐπανα-

λαμβάνεται ἐν τῷ ἐν Χώναις θαύματι τοῦ Ἀρχαγγέλου Μιχαήλ. Κατὰ τὸν Συμεὼν Μεταφράστην, παραδίδοντα τὸ θαῦμα, παρά τινα πηγὴν ἁγιάσματος ὑπῆρχεν εὐκτήριον, ἀφιερωμένον τῷ Ἀρχαγγέλῳ Μιχαήλ, ἐν ᾧ ἔζη ἐρημίτης τις Ἄρχιππος. Ποταμός, διακλαδιζόμενος, περιέῤῥει τὴν πηγὴν καὶ τὸ εὐκτήριον. Οἱ ἄπιστοι τῇ συνεργίᾳ τοῦ διαβόλου ἔφραξαν τὴν ῥοὴν τοῦ ποταμοῦ, ἵνα, πλημμυρῶν οὗτος, κατακλύσῃ τὴν πηγὴν καὶ τὸ εὐκτήριον. Ὁ Ἀρχάγγελος Μιχαήλ, ἐμφανισθεὶς ἐν ὥρᾳ, ἤνοιξε διὰ τοῦ δόρατος αὐτοῦ χάσμα γῆς, ἐν ᾧ κοτεπόθη τὸ ἀπειλοῦν ὕδωρ. Διὰ τὸ ἐν Χώναις θαῦμα ὁ Ἀρχάγγελος Μιχαήλ, παριστάμενος ἔνοπλος, ἀποκαλεῖται *Χωνιάτης*.

Ἡ ἑορτὴ τοῦ Ἀρχαγγέλου Μιχαὴλ τῇ ὀγδόῃ Νοεμβρίου προέρχεται ἐκ τῆς ἀφιερώσεως ὑπὸ τοῦ Μεγάλου Κωνσταντίνου ναοῦ εἰς αὐτὸν ἐν Κωνσταντινουπόλει, καλουμένου *Μιχαήλειον ἐν τῷ Σωσθενείῳ*, παρὰ τὰ καλούμενα Λουτρὰ Ἀρκαδίου, ἐν τῷ σημείῳ, ἔνθα οὗτος ἐνεφανίσθη. Εἰς τὸ Μιχαήλειον προσέτρεχον πολλοὶ ἀσθενεῖς, οἵτινες, λουόμενοι ἐν ἁγιάσματι, ἐθεραπεύοντο. Ἰαματικὰ ἦσαν καὶ τὰ ὕδατα ἐν Κολοσσαῖς, ἔνθα ἐγένετο τὸ ἐν Χώναις θαῦμα. Τὰ ἰαματικὰ ἁγιάσματα τῶν Ἁγίων τὸ ζῶν ὕδωρ τοῦ Χριστοῦ καὶ τὴν κολυμβήθραν τοῦ Σιλωὰμ σημαίνουσι.

Διὰ τὴν κατανίκησιν τοῦ βυθίου δράκοντος καὶ τὸ ἐν Χώναις θαῦμα ὁ Ἀρχάγγελος Μιχαὴλ συνεδέθη πρὸς τὰ ὕδατα. Οὕτω πολυάριθμοι ναοὶ αὐτοῦ εὑρίσκονται ἐν τόποις ὑδάτων, παραλίαις, ἀκρωτηρίοις, λίμναις καὶ φρέασι. Ἐν Κύπρῳ ὑπάρχουσι τεσσαράκοντα ναοί, ἀφιερωμένοι τῷ Ἀρχαγγέλῳ Μιχαήλ. Κατανικήσας τὸν βύθιον δράκοντα παρὰ τὴν πηγὴν τοῦ Ἀπόλλωνος ἐν Κυρήνῃ ὁ Ἅγιος Γεώργιος, ὡς ἀντίστοιχος τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἐπὶ γῆς, συνεδέθη ἐπίσης πρὸς τὰ ὕδατα, καθιστῶν αὐτὰ ζῶντα.

Ὁ Ἀρχάγγελος Μιχαὴλ εἶναι ὁ προστάτης τοῦ ἑβραϊκοῦ λαοῦ καὶ ὁ ἀρχιστράτηγος αὐτοῦ ἐν πολέμῳ. Ἐμφανίζεται εἰς τὸν Ἰησοῦν τοῦ Ναυῆ ὡς ἀρχιστράτηγος μετὰ ῥομφαίας:

*«Καὶ ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχώ, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδεν ἄνθρωπον ἑστηκότα ἐναντίον αὐτοῦ, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ. καὶ προσελθὼν Ἰησοῦς εἶπεν αὐτῷ· ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων;*

*ὁ δὲ εἶπεν αὐτῷ· ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίου νυνὶ παραγέγονα. καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ εἶπεν αὐτῷ· δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ;*

*καὶ λέγει ὁ ἀρχιστράτηγος Κυρίου πρὸς Ἰησοῦν· λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐφ᾿ ᾧ νῦν ἕστηκας ἐπ᾿ αὐτοῦ, ἅγιός ἐστι»* (Ἰησ ε΄ 13-15).

Κατὰ τὸ Δευτερονόμιον ὁ Θεὸς ἔστησεν ὅρια ἐθνῶν:

*«Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν καὶ ἀριθμὸν ἀγγέλων Θεοῦ,*

*καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ»* (Δευτ λβ΄ 8-9).

Προστάτης τῶν ὁρίων τοῦ ἔθνους τῶν Ἑβραίων κατεστάθη ὁ Ἀρχάγγελος Μιχαήλ:

*«Καὶ εἶπεν· εἰ οἶδας, ἱνατί ἦλθον πρός σε; καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ τοῦ ἄρχοντος Περσῶν· καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρχετο,*

*ἀλλ᾿ ἢ ἀναγγελῶ σοι τὸ ἐντεταλμένον ἐν γραφῇ ἀληθείας, καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ᾿ ἐμοῦ περὶ τούτων, ἀλλ᾿ ἢ Μιχαὴλ ὁ ἄρχων ὑμῶν»* (Δαν ι΄ 20-21).

*«Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀναστήσεται Μιχαὴλ ὁ ἄρχων ὁ μέγας, ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου· καὶ ἔσται*

www.tezaurliturgic.ro

*καιρὸς θλίψεως, θλῖψις οἵα οὐ γέγονεν ἀφ᾽ οὗ γεγένηται ἔθνος ἐν τῇ γῇ ἕως τοῦ καιροῦ ἐκείνου· καὶ ἐν τῷ καιρῷ ἐκείνῳ σωθήσεται ὁ λαός σου, πᾶς ὁ γεγραμμένος ἐν τῇ βίβλῳ·*

*καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται, οὗτοι εἰς τὴν ζωὴν αἰώνιον καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον»* (Δαν ιβ΄ 1-2).

Κατ᾽ ἀκολουθίαν ὁ Ἀρχάγγελος Μιχαὴλ ἀνηγορεύθη προστάτης τῆς Οἰκουμένης, ἤτοι τῆς χριστιανικῆς βυζαντινῆς αὐτοκρατορίας. Περιέρχεται τὰ ἄκρα τῆς ἐπικρατείας αὐτοῦ, φρουρῶν αὐτήν. Εἶναι φρουρὸς ἀκρίτης. Βυζαντινὴ ἐσμαλτωμένη πλὰξ τοῦ δεκάτου αἰῶνος, ἀποκειμένη ἐν τῷ ναῷ τοῦ Ἁγίου Μάρκου Βενετίας, εἰκονίζει τὸν Ἀρχάγγελον Μιχαὴλ ἐν στολῇ ἀκρίτου, φέροντος λωρίκιον. Οἱ Βυζαντινοὶ αὐτοκράτορες ἐξεστράτευον, προπορευομένου αὐτοῦ. Ἐν Κωνσταντινουπόλει ὑπῆρχον πολλοὶ ναοί, ἀφιερωμένοι εἰς αὐτόν. Ἐννέα αὐτοκράτορες τοῦ Βυζαντίου ἔφερον τὸ ὄνομα Μιχαήλ.

Ὁ Γερμανὸς ἱστορικὸς Ἰωάννης Βὸλφ ἐχάλκευσεν αὐθαιρέτως τῷ 1562 τὸν ὅρον *Βυζάντιον*, ὅθεν προῆλθον τὰ *Βυζαντινὸς* καὶ *Βυζαντινὴ αὐτοκρατορία*, ἀντὶ *Ῥωμαϊκή*, ὡς ἦν τὸ ὄνομα αὐτῆς, ὅπερ ἐσφετερίσθη ὁ Καρολομάγνος. Ἐν τῇ παρούσῃ οἱ ὅροι χρησιμοποιοῦνται ἐναλλὰξ διὰ τὴν συνήθειαν.

Οἱ στρατιωτικοὶ Ἅγιοι ἔχουσιν ὡς πρότυπον αὐτῶν τὸν Ἀρχάγγελον Μιχαήλ. Τὴν ἰδιότητα τοῦ Ἀρχαγγέλου Μιχαήλ, ὡς φρουροῦ ἀκρίτου, προσλαμβάνει ὁ ἀντίστοιχος αὐτοῦ ἐπὶ γῆς στρατιώτης τοῦ Χριστοῦ Ἅγιος Γεώργιος. Οὗτος εἶναι ὁ πραγματικὸς ἀκρίτης τῶν ἑλληνικῶν παραδόσεων. Ἐν ναοῖς τῆς Κύπρου παρίσταται ἐν κόγχῃ τοῦ τοίχου παρὰ τὴν βορείαν πύλην τοῦ ἱεροῦ βήματος ὁ Ἀρχάγγελος Μιχαὴλ καὶ ἐν τῷ νάρθηκι ὁ Ἅγιος Γεώργιος, ἀμφότεροι ἐν στρατιωτικῇ στολῇ.

Ὁ ἁπλοῦς λαός, ἀφορμώμενος ἐκ τῶν δημωδῶν ᾀσμάτων, ἀπεκάλει τὰς παραστάσεις ταύτας διὰ τοῦ ὀνόματος *Διγενῆς*.

Ἐν τῇ Βυζαντινῇ αὐτοκρατορίᾳ δὲν ὑπῆρχον ἀκριτικὰ στρατιωτικὰ σώματα, ὡς ἐν τῇ Ῥωμαϊκῇ. Τὰ στρατιωτικὰ σώματα τῶν ἀκριτικῶν θεμάτων ἦσαν ὅμοια πρὸς τὰ στρατιωτικὰ σώματα ἄλλων θεμάτων. Ἀκρίτης εἶναι μόνον εἷς, ὁ Ἅγιος Γεώργιος, ὅστις ἔδωσε τὸ ὄνομα αὐτοῦ εἰς τὸν ἥρωα τῆς βυζαντινῆς μυθιστορίας Βασίλειον Διγενῆν Ἀκρίτην.

Ὁ ποιητὴς τῆς βυζαντινῆς μυθιστορίας ἔπλασε τὸν ἥρωα αὐτοῦ ἐκ στοιχείων ἐκ τῆς Καλλισθενείου παραδόσεως περὶ τοῦ Μεγάλου Ἀλεξάνδρου. Ὁ ἥρως αὐτοῦ λέγεται *Βασίλειος* καθ᾽ ὑπόκρυψιν τῆς ἰδιότητος τοῦ βασιλέως Ἀλεξάνδρου. Λέγεται *Διγενῆς*, ὡς καταγόμενος ἐκ δύο γενῶν, ῥωμαϊκοῦ καὶ ἀραβικοῦ, κατὰ τὸν Μέγαν Ἀλέξανδρον, ὅστις παρεστάθη ὑπὸ τῶν Περσῶν ὡς υἱὸς τοῦ Δαρείου καὶ Ἑλληνίδος. Ὁ Μέγας Ἀλέξανδρος συνήνωσε τὸ ἑλληνικὸν καὶ τὸ περσικὸν ἔθνος. Ὁ Διγενῆς συνενεῖ Ῥωμαίους καὶ Ἄραβας ἐν τῷ χριστιανισμῷ. Λέγεται *Ἀκρίτης* κατὰ τὸν Μέγαν Ἀλέξανδρον, ὅστις ἔφθασεν εἰς τὴν ἄκραν τοῦ κόσμου, καὶ κατὰ τὸν ἅγιον Γεώργιον, ὅστις φρουρεῖ τὰ ἄκρα τῆς Οἰκουμένης. Λέγεται *Καππαδόκης*, ὡς προστάτης τῆς Καππαδοκίας, ἥτις ἐθεωρεῖτο ἀκραῖον σύνορον τῆς Βυζαντινῆς αὐτοκρατορίας, ἀπειλουμένης συνεχῶς ὑπὸ τῶν Πάρθων καὶ τῶν Περσῶν. *Καππαδόκαι* ὀνομάζονται στρατιωτικοὶ Ἅγιοι, καὶ κατ᾽ ἐξοχὴν ὁ Ἅγιος Γεώργιος.

Ὁ ποιητὴς πλάθει τὸν ἥρωα αὐτοῦ ὡς κατακτητὴν χωρῶν καὶ πόλεων, ἔχων τὴν συνεργασίαν τῶν Ἁγίων:

*«Ἔπαινοι καὶ τρόπαια ἐγκώμιόν τε*
*τοῦ τρισμάκαρος Ἀκρίτου Βασιλείου,*
*τοῦ ἀνδρειοτάτου τε καὶ γενναιοτάτου,*

*τοῦ τὴν ἰσχὺν ἔχοντος παρὰ Θεοῦ ὡς δῶρον,*
*καὶ κατατροπώσαντος πᾶσαν τὴν Συρίαν,*
*τὴν Βαβυλῶνα, Χαρζιανήν τε ὅλην,*
*Ἀρμενίαν καὶ τὴν Καππαδοκίαν,*
*τὸ Ἀμόριν καὶ τὸ Ἰκόνιν ἅμα,*
*τὸ περίφημον καὶ μέγα κάστρον ἔτι,*
*τὸ δυνατόν τε καὶ κατωχυρωμένον,*
*τὴν Ἄγκυραν λέγω τε καὶ πᾶσαν Σμύρνην,*
*καὶ τὰ παρὰ θάλασσαν καθυποτάξας.*
*Δηλώσω σοι γὰρ τὰς αὐτοῦ πράξεις ἄρτι,*
*ἃς εἰργάσατο ἐν τῷ παρόντι βίῳ,*
*πῶς πολεμιστὰς δυνατοὺς καὶ ἀνδρείους*
*κατεπτόησε καὶ πάντα τὰ θηρία,*
*ἔχων συνεργοῦσάν τε Θεοῦ τὴν χάριν,*
*καὶ Θεοτόκου τῆς ἀκαταμαχήτου,*
*καὶ τῶν ἀγγέλων ἅμα καὶ ἀρχαγγέλων,*
*τῶν ἀθλοφόρων καὶ μεγάλων μαρτύρων,*
*Θεοδώρων τε τῶν πανενδοξοτάτων*
*τοῦ Στρατηλάτου καὶ τοῦ Τήρωνος ἅμα,*
*τοῦ πολυάθλου γενναίου Γεωργίου*
*καὶ θαυματουργοῦ καὶ μάρτυρος μαρτύρων*
*ἐνδοξοτάτου Δημητρίου προστάτου*
*καὶ Βασιλείου καὶ καύχημα καὶ κλέος*
*τοῦ νικοποιοῦ ἐν τοῖς ὑπεναντίοις*
*Ἀγαρηνοῖς τε καὶ τοῖς Ἰσμαηλίταις,*
*Σκύθαις βαρβάροις τοῖς λυσσῶσιν ὡς κύνες.»*

Ὁ λιμώττων μοναχὸς Πτωχοπρόδρομος, εὐχόμενος, ὅπως ἐμφανισθῇ ἕτερος Ἀκρίτης, ἵνα συντρίψῃ τοὺς εὐωχουμένους

ἡγουμένους, δὲν ἐννοεῖ τὸν Διγενῆν τῆς μυθιστορίας, ἀλλὰ τὸν Μέγαν Ἀλέξανδρον τῶν παραδόσεων:

*«Καί τις Ἀκρίτης ἕτερος ἐκεῖ νὰ εὑρέθη τότε*
*καὶ τὰς ποδέας του νὰ ἔμπηξε, νὰ ἐπῆρε τὸ ῥαβδίν του*
*καὶ μέσον νὰ κατέβηκεν εὐθὺς ὡς ἀγουρίτζης*
*καὶ νὰ τοὺς ἐσυνέτριψεν ὡς παλαμναῖος γίγας.»*

Ὁμοίως, ἀποκαλῶν ὁ Πτωχοπρόδρομος τὸν αὐτοκράτορα Μανουὴλ Κομνηνὸν (1143-1180) νέον Ἀκρίτην, τὸν Μέγαν Ἀλέξανδρον ἐννοεῖ:

*«Πρὸς σὲ τὸν χριστομίμητον, τὸν ἀληθῆ φωστῆρα,*
*τὸν πολεμάρχον τὸν στεῤῥόν, τὸν νέον τὸν Ἀκρίτην.»*

Ὁ Ἀρχάγγελος Μιχαήλ, ὡς Ταξιάρχης, εἶναι σωτὴρ ψυχῶν καὶ ψυχοπομπός. Ἐν τῇ ἐπιστολῇ Ἰούδα ἐρίζει πρὸς τὸν διάβολον, διεκδικοῦντα τὸ σῶμα τοῦ Μωυσέως, ὡς φονέως τοῦ Αὐγυπτίου:

*«Ὁ δὲ Μιχαὴλ ὁ Ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωυσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ᾽ εἶπεν· ἐπιτιμήσαι σοι Κύριος»* (Ἰου 9).

Ἐκ τῆς διακρίσεως ταύτης προέρχεται ἡ λαϊκὴ δοξασία περὶ διακρίσεως τοῦ Ἀρχαγγέλου Μιχαὴλ πρὸς τὸν διάβολον τίς ὁ παραλαμβάνων δικαιωματικῶς τὴν ψυχὴν τοῦ θνήσκοντος. Ἐν τῇ διακρίσει πρὸς τὸν διάβολον ὁ Ἀρχάγγελος Μιχαὴλ κερδίζει τὴν ψυχὴν δι᾽ ἑνὸς λόγου αὐτοῦ, διὸ φέρει καὶ τὴν ἐπωνυμίαν Ἀντιφωνητής. Οὗτος παρίσταται ἄνω τοῦ θνήσκοντος μετὰ πυρίνης ῥομφαίας, ἐνίοτε κρατῶν διὰ τῆς ἄλλης χειρὸς τὴν ψυχὴν τοῦ θανόντος. Κατὰ τὴν διέλευσιν κηδείας αἱ χωρικαὶ ἐν Κύπρῳ χέουσιν ἐν τῇ ὁδῷ τὸ ὕδωρ τῶν ὑδριῶν αὐτῶν

πρὸς δροσισμὸν καὶ κατευόδωσιν τοῦ νεκροῦ, δοξάζουσαι ὅτι ὁ Ἀρχάγγελος Μιχαὴλ ἔπλυνε τὴν ῥομφαίαν αὐτοῦ ἐν τοῖς ὑδροφόροις ἀγγείοις αὐτῶν. Ὡς κριτὴς τῶν δικαίων, ὁ Ἀρχάγγελος Μιχαὴλ παρίσταται ἐπίσης ἄνω τοῦ θανόντος, κρατῶν τὸν ζυγὸν τῆς δικαιοσύνης.

Τὸ ἔργον τοῦ Ἀρχαγγέλου Μιχαὴλ διακαιώσεως τῶν ψυχῶν ἀναλαμβάνει καὶ ὁ ἀντίστοιχος αὐτοῦ Ἅγιος Γεώργιος, ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής. Ἡ βασιλόπαις, ἣν ἐλευθεροῖ ἐκ τοῦ δράκοντος, καὶ οἱ νέοι, οὓς ἐπαναφέρει ἐκ τῆς αἰχμαλωσίας, τὴν δικαίωσιν τῶν ψυχῶν σημαίνει. Ἡ δρακοντοκτονία τοῦ Μεγάλου Ἀλεξάνδρου-Διγενῆ ἢ τοῦ Κωνσταντίνου-Κωσταντᾶ ἐν τοῖς δημώδεσιν ᾄσμασι τὴν δρακοντοκτονίαν τοῦ Ἁγίου Γεωργίου σημαίνει. Παρὰ τῷ παραδοσιακῷ λαῷ ὁ ἐκκλησιαστικὸς καὶ ὁ θύραθεν βίος ἀποτελοῦσιν ἓν ὅλον. Ἡ ἐπιστροφὴ πρὸς τὴν μητέρα τῆς ἐν τῇ ξένῃ ὑπανδρευθείσης θυγατρὸς ὑπὸ τοῦ Κωσταντᾶ ἐν τῷ δημώδει ᾄσματι τὴν ἐλευθέρωσιν αἰχμαλώτων ὑπὸ τοῦ Ἁγίου Γεωργίου σημαίνει.

Τὰ ἐργαλεῖα, δι᾿ ὧν καταβάλλεται ὁ ἀντίπαλος, λαμβάνουσιν ἀποτροπαϊκὴν σημασίαν παρὰ τῷ λαῷ. Ἡ ἀσπὶς καὶ ἡ λόγχη τοῦ Ἀρχαγγέλου Μιχαὴλ καὶ τοῦ Ἁγίου Γεωργίου φέρονται ὑπὸ τῶν ἀρχηγῶν κατὰ τὰς μάχας αὐτῶν. Σπάθη ἐξ οὐρανοῦ παραδίδεται παρ᾿ ἀγγέλου τῷ προωρισμένῳ ὑπερμάχῳ τοῦ λαοῦ.

Ἐν μονῇ τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἐν Νορμανδίᾳ ἐδείκνυτο μέχρι τοῦ δεκάτου ἑβδόμου αἰῶνος ἡ στρογγύλη ἀσπίς, ἣν ἔφερεν οὗτος ἐν τῇ μάχῃ αὐτοῦ κατὰ τοῦ βυθίου δράκοντος. Ἐν τῷ δημώδει ᾄσματι τῆς καταβολῆς τοῦ τεραστίου καρκίνου ὑπὸ τοῦ Διγενῆ ἢ τοῦ Κωσταντᾶ ὁ καρκῖνος συμβουλεύει τὸν ἥρωα, ὅπως κατασκευάσῃ ἐκ τοῦ κελύφους αὐτοῦ ἀσπίδα, ἀδιάτρητον ἐν πολέμῳ. Ὁ Ἀρχάγγελος Μιχαὴλ ἑορτάζεται καὶ τῇ εἰκοστῇ ἐνάτῃ Σεπτεμβρίου ἐπὶ τῇ ἀφιερώσει αὐτῷ βασιλικῆς παρὰ τὴν

Ῥώμην. Ἐν τῇ Δύσει κατὰ τὴν ἑορτὴν ταύτην κατεσκευάζοντο τετράγωνα ἢ τρίγωνα πλακούντια ἐξ ἀλεύρου, γάλακτος καὶ ᾠῶν, μιμούμενα τὴν ἀσπίδα τοῦ Ἀρχαγγέλου Μιχαήλ, ὡς ἀποτροπαϊκὰ τοῦ θανάτου. Ἐν Κύπρῳ ὁ τυρὸς καὶ τὰ ᾠὰ τῆς Ἀναστάσεως μετεσχηματίσθησαν εἰς ὅμοια, τετράγωνα, τρίγωνα ἢ στρογγύλα, πλακούντια, ἀσπίδα κατὰ τοῦ θανάτου συμβολίζοντα. Ταῦτα καλοῦνται *φλαοῦναι*, ὃ ἐκ τοῦ παλαιοῦ γαλλικοῦ *flaon*, ὃ ἐκ τοῦ λατινικοῦ *flado, -onis*, σημαίνοντος τὸ πλακούντιον. Ὁ τυρὸς συμβολίζει τὸ γάλα, τὴν πρώτην τροφὴν τῶν νηπίων καὶ τῶν δικαίων, ὡς νηπίων τοῦ Χριστοῦ, καὶ τὸ ᾠόν, ἐξ οὗ προέρχεται ἡ ζωή, τὸν τάφον, ἐξ οὗ ἀνέστη ὁ Χριστός. Ἡ λεγομένη *βασιλόπιτα*, ἐν ᾗ κρύπτεται τυχηρὸν νόμισμα, ἀποτελεῖ εὐετηρικὸν πλακοῦντα ἐπὶ τῇ πρώτῃ τοῦ νέου ἔτους. Συνεδέθη πρὸς τὸν ἑορτάζοντα κατὰ τὴν πρώτην τοῦ ἔτους Μέγαν Βασίλειον καὶ τὸ θαῦμα αὐτοῦ τῶν θησαυρῶν ἐν ἄρτοις, ἀλλὰ φαίνεται ὅτι κατάγεται ἐκ τοῦ πλακοῦντος τῶν βασιλέων, ὡς καλοῦνται ἐν τῇ Δύσει οἱ Μάγοι, οἱ φέροντες δῶρα εἰς τὸ Θεῖον Βρέφος. Παρ᾿ ἡμῖν προσεφέροντο τυχηρὰ νομίσματα, ἰδίᾳ ὑπὸ τῶν ἀναδόχων πρὸς τὰ βαπτιστικὰ αὐτῶν, κατὰ τὰ Θεοφάνια, ὅτε ἐφανερώθη ὁ Χριστὸς ἐν κόσμῳ. Ἡ ποιμαντικὴ ῥάβδος τῶν ἀρχιερέων προέρχεται ἐκ τῆς ῥάβδου τοῦ Μωυσέως, δι᾿ ἧς ἠνοίχθη ἡ διάβασις τῆς Ἐρυθρᾶς θαλάσσης, καὶ τῆς σταυρικῆς ὑψώσεως ὑπ᾿ αὐτοῦ τοῦ χαλκοῦ ὄφεως ἐν τῇ ἐρήμῳ, τὴν παρουσίαν τοῦ Χριστοῦ οὕτω σημαίνουσα. Ἐν τῇ Δύσει ἡ ποιμαντικὴ ῥάβδος μετ᾿ ἀγκιστροειδοῦς ἀπολήξεως μιμεῖται τὴν ῥάβδον τῶν ποιμένων. Ἡ ῥάβδος αὕτη παρελήφθη ὑπὸ τῶν ποιμένων τῆς Κύπρου. Παρὰ τοῖς ὀρεσιβίοις ποιμέσι τῆς Ἑλλάδος ἡ ποιμενικὴ ῥάβδος συνεδέθη πρὸς τὴν δρακοντοκτόνον λόγχην τοῦ Ἁγίου Γεωργίου, ὡς ἀποτρεπτικὴν κακοῦ, διὸ ἐν τῇ κορυφῇ αὐτῆς γλύφεται ὁ Ἅγιος Γεώργιος, φονεύων τὸν δράκοντα.

Ἐν τῇ ἀρχαιότητι ἡ ἀναγέννησις καὶ ἡ θέωσις παρίστατο διὰ στεφάνων. Οἱ νικηταὶ τῶν ἀγώνων, οἱ βασιλεῖς, οἱ συμποσιάζοντες, οἱ θίασοι, οἱ νεκροὶ ἐστεφανοῦντο. Ὁ συμβολισμὸς τῶν στεφάνων διετηρήθη καὶ κατὰ τοὺς χριστιανικοὺς χρόνους. Ὁ Χριστὸς παρέχει τοὺς στεφάνους τοῖς μάρτυσιν Αὐτοῦ. Ὁ ὀρθόδοξος γάμος τελεῖται δι᾽ εὐλογίας στεφάνων. Τοῖς νεκροῖς κατατίθενται στέφανοι. Κατὰ τὴν πρώτην Μαΐου, μηνός, ἀφιερωμένου ὑπὸ τῶν Ῥωμαίων τοῖς νεκροῖς, ἀναρτῶνται στέφανοι ἐν ταῖς θύραις τῶν οἰκιῶν. Κατὰ τὴν ἡμέραν αὐτὴν ἐν Κύπρῳ ἐσθίεται καὶ τὸ κουλλούριον τοῦ Μαΐου, ὅπερ ζυμοῦται μετὰ τῶν ἄρτων τῆς Ἀναστάσεως. Ἡ τεσσαρακονθήμερος περίοδος ἀπὸ τῆς Ἀναστάσεως μέχρι τῆς Ἀναλήψεως τοῦ Χριστοῦ καλεῖται ἐν τῇ Δύσει *Rosaria*, παρ᾽ ἡμῖν δὲ *Ῥοδισμὸς* ἢ δημωδῶς *Ῥουσάλια*, διὰ τὴν πλοκὴν στεφάνων, συμβολικῶν τῆς ἀναστάσεως τῶν νεκρῶν μετὰ τοῦ ἀναστάντος Χριστοῦ. Ῥοδισμὸς εἶναι καὶ ἡ τοποθέτησις ἀνθέων εἰς τὰς εἰκόνας. Ἀναγεννητικὸν στέφανον σημαίνουσι καὶ αἱ ἀρχαῖαι κολλῦραι, καὶ τὰ ἑορταστικὰ κουλλούρια καὶ τὸ κουλλούριον τοῦ γάμου. Παλαιότερον τὸ προσκλητήριον τοῦ γάμου ἐν Κύπρῳ ἦν δύο πεποικιλμένα κουλλούρια. Κατὰ τὰ Ῥουσάλια ἐτελοῦντο ὑπὸ τοῦ λαοῦ δρώμενα, οἷον κοινοτικαὶ συγκεντρώσεις, ἀγῶνες, ᾄσματα, χοροί. Ἰδιαιτέρως ἐτιμᾶτο κατὰ τὴν ἑορτὴν αὐτοῦ ἐν τῇ περιόδῳ ταύτῃ ὁ Ἅγιος Γεώργιος, ὁ καθαιρέσας τὸν βύθιον δράκοντα τοῦ θανάτου.

Ὁ Ἀρχάγγελος Μιχαὴλ ἀγγέλλει τὴν παρουσίαν τοῦ Χριστοῦ. Οὗτος εἶναι ἡ φωνὴ ἐν τῇ ἐρήμῳ, ἣν ἐνωτίσατο ὁ προφήτης Ἡσαΐας καὶ ἀνελάβετο ὁ Ἰωάννης ὁ Πρόδρομος:

*«Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν»* (Ἡσ μ´ 3).

www.tezaurliturgic.ro

Ὡς ἄγγελος ἐν τῇ ἐρήμῳ ὁ Ἰωάννης ὁ Πρόδρομος εἰκονίζεται πτερυγοφόρος.

Κατὰ τὴν εἰς Ἅδου κάθοδον τοῦ Χριστοῦ καὶ κατὰ τὴν ἐν οὐρανοῖς Ἀνάληψιν Αὐτοῦ ὁ Ἀρχάγγελος Μιχαὴλ ἐντέλλεται τοῖς πυλωροῖς:

*«Ἄρατε πύλας, οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.*

*τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ.*

*ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.*

*τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης»* (Ψαλ κγ΄ 7-10).

Ἡ ψαλμικὴ αὕτη ἐντολὴ ἀπαγγέλλεται κατὰ τὰ θυρανοίξια τῶν ἐγκαινίων, ὅταν εἰσέρχηται μετὰ τὴν λιτανείαν ὁ Ἀρχιερεὺς μετὰ τοῦ λαοῦ εἰς τὸν καθαγιασθέντα ναόν, ὡς οὐράνιον κατοικίαν τοῦ Χριστοῦ· κατὰ τὴν εἴσοδον μετὰ τὴν περιφορὰν τοῦ ἐπιταφίου εἰς τὸν ναόν, ὡς κάθοδον τοῦ Χριστοῦ εἰς Ἅδου· κατὰ τὴν εἴσοδον εἰς τὸν ναὸν μετὰ τὴν ἀνάγνωσιν τοῦ εὐαγγελίου τῆς Ἀναστάσεως ἔξω τοῦ ναοῦ παρὰ τὸν τάφον τοῦ Χριστοῦ.

Ἐν τοῖς ἀκραίοις ὁρίοις τοῦ ἑλληνισμοῦ κατὰ τὴν Δύσιν ἐτιμῶντο οἱ δύο φύλακες προστάται, ὁ Ταξιάρχης Ἀρχάγγελος Μιχαὴλ καὶ ὁ Τροπαιοφόρος Ἅγιος Γεώργιος.

Ἐν ἀκρωρείᾳ τοῦ ὄρους Γάργανον ἐν τῇ ἑλληνικῇ Ἀπουλίᾳ ἱδρύθη ἤδη ἀπὸ τῶν πρώτων χριστιανικῶν χρόνων ναὸς τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἐν σπηλαίῳ, ἐν ᾧ ἐστάλαζεν ὕδωρ. Πλῆθος ἀσθενῶν προσήρχετο εἰς τὸν ναὸν καὶ ἐθεραπεύετο διὰ τοῦ ἐν τῷ σπηλαίῳ ὕδατος. Ἐπανελαμβάνετο τὸ θαῦμα τῆς

κολυμβήθρας τοῦ Σιλωάμ, ἧς τὸ ὕδωρ ἐτάραττεν ὁ Ἀρχάγγελος Μιχαήλ.

Ἐν τῷ ἑτέρῳ ἄκρῳ τοῦ ἑλληνισμοῦ, τῇ ἀντιπέραν Κυρήνῃ, ὁ Ἅγιος Γεώργιος, ἐπαναλαμβάνων τὰ ἆθλα τοῦ Ἀρχαγγέλου Μιχαήλ, καθαιρεῖ τὸν βύθιον δράκοντα καὶ παρέχει τὸ ζῶν ὕδωρ τῷ κατατρυχομένῳ λαῷ. Πιθανώτατα ἡ βασιλική, ἧς τὰ ἐρείπια ἀνεκαλύφθησαν παρὰ τὴν πηγὴν τοῦ Ἀπόλλωνος, ἔνθα ἐτελέσθη τὸ θαῦμα, ἦν ἀφιερωμένη τῷ Ἁγίῳ Γεωργίῳ.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατὰ τὴν ἐπίγειον παρουσίαν Αὐτοῦ ἐποίησε θαύματα καὶ παρέσχε καὶ τοῖς Ἁγίοις Αὐτοῦ τὴν χάριν, ὅπως ἐπαναλαμβάνωσι τὰ θαύματα Αὐτοῦ εἰς τὸν αἰῶνα. Τὰ θαύματα τῶν Ἁγίων τοῦ Χριστοῦ ἀποτελοῦσι τὴν σφραγῖδα τῆς κατὰ χάριν ἁγιότητος αὐτῶν. Ὁ Θεὸς εἶναι ὑπεράγιος καὶ τρισάγιος, ὡς τριαδικὸς ἐν μονάδι. Ὁ ἄνθρωπος μετέχει ἁγιότητος, διανοίγων τὴν θύραν ἐπικοινωνίας πρὸς τὸν Θεόν. Ἡ ἁγιότης εἶναι ἄκτιστος ἐνέργεια τοῦ Θεοῦ, χορηγουμένη διὰ τοῦ Ἁγίου Πνεύματος. Θεματοφύλαξ τῆς ἁγιότητος εἶναι ἡ Ἁγία Ἐκκλησία τοῦ Χριστοῦ, χορηγοῦσα αὐτὴν διὰ τῶν Ἁγίων Μυστηρίων αὐτῆς. Τὰ πάντα ἐν τῇ Ἐκκλησίᾳ εἶναι ἅγια. Τὰ *Ἅγια τῶν Ἁγίων* τὴν βασιλείαν τῶν οὐρανῶν σημαίνουσι. Τὰ *Ἅγια τοῖς Ἁγίοις* τὰ προκείμενα ἅγια, τὰ δεξάμενα τὴν ἐπιφοίτησιν τοῦ Ἁγίου Πνεύματος ἐπὶ τῆς Ἁγίας Τραπέζης, περιστοιχούντων τῶν Ἁγίων Ἀγγέλων, σημαίνουσι.

Αἱ *Πράξεις τῶν Ἀποστόλων*, συγγραφεῖσαι ὑπὸ τοῦ ἀκολούθου τοῦ Ἀποστόλου Παύλου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ, καταγράφουσι τὰ ἔργα τῶν Ἀποστόλων, ἰδίᾳ τοῦ Ἀποστόλου τῶν Ἐθνῶν Παύλου. Ἐν τῇ μακραίωνι ἱστορίᾳ τῆς Ἐκκλησίας κατὰ τὰς *Πράξεις τῶν Ἀποστόλων* συνετάγησαν καὶ παμπληθεῖς *πράξεις Ἁγίων*, χρησιμοποιούμεναι ὑπὸ τῆς Ἐκκλησίας ἐν ταῖς ᾀσματικαῖς ἀκολουθίαις τῶν Ἁγίων καὶ

ὑπὸ τῶν πιστῶν ἐν γένει, ὡς ψυχωφελῆ ἀναγνώσματα. Ἀπηρτίσθησαν καὶ βιβλία, καλούμενα *Συναξάρια*, ὡς περιέχοντα σύναξιν, ἤτοι συναγωγήν, βίων Ἁγίων. Ἐκ τούτων προῆλθεν, ὥστε ὁ βίος Ἁγίου νὰ καλῆται *συναξάριον*.

Οἱ Ἅγιοι ἀναγνωρίζονται ὑπὸ τοῦ λαοῦ καὶ κατατάσσονται ὑπὸ τῆς Ἐκκλησίας, τιμῶνται δὲ καὶ δι' ᾀσματικῆς ἀκολουθίας κατὰ τὴν ἡμέραν μνήμης αὐτῶν, δηλαδὴ τῆς εἰσόδου εἰς τὴν αἰωνιότητα τοῦ Θεοῦ. Πολλοὶ Ἅγιοι, ἰδίᾳ τοπικοί, ἐστεροῦντο ἀκολουθίας. Τὰ Μηναῖα ἐσπάνιζον ἢ δὲν εἶχον ἀπαρτισθῆ πλήρως. Οὕτως ἐχρησιμοποιοῦντο κατὰ τὴν μνήμην αὐτῶν ἀκολουθίαι ἄλλων Ἁγίων ἢ συνετάσσοντο νέαι ὑπὸ γνωριζόντων τὰ ἐκκλησιαστικὰ γράμματα. Οὕτως ἐπήρχετο συμφυρμός, ὥστε διεδίδοντο στοιχεῖα βίου ἀπὸ Ἁγίου εἰς Ἅγιον.

Ἐν τῇ συνειδήσει τοῦ λαοῦ ἡ ἁγιότης συνυφαίνεται πρὸς τὴν τέλεσιν θαυμάτων. Τὰ θαύματα ἀποτελοῦσι τὴν σφραγῖδα τῆς ἁγιότητος τῶν Ἁγίων. Κατεστάθη ἓν ταμιεῖον θαυμάτων, ἐξ οὗ ἀντλοῦνται θαύματα, ὡς σημαντικὰ ἁγιότητος, μιᾶς οὔσης. Οὕτως ἀποδίδονται κοινὰ στοιχεῖα ἐν ταῖς πράξεσιν αὐτῶν τῷ Ἁγίῳ Θεοδώρῳ τῷ Τήρωνι καὶ τῷ Ἁγίῳ Θεοδώρῳ τῷ Στρατηλάτῃ.

Οἱ συντάκται πράξεων Ἁγίων κατέγραψαν προσωπικὰς ἐμπειρίας, ὄντες αὐτόπται, ἢ ἐστηρίχθησαν ἐπὶ δημιουργηθεισῶν λαϊκῶν παραδόσεων, ἢ διεσκεύασαν πράξεις Ἁγίων ἄλλων συντακτῶν, ἢ παρενέβαλον ταξιδεύοντα μυθολογικὰ καὶ παραμυθιακὰ στοιχεῖα, ἀποβλέποντες εἰς ἀπόδειξιν καὶ προβολὴν τῆς ἁγιότητος τῶν Ἁγίων. Τὰ θαύματα καὶ οἱ μῦθοι ἔχουσι κοινὸν στοιχεῖον τὸ ὑπερφυσικόν, ὥστε δύνανται νὰ συγχέωνται. Ἡ παρεμβολὴ μυθικῶν στοιχείων ἐν ταῖς πράξεσι τῶν Ἁγίων, γενομένη ἐν πίστει, οὐδόλως μειοῖ ἢ καθαιρεῖ τοὺς Ἁγίους.

Ξένα στοιχεῖα παρεισέφρησαν εἰς τὰς πράξεις ἰδίᾳ παλαιῶν

Ἁγίων, οἵτινες ἐτύγχανον καθολικῆς καὶ μακρᾶς τιμῆς παρὰ τοῦ λαοῦ. Οὕτως ὁ πάπας Γελάσιος, ἀμφιβάλλων περὶ τῶν πράξεων τοῦ Ἁγίου Γεωργίου, τοποθετεῖ αὐτὸν ἐν τῷ Κανόνι αὐτοῦ (496) εἰς τοὺς Ἁγίους, ὧν τὸ ὄνομα τιμᾶται μεταξὺ τῶν ἀνθρώπων, ἀλλὰ τὰς πράξεις γινώσκει μόνον ὁ Θεός. Ὁμοίως ὁ Νικήτας ὁ Παφλαγών, ἐπίσκοπος Δαδύβρων Παφλαγονίας (+870), ἀποῤῥίπτει Μαρτύριον τοῦ Ἁγίου Γεωργίου, ᾧ ἐνέτυχε, γράφων: «*Ἐνέτυχον καὶ ἑτέρῳ δῆθεν Μαρτυρίῳ τοῦ αὐτοῦ ἁγίου, πολλὰ τερατώδη παραληροῦντι καὶ φλυαρίας ἀνάμεστα.*» Παρὰ ταῦτα, ὁ Νικήτας οὗτος συνέταξε πολλοὺς ἐκκλησιαστικοὺς λόγους καὶ ἐγκώμια εἰς Ἀποστόλους καὶ Ἁγίους ἐπὶ τῇ βάσει θρύλων καὶ ἀποκρύφων πηγῶν, καταστὰς αὐτὸς πηγὴ μεταγενεστέρων, ὡς τοῦ Γενεσίου καὶ τοῦ Συμεὼν τοῦ Μεταφράστου.

Τὰ θαύματα ἀποτελοῦσιν ἐνέργειαν τοῦ Θεοῦ, παρεχομένην διὰ τῶν Ἁγίων Αὐτοῦ ἐν πίστει διὰ τὸ ψυχικὸν χρήσιμον. Θαύματα, πειράζοντα τὸν Θεόν, ἢ ὄζοντα μύθων, ἢ στερούμενα τοῦ ψυχικοῦ χρησίμου, δὲν εἶναι θαύματα. Θαύματα δὲν εἶναι ἡ πρόκλησις τοῦ Ἁγίου «ποίησον θαῦμα, ἵνα πιστεύσω», ἢ ἡ ἐπανασυγκόλλησις καὶ ἀνάστασις ταμέντος εἰς τεμάχη σώματος, ἢ ἡ ζωοποίησις ἐκψοφήσαντος ζῴου.

Τὰ θαύματα, ἀποτελοῦντα ἐνέργειαν τοῦ ἐπέκεινα, λειτουργοῦσαν ἐν τῷ κόσμῳ ἡμῶν, ἐνέχουσι συμβολισμὸν ἐν τῷ κόσμῳ τοῦ Θεοῦ. Οἱ οὐράνιοι συμβολισμοὶ ἐπαναλαμβάνονται ἐν ταῖς πράξεσι τῶν Ἁγίων.

Ὁ Ἅγιος Ἱερομάρτυς ἐπίσκοπος Κυρήνης Θεόδωρος ἀπετμήθη τὴν γλῶσσαν καὶ ἐῤῥίφθη εἰς τὴν φυλακήν, ἀλλ᾽ οὐκ ἐπαύσατο ὁμιλῶν καὶ διδάσκων.

Ὁ ἐκ Καισαρείας τῆς Παλαιστίνης διάκονος Ῥωμανὸς κατεδικάσθη εἰς τὸν διὰ πυρᾶς θάνατον. Περιφρονήσας τὸ πῦρ,

λέγων «ποῦ μοι τὸ πῦρ;», ἀπετμήθη τὴν γλῶσσαν καὶ ἐῤῥίφθη εἰς τὰ δεσμά, ἀλλ᾽ οὐκ ἐπαύσατο ὁμιλῶν καὶ διδάσκων.

Ὁ πρεσβύτερος Ἀντιοχείας Λουκιανός, μετενεχθεὶς εἰς Νικομήδειαν, ἐῤῥίφθη εἰς τὰ δεσμὰ καὶ ἀπετμήθη τὴν κεφαλήν. Κατὰ τὴν προτεραίαν τοῦ μαρτυρίου αὐτοῦ ὁ μάρτυς ἐτέλεσε τὸ μυστήριον τῆς Θείας Εὐχαριστίας ἐπὶ τοῦ στήθους αὐτοῦ.

Ὁ Ἅγιος Ἱερομάρτυς ἐπίσκοπος Κυρήνης Θεόδωρος ἐτοποθέτησεν ἐπὶ τοῦ στήθους αὐτοῦ τὴν ἀποτμηθεῖσαν γλῶσσαν αὐτοῦ.

Ἡ καρδία τοῦ Ἁγίου, γινομένη Ἁγία Τράπεζα, τὴν ἐνοίκησιν τοῦ Χριστοῦ ἐν αὐτῇ, σταυρουμένου καὶ ἀνισταμένου, σημαίνει.

Ὁ Ἅγιος Πολύκαρπος Σμύρνης ἀνέβη μόνος ἐπὶ τῆς ἀναφθείσης πυρᾶς καὶ ἐξηπλώθη ἡσύχως, ὡς ὁ φοῖνιξ ἐκεῖνος, ἵνα καύσῃ τὰ ἐπίγεια πτερὰ καὶ λάβῃ πτερὰ ἀγγέλων ἐν τῷ Παραδείσῳ. Αἱ φλόγες περὶ αὐτὸν ἐσχημάτισαν ἡμικύκλιον, ὡς τὰ ὠθούμενα ὑπὸ τοῦ ἀνέμου ἱστία πλοίου, καὶ τὸ σῶμα αὐτοῦ ἐφαίνετο ὡς ὀπτώμενος ἄρτος ἢ διυλιζόμενος χρυσός. Συγχρόνως διέχεετο εἰς τὸν ἀέρα εὐωδία θυμιάματος. Λογχισθέντος τοῦ Μάρτυρος ὑπὸ τοῦ κεντυρίωνος, ἐξῆλθε περιστερά, ἀποπτᾶσα, καὶ αἷμα κατασβέσαν τὴν πυρκαϊάν.

Παρόμοιον θαῦμα ἐτελέσθη καὶ κατὰ τὴν διὰ πυρᾶς τελείωσιν τοῦ Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος:

*«Τὸ γὰρ πῦρ καμάρας εἶδος ἐποίησεν ὥσπερ ὀθόνην πλοίου ὑπὸ πνεύματος πληρουμένην καὶ περιετοίχισε τὸ σῶμα τοῦ ἁγίου· καὶ ἦν μὲν οὐχ ὡς σὰρξ καιόμενον, ἀλλ᾽ ὡς ἄρτος ὀπτώμενος· καὶ γὰρ εὐωδίας ἀντελαβόμεθα.»*

Πορευομένου τοῦ Ἁγίου Ἱερομάρτυρος ἐπισκόπου Κυρήνης Θεοδώρου εἰς τὴν φυλακήν, ἐφάνη μία περιστερά, περιιπταμένη καὶ δορυφοροῦσα αὐτῷ. Ἐγκλεισθέντος τούτου ἐν τῇ φυλακῇ,

ἐφάνη ταῶς, καθεζόμενος ἐπὶ τοῦ παραθύρου καὶ ἀποπτὰς εἶτα εἰς τὰ ἀναπεπταμένα τοῦ οὐρανοῦ.

Μετὰ τὴν τελείωσιν ἐν πυρᾷ τοῦ Ἁγίου Θεοδώρου τοῦ Τήρωνος εὐσεβής τις Εὐσεβία ᾐτήσατο τὸ σῶμα αὐτοῦ καὶ ἐκήδευσεν ἐν τῷ οἴκῳ αὐτῆς:

*«Εὐσεβία δέ τις φερωνύμως εὐσεβῶς ζῶσα ᾐτήσατο τὸ σῶμα τοῦ μάρτυρος καὶ οἴνῳ καὶ μύροις διακοσμήσασα τὸ ἅγιον αὐτοῦ σῶμα καὶ ἐν σινδόνι καθαρᾷ εἰλήσασα ἀπέθετο ἐν γλωσσοκόμῳ εἰς οἰκίσκον ἑαυτῆς, μνήμην ἐπιτελοῦσα εἰς δόξαν Θεοῦ παντοκράτορος καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.»*

Αἱ τρεῖς μαθήτριαι τοῦ Ἁγίου Ἱερομάρτυρος ἐπισκόπου Κυρήνης Θεοδώρου Κυπρίλλα, Ἀρόα καὶ Λουκία ἐκήδευσαν τὸ σῶμα αὐτοῦ, ἐκψύξαντος ἐν τῇ φυλακῇ.

Τὸ ὀπτώμενον ἐν τῇ σκέπῃ τῆς πυρᾶς σῶμα τῶν Ἁγίων καὶ ὡς χρυσὸς διυλιζόμενον τὴν Ἁγίαν Ἀναφορὰν σημαίνει.

Ἡ ἀναδιδομένη εὐωδία ἐκ τοῦ σκηνώματος τοῦ Μάρτυρος τὴν ἐπιχυθεῖσαν χάριν τοῦ Ἁγίου Πνεύματος σημαίνει.

Ἡ περιστερὰ τὴν ἁγνότητα τῆς ψυχῆς τοῦ μάρτυρος σημαίνει.

Ὁ ταῶς ἐν τοῖς συμβόλοις εἶναι παραδείσιον πτηνόν, σημαῖνον τὴν ἀθανασίαν. Ἐν τῇ χριστιανικῇ παραδόσει τὸν ἡλιακὸν δίσκον σημαίνει καὶ ἡ οὐρὰ αὐτοῦ τὸν ἔναστρον οὐρανόν. Ἡ ἐμφάνισις αὐτοῦ κατὰ τὴν τελευτὴν τοῦ Ἁγίου Ἱερομάρτυρος ἐπισκόπου Κυρήνης Θεοδώρου τὴν μετάβασιν αὐτοῦ εἰς τὸν Παράδεισον σημαίνει.

Αἱ μαθήτριαι τῶν Ἁγίων τὰς γυναῖκας, τὰς ὑπηρετούσας τὸν Χριστόν, καὶ τὰς Μυροφόρους σημαίνουσι. Ἡ Εὐφημία, ἡ κηδεύσασα τὸ σῶμα τὸ Ἁγίου Θεοδώρου τοῦ Τήρωνος, τὸν

Ἰωσήφ τὸν ἀπὸ Ἀριμαθαίας, τὸν ἀποκαθηλώσαντα καὶ ἐνταφιάσαντα τὸν Χριστόν, σημαίνει. Αἱ κηδεύσασαι τὸν Ἅγιον Ἱερομάρτυρα ἐπίσκοπον Κυρήνης τρεῖς μαθήτριαι αὐτοῦ τὰς Μυροφόρους σημαίνουσι.

Ὁ μάρτυς Βαρλαὰμ τῆς Ἀντιοχείας ὑπέμεινε τὸ μαρτύριον τῶν ἀνημμένων ἀνθράκων. Οἱ βασανισταὶ ἐκράτησαν βιαίως τὴν χεῖρα αὐτοῦ ὑπεράνω τῶν φλογῶν τοῦ βωμοῦ, θέσαντες ἐν αὐτῇ θυμίαμα, ὥστε, κινῶν αὐτὴν ἐκ τοῦ καύματος, νὰ ῥιφθῇ τοῦτο ἐπὶ τοῦ βωμοῦ, θεωρούμενον ὡς προσφορὰ θυσίας. Ὁ μάρτυς ἐκράτησε τὴν χεῖρα αὐτοῦ σταθεράν.

Τὸ μαρτύριον τῶν ἀνημμένων ἀνθράκων ἐν ταῖς χερσὶν αὐτῶν ὑπέμειναν καὶ αἱ μαθήτριαι Κυπρίλλα καὶ Λουκία τοῦ Ἁγίου Ἱερομάρτυρος ἐπισκόπου Κυρήνης Θεοδώρου. Οἱ βασανισταὶ ἐποίησαν τὰς χεῖρας τῶν Ἁγίων δῆθεν βωμοὺς εἰδώλων.

Αἱ καιόμεναι χεῖρες τῶν Ἁγίων τήν Ἁγίαν Ἀναφορὰν σημαίνουσι.

Ἐν τῇ συνειδήσει τοῦ λαοῦ τὰ μαρτύρια τῶν Ἁγίων ἀποτελοῦσι σφραγῖδα πίστεως αὐτῶν. Οἱ μάρτυρες ὑπέμειναν τὰ μαρτύρια διὰ τὴν εἰς Χριστὸν πίστιν αὐτῶν. Ὡς περὶ θαυμάτων, ὑπάρχει καὶ ταμιεῖον μαρτυρίων, ἐξ οὗ διαδίδονται ὁμοίως μαρτύρια. Τὴν δίωξιν τῶν πιστῶν προανήγγειλεν ὁ ἴδιος ὁ Χριστός:

«*Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν*» (Ἰω ιε´ 20).

Προδιέγραψε δὲ καὶ τὴν πορείαν τῆς Ἐκκλησίας Αὐτοῦ:

«*Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι*» (Μαρ η´ 34).

Διὰ τοῦ μυστηρίου τῆς Βαπτίσεως ὁ ἄνθρωπος, ἀνακαινι-

ζόμενος, καθίσταται μέλος τῆς Ἐκκλησίας καὶ λαμβάνει δυνάμει πάντα τὰ χαρίσματα τοῦ Ἁγίου Πνεύματος. Ὡς πιστός, μετέχει τοῦ μυστηρίου τῆς Σταυρώσεως καὶ τῆς Ἀναστάσεως τοῦ Χριστοῦ.

Οἱ Μάρτυρες ὑπομένουσι πάντα τὰ μαρτύρια τῶν διωκτῶν αὐτῶν, ἵνα μὴ ἐπαισχυνθῶσι τὸν Χριστὸν κατὰ τοὺς λόγους Αὐτοῦ:

*«Ὃς γὰρ ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων»* (Μαρ η΄ 38).

Ἡ πίστις εἰς τὸν Χριστὸν ἔδιδεν εἰς τοὺς μάρτυρας ἀκατάβλητον δύναμιν, ὥστε νὰ εἰσέρχωνται εἰς τὸ στάδιον τῶν μαρτυρίων, ὡς εἰς εὐφρόσυνον πανήγυριν. Ὁ κύκλος τῶν μαρτυρίων συμπεριελάμβανε μαστιγώσεις, ἐκδοράς, ἀκρωτηριασμούς, πῦρ, σίδηρον, θηρία, ξίφος, σταύρωσιν, ἀποτομὴν κεφαλῆς καὶ ὅ,τι ἄλλο.

Οἱ διωγμοὶ ἤρξαντο ἀπὸ τῶν Ἑβραίων. Αἰτία ὑπῆρξεν ἡ διχοστασία τῶν Ἑβραίων μεταξὺ ἑλληνιζόντων, ἀποδεχομένων τὸν ἑλληνικὸν τρόπον ζωῆς, καὶ τῶν ἐμμενόντων εἰς τὰ πάτρια ἤθη καὶ ἔθιμα. Ἡ ἑλληνίζουσα μερίς, ἔχουσα τὴν ὑποστήριξιν τοῦ Σελευκίδου Ἀντιόχου τοῦ Δ΄, τοῦ ἐπιλεγομένου Ἐπιφανοῦς, κατώρθωσε νὰ καταλάβῃ καὶ αὐτὸ τὸ ἀρχιερατικὸν ἀξίωμα. Ὁ Ἀντίοχος ἠξίωσεν, ὅπως καταλάβῃ οὗτος τὸ ἀξίωμα τοῦτο. Ἀντιταχθέντες οἱ ἐμμένοντες εἰς τὰ πάτρια ἤθη καὶ ἔθιμα, ἐκηρύχθησαν στασιασταί. Ὁ Ἀντίοχος, ἔχων συνεργάτας τοὺς ἑλληνίζοντας, ἐβεβήλωσε τὸν ναόν, μετατρέψας αὐτὸν εἰς ναὸν τοῦ Διός, κατέκαυσε τὰ ἱερὰ βιβλία καὶ ἐπεχείρησεν, ὅπως ἐπιβάλῃ τὴν ἑλληνικὴν θρησκείαν καὶ τὸν ἑλληνικὸν

τρόπον ζωῆς. Ἔφθασε καὶ μέχρι σφαγῆς τῶν ἀντιδρώντων. Ἡ βία προὐκάλεσεν ἐπανάστασιν τῷ 167 π.Χ., ὅτε ἐμαρτύρησαν οἱ γνωστοὶ Μακκαβαῖοι. Οἱ διωγμοὶ κατὰ τῶν Ἑβραίων ἐσυνεχίσθησαν καὶ ἐπὶ Ῥωμαίων, ὅτε ὁ υἱὸς τοῦ αὐτοκράτορος Βεσπασιανοῦ Τίτος κατέσκαψε τὴν Ἱερουσαλὴμ καὶ αὐτὸν τὸν ναὸν τοῦ Σολομῶντος καὶ ἐξηκόντισε τοὺς Ἑβραίους εἰς διασποράν.

Οἱ Ῥωμαῖοι, ὡς καὶ οἱ Ἕλληνες, ἦσαν ἀνεξίθρησκοι. Ἐν Ῥώμῃ εἶχον κατασκηνώσει πᾶσαι αἱ θρησκεῖαι τῆς Ἀνατολῆς. Ἐρωτᾶται διατί οὗτοι κατεδίωξαν μετὰ τοσαύτης σκληρότητος τοὺς Ἑβραίους καὶ τὴν θρησκείαν αὐτῶν. Οἱ Ῥωμαῖοι ἠνείχοντο τὰς θρησκείας, ἐφ᾽ ὅσον αὗται ἀπεδέχοντο τὴν κρατικὴν πολιτικήν. Κρατικὴ πολιτικὴ τῶν Ῥωμαίων ἦν ἡ ἀναγνώρισις καὶ ἡ τιμὴ τοῦ αὐτοκράτορος ὡς θεοῦ, συνεκτικοῦ θεσμοῦ τῆς αὐτοκρατορίας, διὰ τῆς τοποθετήσεως ἀγαλμάτων αὐτοῦ ἐν τοῖς ναοῖς, ἱδρύσεως ναῶν καὶ τελέσεως ἑορτῶν πρὸς λατρείαν αὐτοῦ. Οἱ Ἑβραῖοι, λατρεύοντες, τὸν ἕνα Θεόν, οὐκ ἠνείχοντο τοποθέτησιν ἀγαλμάτων ἐν τῷ ναῷ αὐτῶν, οὐδὲ συμμετοχὴν εἰς λατρείαν ἄλλων θεῶν. Οὕτως οἱ Ῥωμαῖοι ἐγένετο διῶκται τῶν Ἑβραίων.

Οἱ διωγμοὶ τῶν Ἑβραίων ἐσυνεχίσθησαν ὡς διωγμοὶ τῶν χριστιανῶν. Ὁμοίως οὗτοι ἐθεώρουν τὰς ἄλλας θρησκείας εἰδωλολατρικάς, καὶ ἠρνοῦντο, ὅπως συμμετάσχωσιν εἰς θυσίας καὶ τελετὰς πρὸς λατρείαν τοῦ αὐτοκράτορος. Οὕτως ἐθεωρήθησαν ὡς ἀρνηταὶ καὶ ὑπονομευταὶ τοῦ κράτους, καὶ ἐδιώχθησαν. Οἱ Ῥωμαῖοι ἠνωχλοῦντο, διότι οἱ περιθωριακοὶ οὗτοι ἐτίμων τὸν σταυρόν, ὄργανον, δι᾽ οὗ οὗτοι ἐτιμώρουν τοὺς ἐχθροὺς τῆς Ῥώμης, καὶ τὰ κατ᾽ αὐτοὺς ἀποβράσματα, ἅτινα ἀνήρτων ἐν τῷ σταυρῷ. Διάσημοι αὐτοκράτορες ἀνέλαβον ἀπηνεῖς διωγμοὺς κατὰ τῶν χριστιανῶν. Οἱ χριστιανοὶ ἐθεωροῦντο ὑπαίτιοι

www.tezaurliturgic.ro

ἐπισυμβαινόντων κακῶν τῇ Ῥώμῃ διὰ τὴν ἀσέβειαν αὐτῶν πρὸς τοὺς κρατικοὺς θεοὺς καὶ τὸν αὐτοκράτορα. Ἐπίσης ἀπετέλουν πρόχειρον ὑλικὸν ἐκχύσεως αἵματος ἐν τῷ Κολοσσαίῳ καὶ τοῖς θεάτροις, ὅπερ οἱ Ῥωμαῖοι ἠρέσκοντο νὰ θεῶνται.

Τοὺς ἀγῶνας μετ᾽ ἐκχύσεως αἵματος παρέλαβον οἱ Ῥωμαῖοι παρὰ τῶν Ἐτρούσκων. Ἡ πάλη καὶ ἡ ἔκχυσις αἵματος ἀποτελοῦσι νεκρικὰς τελετὰς πρὸς ἀπόδοσιν εἰς τὸν νεκρὸν δυνάμεως καὶ ζωῆς, ἅστινας ἐστερεῖτο. Ἡ ἀνάλγητος στρατιωτικὴ μηχανὴ τῶν Ῥωμαίων ἀπῄτει μονομάχους, ἀγωνιζομένους μέχρι θανάτου, καὶ ἐξοικείωσιν πρὸς τὸ αἷμα.

Παράδοξον ἀποτελεῖ ἐν ταῖς πράξεσι τῶν Μαρτύρων ἡ ἀπόδοσις τῶ διωγμῶν, οὐχὶ εἰς τοὺς Ῥωμαίους, ἀλλ᾽ εἰς τοὺς Ἕλληνας. Τὸ ὄνομα *Ἕλλην* ἐγένετο παρὰ τοῖς χριστιανοῖς συνώνυμον τοῦ εἰδωλολάτρου. Οἱ χριστιανοὶ οὐ κατηγοροῦσι πολιτείας, ἀλλὰ ἰδεολογίας. Ὁ Μέγας Ἀλέξανδρος κατέστησεν ὅλον τὸν γνωστὸν κόσμον ἰδεολογικῶς ἑλληνικόν. Ἀπὸ τῆς Ῥώμης μέχρι τῶν Ἰνδιῶν ὡμιλεῖτο ἡ Ἑλληνικὴ γλῶσσα καὶ ἐκράτει ὁ ἑλληνικὸς τρόπος ζωῆς, ἡ πόλις, τὸ θέατρον, τὸ γυμνάσιον, ἡ ἀγορά, οἱ θεοί, ἡ φιλοσοφία, ἡ ἐπιστήμη, ἡ τέχνη. Ὁ χριστιανισμὸς εὑρέθη ἀντίπαλος πρὸς τὴν ἑλληνικὴν θρησκείαν τοῦ κόσμου τούτου.

Τὸ ἀπέραντον κράτος τοῦ Μεγάλου Ἀλεξάνδρου μετετράπη πολιτικῶς εἰς ῥωμαϊκόν, ἀλλὰ πολιτισμικῶς παρέμεινεν ἑλληνικόν. Τὸ βάρος αὐτοῦ, εὑρισκόμενον ἐν τῇ ἑλληνικῇ Ἀνατολῇ, εἵλκυσε καὶ αὐτὴν τὴν πρωτεύουσαν αὐτοῦ, μετενεχθεῖσαν ὑπὸ τοῦ Μεγάλου Κωνσταντίνου εἰς τὴν ὑπ᾽ αὐτοῦ ἱδρυθεῖσαν νέαν πρωτεύουσαν Κωνσταντινούπολιν. Ἡ Νέα Ῥώμη, ἱδρυθεῖσα ἐν ὀμφαλίῳ σημείῳ, ἐν τῇ συναντήσει ἠπείρων, ἐπέλαμψεν ὡς καθέδρα τοῦ ἐπιγείου βασιλέως τοῦ κόσμου καὶ ἠκτινοβόλησεν ἁγιότητα καὶ πολιτισμὸν καὶ εἰς τὰ τέσσαρα σημεῖα

τοῦ κόσμου. Ἡ προσφορὰ αὕτη τῆς Κωνσταντινουπόλεως θὰ διατηρῆται πάντοτε εἰς τοὺς αἰῶνας.

Ἡ χριστιανικὴ Ῥωμαϊκὴ αὐτοκρατορία, ἡ λεγομένη καὶ Οἰκουμένη, ἐπεβάλετο, ὅπως δημιουργήσῃ τὴν πολιτείαν τοῦ Θεοῦ ἐπὶ τῆς γῆς. Ἐτίμησε καὶ ἀνέδειξεν Ἁγίους, ἁγιασθέντας ἐν ἀσκήσει, ἐν μαρτυρίῳ καὶ ἐν καθαιρέσει τοῦ ἐχθροῦ τῆς Ἐκκλησίας. Ὠνόμασε καὶ διέδωσε τοὺς Μεγαλομάρτυρας.

Τὰ σώματα τῶν Ἁγίων εὐωδιάζουσι καὶ οἱ τάφοι μυροβλύζουσι.

Ἡ εὐωδία καὶ τὸ μύρον τὴν ἐπιχεομένην χάριν τοῦ Ἁγίου Πνεύματος σημαίνουσι.

Ἡ ἄσκησις τῶν ἀσκητῶν ἐν σπηλαίοις καὶ σκήταις ἐπαναλαμβάνει τὴν ἄσκησιν τοῦ Καθηγητοῦ τῆς ἐρήμου Μεγάλου Ἀντωνίου ἐν τάφῳ καὶ σπηλαίῳ. Οἱ λεγόμενοι Ἀλαμᾶνοι Ἅγιοι τῆς Κύπρου, οἵτινες εἶναι τοπικοὶ Ἅγιοι, παραληφθέντες ὑπὸ τῶν κυριάρχων Φράγκων, ἠσκήθησαν ἐν ἀρχαίοις τάφοις καὶ σπηλαίοις.

Ἡ ἄσκησις τῶν ἀσκητῶν τὴν ἔξοδον τοῦ Χριστοῦ εἰς τὴν ἔρημον σημαίνει.

Κατὰ τὴν Κυριακὴν τῶν Βαΐων οἱ ἀσκηταὶ ἐκ τῶν τόπων αὐτῶν κατέρχονται εἰς τὰς μονὰς πρὸς κοινὴν δόξαν τοῦ Χριστοῦ.

Ἡ κάθοδος τῶν ἀσκητῶν εἰς τὴν μονὴν τὴν εἴσοδον τοῦ Χριστοῦ εἰς τὴν Ἱερουσαλὴμ σημαίνει.

Τὸ μαρτύριον τοῦ Μάρτυρος τὴν συσταύρωσιν μετὰ τοῦ Χριστοῦ σημαίνει.

Στρατιωτικοὶ Μεγαλομάρτυρες, ὡς οἱ Ἅγιοι Θεόδωροι Τήρων καὶ Στρατηλάτης, ὁ Ἅγιος Δημήτριος καὶ ὁ Ἅγιος Γεώργιος, πλὴν τῆς παλαιᾶς κατ᾽ ἐνώπιον παραστάσεως αὐτῶν, παρεστάθησαν καὶ ἔφιπποι, καθαιροῦντες τὸν ἐχθρὸν τῆς Ἐκκλησίας.

Ἡ παράστασις στρατιωτικῶν Ἁγίων ἐφίππων ἀπὸ τῶν μέσων

χρόνων καὶ ἑξῆς δὲν προέρχεται ἐκ τῶν ἱπποτῶν τῆς Δύσεως, ἀλλ᾽ ἐκ παραστάσεων θεώσεως ἐν τῇ Ἀνατολῇ. Ὁ νεκρὸς διὰ τοῦ ἵππου μεταφέρεται εἰς τὸν οὐρανόν. Ὑπὸ τὸν ἵππον παρίστανται ζῷα, συμβολικὰ τῆς αἰωνιότητος, ὡς ἰχθύες. Ἐν τῇ στήλῃ τοῦ Δεξίλεω ἐκ τοῦ Κεραμεικοῦ τῶν Ἀθηνῶν καὶ ἐν ταῖς στήλαις τῆς Θράκης παρίσταται ὁ θεούμενος νεκρός, καταβάλλων ἀντίπαλον. Ἐν τῇ Ἀνατολῇ παρίσταντο ὁ Ἀρχάγγελος Μιχαὴλ ἢ ὁ βασιλεὺς Σολομὼν ἔφιπποι ἐν φυλακτηρίοις, καταβάλλοντες ἀντίπαλον. Οἱ ἔφιπποι Ἅγιοι καταπατοῦσι τὸν ὑπὸ τοὺς πόδας τοῦ ἵππου αὐτῶν θάνατον, ὡς ὁ Χριστὸς ἐν τῷ σταυρῷ, καὶ θεοῦνται. Μετὰ τὴν δρακοντοκτονίαν ὁ Ἅγιος μεταβαίνει εἰς τὸ μαρτύριον καὶ τὴν ἀποδοχὴν αὐτοῦ ἐν τῷ Παραδείσῳ. Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ Ἁγίου τὴν μετάβασιν αὐτοῦ εἰς τὸν Παράδεισον σημαίνει. Ἐν Ἠπείρῳ τὰ ἀνακομιζόμενα ὀστᾶ κατόπιν σχετικῆς εὐχῆς τοποθετοῦνται ἀπὸ τῆς Σταυρώσεως τοῦ Χριστοῦ τῇ Μεγάλῃ Πέμπτῃ μέχρι τῆς Ἀναλήψεως Αὐτοῦ παρὰ τὴν Ὡραίαν Πύλην τοῦ ναοῦ. Διὰ τῆς ἀνακομιδῆς τῶν ὀστῶν αὐτῶν οἱ τεθνεῶτες συμμετέχουσι τῇ Σταυρώσει καὶ τῇ Ἀναστάσει Αὐτοῦ καὶ ἀκολουθοῦσιν Αὐτῷ εἰς τὸν Παράδεισον.

Οἱ Ἅγιοι προστατεύουσι τὰς κοινότητας καὶ τὴν χώραν ἐκ τῆς ἐπηρείας τοῦ ἀντιπάλου. Κατὰ τὰς λαϊκὰς παραδόσεις κωλύουσι τὴν εἴσοδον εἰς τὴν κοινότητα τῆς ἀσθενείας καὶ ἄλλης βλάβης, μεταμεμορφωμένης εἰς κακὴν γραῖαν. Ἀπολιθοῦσι θηρία, εἰσβάλλοντα καὶ λυμαινόμενα. Βραχονησῖδες ἐν τοῖς αἰγιαλοῖς τῆς Κύπρου εἶναι ἀφιερωμέναι τῷ προστάτῃ Ἁγίῳ Γεωργίῳ.

Αἱ πράξεις τῶν Μαρτύρων, ὑφισταμένων μαρτύρια καὶ ἐμμενόντων τῇ πίστει αὐτῶν, ἔχουσι πρότυπον τὰ πάθη τῶν Μακκαβαίων καὶ τῶν Τριῶν Παίδων ἐν καμίνῳ. Ὁ ἀναγινώσκων τὰ πάθη τούτων αἰσθάνεται ὅτι ἀναγινώσκει πράξεις χριστιανῶν Μαρτύρων.

Τὰ πάθη τῶν Μακκαβαίων τρέχουσιν οὕτω:

*«Προκαθίσας γέ τοι μετὰ τῶν συνέδρων ὁ τύραννος Ἀντίοχος ἐπί τινος ὑψηλοῦ τόπου καὶ τῶν στρατευμάτων αὐτῷ ἐνόπλων κυκλόθεν παρεστηκότων, παρεκέλευε τοῖς δορυφόροις*

*ἕνα ἕκαστον τῶν Ἑβραίων ἐπισπᾶσθαι, καὶ κρεῶν ὑείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι·*

*εἰ δέ τινες μὴ θελήσειαν μιαροφαγῆσαι, τούτους τροχισθέντας ἀναιρεθῆναι.*

*πολλῶν δὲ συναρπασθέντων εἷς πρῶτος ἐκ τῆς ἀγέλης Ἑβραῖος ὀνόματι Ἐλεάζαρος, τὸ γένος ἱερεύς, τὴν ἐπιστήμην νομικός, καὶ τὴν ἡλικίαν προήκων καὶ πολλοῖς τῶν περὶ τὸν τύραννον διὰ τὴν ἡλικίαν γνώριμος, παρήχθη πλησίον αὐτοῦ.*

*καὶ αὐτὸν ἰδὼν ὁ Ἀντίοχος ἔφη·*

*ἐγὼ πρὶν ἄρξασθαι τῶν κατὰ σοῦ βασάνων, ὦ πρεσβῦτα, συμβουλεύσαιμ᾿ ἄν σοι ταῦτα, ὅπως ἀπογευσάμενος τῶν ὑείων σῴζοιο· αἰδοῦμαι γάρ σου τὴν ἡλικίαν καὶ τὴν πολιάν, ἣν μετὰ τοσοῦτον ἔχων χρόνον οὔ μοι δοκεῖς φιλοσοφεῖν τῇ Ἰουδαίων χρώμενος θρησκείᾳ.*

*διατί γὰρ τῆς φύσεως κεχαρισμένης καλλίστην τὴν τοῦδε τοῦ ζῴου σαρκοφαγίαν βδελύττῃ;*

*καὶ γὰρ ἀνόητον τοῦτο δοκεῖ, τὸ μὴ ἀπολαύειν τῶν χωρὶς ὀνείδους ἡδέων, καὶ ἄδικον ἀποστρέφεσθαι τὰς τῆς φύσεως χάριτας.*

*σὺ δέ μοι καὶ ἀνοητότερον ποιήσειν δοκεῖς, εἰ κενοδοξῶν περὶ τὸ ἀληθὲς ἔτι κἀμοῦ καταφρονήσεις ἐπὶ τῇ ἰδίᾳ τιμωρίᾳ.*

*οὐκ ἐξυπνώσεις ἀπὸ τῆς φλυάρου φιλοσοφίας ὑμῶν*

*καὶ ἀποσκεδάσεις τῶν λογισμῶν σου τὸν λῆρον καὶ ἄξιον τῆς ἡλικίας ἀναλαβὼν νοῦν φιλοσοφήσεις τὴν τοῦ συμφέρον-*

*τος ἀλήθειαν καὶ προσκυνήσας μου τὴν φιλάνθρωπον παρηγορίαν οἰκτιρήσεις τὸ σεαυτοῦ γῆρας;*

*καὶ γὰρ ἐνθυμήθητι, ὡς εἰ καί τίς ἐστι τῆσδε τῆς ὑμῶν θρησκείας ἐποπτικὴ δύναμις, συγγνωμονήσει ἄν σοι ἐπὶ πάσῃ τῇ δι᾽ ἀνάγκην γινομένῃ παρανομίᾳ.*

*τοῦτον τὸν τρόπον ἐπὶ τὴν ἔκθεσμον σαρκοφαγίαν ἐποτρύνοντος τοῦ τυράννου, λόγον ᾔτησεν ὁ Ἐλεάζαρος*

*καὶ λαβὼν τοῦ λέγειν ἐξουσίαν ἤρξατο δημηγορεῖν οὕτως·*

*ἡμεῖς, Ἀντίοχε, θείῳ πεπεισμένοι νόμῳ πολιτεύεσθαι οὐδεμίαν ἀνάγκην βιαιοτέραν εἶναι νομίζομεν τῆς πρὸς τὸν νόμον ἡμῶν εὐπειθείας·*

*διὸ δὴ κατ᾽ οὐδένα τρόπον παρανομεῖν ἀξιοῦμεν.*

*καίτοι εἰ κατὰ ἀλήθειαν μὴ ἦν ὁ νόμος ἡμῶν, ὡς σὺ ὑπολαμβάνεις, θεῖος, (ἄλλως δὲ νομίζομεν αὐτὸν εἶναι θεῖον), οὐδὲ οὕτως ἐξὸν ἡμῖν ἦν τὴν ἐπὶ τῇ εὐσεβείᾳ δόξαν ἀκυρῶσαι.*

*μὴ μικρὰν οὖν εἶναι νομίσῃς ταύτην, εἰ μιαροφαγήσαιμεν, ἁμαρτίαν· τὸ γὰρ ἐν μικροῖς καὶ ἐν μεγάλοις παρανομεῖν ἰσοδύναμόν ἐστιν,*

*δι᾽ ἑκατέρου γὰρ ὡς ὁμοίως ὁ νόμος ὑπερηφανεῖται.*

*χλευάζεις δὲ ἡμῶν τὴν φιλοσοφίαν, ὥσπερ οὐ μετὰ εὐλογιστίας ἐν αὐτῇ βιούντων·*

*σωφροσύνην τε γὰρ ἡμᾶς ἐκδιδάσκει ὥστε πασῶν τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν κρατεῖν καὶ ἀνδρείαν ἐξασκεῖν, ὥστε πάντα πόνον ἑκουσίως ὑπομένειν*

*καὶ δικαιοσύνην παιδεύει ὥστε διὰ πάντων τῶν ἠθῶν ἰσονομεῖν καὶ εὐσέβειαν ἐκδιδάσκει, ὥστε μόνον τὸν ὄντα Θεὸν σέβειν μεγαλοπρεπῶς.*

*διὸ οὐ μιαροφαγοῦμεν· πιστεύοντες γὰρ Θεοῦ καθεστάναι τὸν νόμον οἴδαμεν ὅτι κατὰ φύσιν ἡμῖν συμπαθεῖ νομοθετῶν ὁ τοῦ κόσμου κτίστης·*

*καὶ τὰ μὲν οἰκειωθησόμενα ἡμῶν ταῖς ψυχαῖς ἐπέτρεψεν ἐσθίειν τὰ δὲ ἐναντιωθησόμενα ἐκώλυσε παρανομεῖν.*

*τυραννικὸν δὲ οὐ μόνον ἀναγκάζειν ἡμᾶς παρανομεῖν, ἀλλὰ καὶ ἐσθίειν, ὅπως τῇ ἐχθίστῃ ἡμῶν μιαροφαγίᾳ ταύτῃ ἔτι ἐγγελάσῃς.*

*ἀλλ᾽ οὐ γελάσεις κατ᾽ ἐμοῦ τοῦτον τὸν γέλωτα, οὔτε τοὺς ἱεροὺς τῶν προγόνων περὶ τοῦ φυλάξαι τὸν νόμον ὅρκους οὐ παρήσω,*

*οὐδ᾽ ἂν ἐκκόψειάς μου τὰ ὄμματα καὶ τὰ σπλάγχνα μου τήξειας.*

*οὐχ οὕτως εἰμὶ γέρων ἐγὼ καὶ ἄνανδρος ὥστε μοι διὰ τὴν εὐσέβειαν μὴ νεάζειν τὸν λογισμόν.*

*πρὸς ταῦτα τροχοὺς εὐτρέπιζε καὶ τὸ πῦρ ἐκφύσα σφοδρότερον.*

*οὐχ οὕτως οἰκτίρομαι τὸ ἐμαυτοῦ γῆρας ὥστε με δι᾽ ἐμαυτοῦ τὸν πάτριον καταλῦσαι νόμον.*

*οὐ ψεύσομαί σε, παιδευτὰ νόμε, οὐδὲ φεύξομαί σε οὐδ᾽ ἐξομοῦμαί σε, φίλη ἐγκράτεια,*

*οὐδὲ καταισχυνῶ σε, φιλόσοφε λόγε, οὐδὲ ἐξαρνήσομαί σε, ἱερωσύνη τιμία καὶ νομοθεσίας ἐπιστήμη·*

*οὐδὲ μιανεῖς μου τὸ σεμνὸν γήρως στόμα οὐδὲ νομίμου βίου ἡλικίαν.*

*ἁγνὸν δέ με οἱ πατέρες προσδέξονται μὴ φοβηθέντα σου τὰς μέχρι θανάτου ἀνάγκας.*

*ἀσεβῶν μὲν γὰρ τυραννήσεις, τῶν δὲ ἐμῶν περὶ τῆς εὐσεβείας λογισμῶν οὔτε διὰ λόγων δεσπόσεις οὔτε δι᾽ ἔργων»* (4Μα ε΄ 1-37).

*«Τοῦτον τὸν τρόπον ἀντιῤῥητορεύσαντα ταῖς τοῦ τυράννου παρηγορίαις, παραστάντες οἱ δορυφόροι πικρῶς ἔσυραν ἐπὶ τὰ βασανιστήρια τὸν Ἐλεάζαρον.*

*καὶ πρῶτον μὲν περιέδυσαν τὸν γηραιὸν ἐγκοσμούμενον τῇ περὶ τὴν εὐσέβειαν εὐσχημοσύνῃ·*

*ἔπειτα περιαγκωνίσαντες ἑκατέρωθεν μάστιξι κατῄκιζον·*

*πείσθητι ταῖς τοῦ βασιλέως ἐντολαῖς, ἑτέρωθεν κήρυκος ἐπιβοῶντος.*

*ὁ δὲ μεγαλόφρων καὶ εὐγενὴς ὡς ἀληθῶς Ἐλεάζαρος, ὥσπερ ἐν ὀνείρῳ βασανιζόμενος κατ᾽ οὐδένα τρόπον μετετρέπετο,*

*ἀλλὰ ὑψηλοὺς ἀνατείνας εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ἀπεξαίνετο ταῖς μάστιξι τὰς σάρκας ὁ γέρων καὶ κατεῤῥεῖτο τῷ αἵματι*

*καὶ τὰ πλευρὰ κατετιτρώσκετο, καὶ πίπτων εἰς τὸ ἔδαφος ἀπὸ τοῦ μηκέτι φέρειν τὸ σῶμα τὰς ἀλγηδόνας, ὀρθὸν εἶχε καὶ ἀκλινῆ τὸν λογισμόν.*

*λάξ γέ τοι τῶν πικρῶν τις δορυφόρων εἰς τοὺς κενεῶνας ἐναλλόμενος ἔτυπτεν, ὅπως ἐξανίστατο πίπτων.*

*ὁ δὲ ὑπέμεινε τοὺς πόνους καὶ περιεφρόνει τῆς ἀνάγκης*

*καὶ διεκαρτέρει τοὺς αἰκισμούς, καὶ καθάπερ γενναῖος ἀθλητὴς τυπτόμενος ἐνίκα τοὺς βασανίζοντας ὁ γέρων·*

*ἱδρῶν γέ τοι τὸ πρόσωπον καὶ ἐπασθμαίνων σφοδρῶς καὶ ὑπ᾽ αὐτῶν τῶν βασανιζόντων ἐθαυμάζετο ἐπὶ τῇ εὐψυχίᾳ.*

*ὅθεν τὰ μὲν ἐλεοῦντες τὰ τοῦ γήρως αὐτοῦ,*

*τὰ δὲ ἐν συμπαθείᾳ τῆς συνηθείας ὄντες, τὰ δὲ ἐν θαυμασμῷ τῆς καρτερίας προσιόντες αὐτῷ τινες τῶν τοῦ βασιλέως ἔλεγον·*

*τί τοῖς κακοῖς τούτοις σεαυτὸν ἀλογίστως ἀπόλεις, Ἐλεάζαρε;*

*ἡμεῖς μέν τοι τῶν ἡψημένων σοι βρωμάτων παραθήσομεν, σὺ δὲ ὑποκρινόμενος τῶν ὑείων ἀπογεύεσθαι, σώθητι.*

*καὶ ὁ Ἐλεάζαρος, ὥσπερ πικρότερον διὰ τῆς συμβουλίας αἰκισθείς, ἀνεβόησε·*

*μὴ οὕτως κακῶς φρονήσαιμεν οἱ Ἀβραὰμ παῖδες ὥστε μαλακοψυχήσαντες ἀπρεπὲς ἡμῖν δρᾶμα ὑποκρίνασθαι*

*καὶ γὰρ ἀλόγιστον, εἰ πρὸς ἀλήθειαν ζήσαντες τὸν μέχρι γήρως βίον καὶ τὴν ἐπ᾿ αὐτῷ δόξαν νομίμως φυλάξαντες,*

*νῦν μεταβαλοίμεθα καὶ αὐτοὶ μὲν ἡμεῖς γενοίμεθα τοῖς νέοις ἀσεβείας τύπος, ἵνα παράδειγμα γενώμεθα τῆς μιαροφαγίας.*

*αἰσχρὸν δὲ εἰ ἐπιβιώσωμεν ὀλίγον χρόνον καὶ τοῦτον καταγελώμενοι πρὸς ἁπάντων ἐπὶ δειλίᾳ,*

*καὶ ὑπὸ μὲν τοῦ τυράννου καταφρονηθῶμεν ὡς ἄνανδροι, τὸν δὲ θεῖον ἡμῶν νόμον μέχρι θανάτου μὴ προασπίσαιμεν.*

*πρὸς ταῦτα ὑμεῖς μέν, ὦ Ἀβραὰμ παῖδες, εὐγενῶς ὑπὲρ τῆς εὐσεβείας τελευτᾶτε.*

*οἱ δὲ τοῦ τυράννου δορυφόροι, τί μέλλετε;*

*πρὸς τὰς ἀνάγκας οὕτως μεγαλοφρονοῦντα αὐτὸν ἰδόντες καὶ μηδὲ πρὸς τὸν οἰκτιρμὸν αὐτῶν μεταβαλλόμενον ἐπὶ τὸ πῦρ αὐτὸν ἤγαγον.*

*ἔνθα διὰ κακοτέχνων ὀργάνων καταφλέγοντες αὐτὸν ὑπέρριπτον καὶ δυσώδεις χυλοὺς εἰς τοὺς μυκτῆρας αὐτοῦ κατέχεον.*

*ὁ δὲ μέχρι τῶν ὀστέων ἤδη κατακεκαυμένος καὶ μέλλων λιποθυμεῖν ἀνέτεινε τὰ ὄμματα πρὸς τὸν Θεὸν καὶ εἶπεν·*

*σὺ οἶσθα, Θεέ, παρόν μοι σῴζεσθαι, βασάνοις καυστικαῖς ἀποθνήσκω διὰ τὸν νόμον.*

*τοιγαροῦν ἵλεως γενοῦ τῷ ἔθνει σου ἀρκεσθεὶς τῇ ἡμετέρᾳ ὑπὲρ αὐτῶν δίκῃ.*

*καθάρσιον αὐτῶν ποίησον τὸ ἐμὸν αἷμα καὶ ἀντίψυχον αὐτῶν λαβὲ τὴν ἐμὴν ψυχήν.*

*καὶ ταῦτα εἰπὼν ὁ ἱερὸς ἀνὴρ εὐγενῶς ταῖς βασάνοις ἐναπέθανε καὶ μέχρι τῶν τοῦ θανάτου βασάνων ἀντέστη τῷ λογισμῷ διὰ τὸν νόμον»* (4Μα στ΄ 1-31).

*«Συνέβη δὲ καὶ ἑπτὰ ἀδελφοὺς μετὰ τῆς μητρὸς συλληφθέν-*

τας ἀναγκάζεσθαι ὑπὸ τοῦ βασιλέως ἀπὸ τῶν ἀθεμίτων ὑείων κρεῶν ἐφάπτεσθαι μάστιξι καὶ νευραῖς αἰκιζομένους.

εἷς δὲ αὐτῶν γενόμενος προήγορος οὕτως ἔφη· τί μέλλεις ἐρωτᾶν καὶ μανθάνειν παρ᾽ ἡμῶν; ἕτοιμοι γὰρ ἀποθνήσκειν ἐσμὲν ἢ παραβαίνειν τοὺς πατρίους νόμους.

ἔκθυμος δὲ γενόμενος ὁ βασιλεὺς προσέταξε τήγανα καὶ λέβητας ἐκπυροῦν.

τῶν δὲ παραχρῆμα ἐκπυρωθέντων, παραχρῆμα τὸν γενόμενον αὐτῶν προήγορον προσέταξε γλωσσοτομεῖν καὶ περισκυθίσαντες ἀκρωτηριάζειν, τῶν λοιπῶν ἀδελφῶν καὶ τῆς μητρὸς συνορώντων.

ἄχρηστον δὲ αὐτὸν τοῖς ὅλοις γενόμενον ἐκέλευσε τῇ πυρᾷ προσάγειν ἔμπνουν καὶ τηγανίζειν. τῆς δὲ ἀτμίδος ἐφ᾽ ἱκανὸν διαδιδούσης τοῦ τηγάνου, ἀλλήλους παρεκάλουν σὺν τῇ μητρὶ γενναίως τελευτᾶν λέγοντες οὕτως·

ὁ Κύριος ὁ Θεὸς ἐφορᾷ καὶ ταῖς ἀληθείαις ἐφ᾽ ἡμῖν παρακαλεῖται, καθάπερ διὰ τῆς κατὰ πρόσωπον ἀντιμαρτυρούσης ᾠδῆς διεσάφησε Μωυσῆς λέγων· καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται.

μεταλλάξαντος δὲ τοῦ πρώτου τὸν τρόπον τοῦτον, τὸν δεύτερον ἦγον ἐπὶ τὸν ἐμπαιγμὸν καὶ τὸ τῆς κεφαλῆς δέρμα σὺν ταῖς θριξὶ περισύραντες ἐπηρώτων· εἰ φάγεσαι πρὸ τοῦ τιμωρηθῆναι τὸ σῶμα κατὰ μέλος;

ὁ δὲ ἀποκριθεὶς τῇ πατρίῳ φωνῇ εἶπεν· οὐχί· διόπερ καὶ οὗτος τὴν ἑξῆς ἔλαβε βάσανον ὡς ὁ πρῶτος.

ἐν ἐσχάτῃ δὲ πνοῇ γενόμενος εἶπε· σὺ μὲν ἀλάστωρ ἐκ τοῦ παρόντος ἡμᾶς ζῆν ἀπολύεις. ὁ δὲ τοῦ κόσμου βασιλεὺς ἀποθανόντας ἡμᾶς ὑπὲρ τῶν αὐτοῦ νόμων εἰς αἰώνιον ἀναβίωσιν ζωῆς ἡμᾶς ἀναστήσει.

μετὰ δὲ τοῦτον ὁ τρίτος ἐνεπαίζετο καὶ τὴν γλῶσσαν αἰτηθεὶς ταχέως προέβαλε καὶ τὰς χεῖρας εὐθαρσῶς προέτεινε

www.tezaurliturgic.ro

*καὶ γενναίως εἶπεν· ἐξ οὐρανοῦ ταῦτα κέκτημαι καὶ διὰ τοὺς αὐτοῦ νόμους ὑπερορῶ ταῦτα καὶ παρ᾽ αὐτοῦ ταῦτα πάλιν ἐλπίζω κομίσασθαι·*

*ὥστε αὐτὸν τὸν βασιλέα καὶ τοὺς σὺν αὐτῷ ἐκπλήσσεσθαι τὴν τοῦ νεανίσκου ψυχήν, ὡς ἐν οὐδενὶ τὰς ἀλγηδόνας ἐτίθετο.*

*καὶ τούτου δὲ μεταλλάξαντος, τὸν τέταρτον ὡσαύτως ἐβασάνιζον αἰκιζόμενοι.*

*καὶ γενόμενος πρὸς τὸ τελευτᾶν οὕτως ἔφη· αἱρετὸν μεταλλάσσοντα ὑπ᾽ ἀνθρώπων τὰς ὑπὸ τοῦ Θεοῦ προσδοκᾶν ἐλπίδας πάλιν ἀναστήσεσθαι ὑπ᾽ αὐτοῦ· σοὶ μὲν γὰρ ἀνάστασις εἰς ζωὴν οὐκ ἔσται.*

*ἐχομένως δὲ τὸν πέμπτον προσάγοντες ᾐκίζοντο.*

*ὁ δὲ πρὸς αὐτὸν ἰδὼν εἶπεν· ἐξουσίαν ἐν ἀνθρώποις ἔχων φθαρτὸς ὤν, ὃ θέλεις ποιεῖς· μὴ δόκει δὲ τὸ γένος ἡμῶν ὑπὸ τοῦ Θεοῦ καταλελεῖφθαι.*

*σὺ δὲ καρτέρει καὶ θεώρει τὸ μεγαλεῖον αὐτοῦ κράτος, ὡς σὲ καὶ τὸ σπέρμα σου βασανίσει.*

*μετὰ δὲ τοῦτον ἦγον τὸν ἕκτον, καὶ μέλλων ἀποθνήσκειν ἔφη· μὴ πλανῶ μάτην, ἡμεῖς γὰρ δι᾽ ἑαυτοὺς ταῦτα πάσχομεν ἁμαρτάνοντες εἰς τὸν ἑαυτῶν Θεόν, διὸ ἄξια θαυμασμοῦ γέγονε.*

*σὺ δὲ μὴ νομίσῃς ἀθῷος ἔσεσθαι θεομαχεῖν ἐπιχειρήσας.*

*ὑπεραγόντως δὲ ἡ μήτηρ θαυμαστὴ καὶ μνήμης ἀγαθῆς ἀξία, ἥτις ἀπολλυμένους υἱοὺς ἑπτὰ συνορῶσα μιᾶς ὑπὸ καιρὸν ἡμέρας εὐψύχως ἔφερε διὰ τὰς ἐπὶ Κύριον ἐλπίδας.*

*ἕκαστον δὲ αὐτῶν παρεκάλει τῇ πατρίῳ φωνῇ γενναίῳ πεπληρωμένη φρονήματι καὶ τὸν θῆλυν λογισμὸν ἄρσενι θυμῷ διεγείρασα, λέγουσα πρὸς αὐτούς·*

*οὐκ οἶδ᾽ ὅπως εἰς τὴν ἐμὴν ἐφάνητε κοιλίαν, οὐδὲ ἐγὼ τὸ*

*πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν ἐχαρισάμην, καὶ τὴν ἑκάστου στοιχείωσιν οὐκ ἐγὼ διεῤῥύθμισα.*

*τοιγαροῦν ὁ τοῦ κόσμου κτίστης, ὁ πλάσας ἀνθρώπου γένεσιν καὶ πάντων ἐξευρὼν γένεσιν καὶ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν πάλιν ἀποδώσει μετ᾽ ἐλέους, ὡς νῦν ὑπερορᾶται ἑαυτοὺς διὰ τοὺς αὐτοῦ νόμους.*

*ὁ δὲ Ἀντίοχος οἰόμενος καταφρονεῖσθαι καὶ τὴν ὀνειδίζουσαν ὑφορώμενος φωνήν, ἔτι τοῦ νεωτέρου περιόντος, οὐ μόνον διὰ λόγων ἐποιεῖτο τὴν παράκλησιν, ἀλλὰ καὶ δι᾽ ὅρκων ἐπίστου ἅμα πλουτιεῖν καὶ μακαριστὸν ποιήσειν μεταθέμενον ἀπὸ τῶν πατρίων νόμων καὶ φίλον ἕξειν καὶ χρείας ἐμπιστεύσειν.*

*τοῦ δὲ νεανίου μηδαμῶς προσέχοντος, προσκαλεσάμενος ὁ βασιλεὺς τὴν μητέρα παρῄνει τοῦ μειρακίου γενέσθαι σύμβουλον ἐπὶ σωτηρίᾳ.*

*πολλὰ δὲ αὐτοῦ παραινέσαντος ἐπεδέξατο πείσειν τὸν υἱόν.*

*προσκύψασα δὲ αὐτῷ, χλευάσασα τὸν ὠμὸν τύραννον οὕτως ἔφησε τῇ πατρῴᾳ φωνῇ· υἱέ, ἐλέησόν με τὴν ἐν γαστρὶ περιενέγκασάν σε μῆνας ἐννέα καὶ θηλάσασάν σε ἔτη τρία καὶ ἐκθρέψασάν σε καὶ ἀγαγοῦσαν εἰς τὴν ἡλικίαν ταύτην καὶ τροφοφορήσασαν.*

*ἀξιῶ σε, τέκνον, ἀναβλέψαντα εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα ἰδόντα, γνῶναι ὅτι ἐξ οὐκ ὄντων ἐποίησεν αὐτὰ ὁ Θεὸς καὶ τὸ τῶν ἀνθρώπων γένος οὕτως γεγένηται.*

*μὴ φοβηθῇς τὸν δήμιον τοῦτον, ἀλλὰ τῶν ἀδελφῶν ἄξιος γενόμενος, ἐπίδεξαι τὸν θάνατον, ἵνα ἐν τῷ ἐλέει σὺν τοῖς ἀδελφοῖς σου κομίσωμαί σε.*

*ἔτι δὲ ταύτης καταλεγούσης ὁ νεανίας εἶπε· τίνα μένετε; οὐκ ὑπακούω τοῦ προστάγματος τοῦ βασιλέως, τοῦ δὲ προστάγματος ἀκούω τοῦ νόμου τοῦ δοθέντος τοῖς πατράσιν ἡμῶν διὰ Μωυσέως.*

*σὺ δὲ πάσης κακίας εὑρετὴς γενόμενος εἰς τοὺς Ἑβραίους οὐ μὴ διαφύγῃς τὰς χεῖρας τοῦ Θεοῦ. ἡμεῖς γὰρ διὰ τὰς ἑαυτῶν κακίας πάσχομεν.*

*εἰ δὲ χάριν ἐπιπλήξεως καὶ παιδείας ὁ ζῶν Κύριος ἡμῶν βραχέως ἐπώργισται, καὶ πάλιν καταλλαγήσεται τοῖς ἑαυτοῦ δούλοις.*

*σὺ δέ, ὦ ἀνόσιε καὶ πάντων ἀνθρώπων μιαρώτατε, μὴ μάτην μετεωρίζου φρυαττόμενος ἀδήλοις ἐλπίσιν, ἐπὶ τοὺς δούλους αὐτοῦ ἐπαιρόμενος χεῖρα·*

*οὔπω γὰρ τὴν τοῦ Παντοκράτορος ἐπόπτου Θεοῦ κρίσιν ἐκπέφευγας.*

*οἱ μὲν γὰρ νῦν ἡμέτεροι ἀδελφοὶ βραχὺν ὑπενέγκαντες πόνον ἀενάου ζωῆς ὑπὸ διαθήκην Θεοῦ πεπτώκασι· σὺ δὲ τῇ τοῦ Θεοῦ κρίσει δίκαια τὰ πρόστιμα τῆς ὑπερηφανίας ἀποίσῃ.*

*ἐγὼ δὲ καθάπερ οἱ ἀδελφοί μου καὶ σῶμα καὶ ψυχὴν προδίδωμι περὶ τῶν πατρίων νόμων, ἐπικαλούμενος τὸν Θεὸν ἵλεων ταχὺ τῷ ἔθνει γενέσθαι καὶ σὲ μετὰ ἐτασμῶν καὶ μαστίγων ἐξομολογήσασθαι, διότι μόνος αὐτὸς Θεός ἐστιν,*

*ἐν ἐμοὶ δὲ καὶ τοῖς ἀδελφοῖς μου στῆναι τὴν τοῦ Παντοκράτορος ὀργὴν τὴν ἐπὶ τὸ σύμπαν ἡμῶν δικαίως ἐπηγμένην.*

*ἔκθυμος δὲ γενόμενος ὁ βασιλεύς, τούτῳ παρὰ τοὺς ἄλλους χειρίστως ἀπήντησε πικρῶς φέρων ἐπὶ τῷ μυκτηρισμῷ.*

*καὶ οὗτος οὖν καθαρὸς τὸν βίον μετήλλαξε παντελῶς ἐπὶ τῷ Κυρίῳ πεποιθώς. ἐσχάτη δὲ τῶν υἱῶν ἡ μήτηρ ἐτελεύτησε.*

*τὰ μὲν οὖν περὶ τοὺς σπλαγχνισμοὺς καὶ τὰς ὑπερβαλλούσας αἰκίας ἐπὶ τοσοῦτον δεδηλώσθω»* (2Μακ ζ´ 1-42).

Τὰ δὲ πάθη τῶν Τριῶν Παίδων ἐν καμίνῳ τρέχουσιν οὕτω:

*«Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος*

*αὐτῆς πήχεων ἕξ, καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεειρᾷ, ἐν χώρᾳ Βαβυλῶνος.*

*καὶ ἀπέστειλε συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχας, ἡγουμένους τε καὶ τυράννους καὶ τοὺς ἐπ᾿ ἐξουσιῶν καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς.*

*καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ᾿ ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς, καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος.*

*καὶ ὁ κῆρυξ ἐβόα ἐν ἰσχύι· ὑμῖν λέγεται, λαοί, φυλαί, γλῶσσαι·*

*ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς·*

*καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.*

*καὶ ἐγένετο ὅταν ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς.*

*τότε προσήλθοσαν ἄνδρες Χαλδαῖοι καὶ διέβαλον τοὺς Ἰουδαίους τῷ βασιλεῖ Ναβουχοδονόσορ· βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι.*

*σὺ βασιλεῦ, ἔθηκας δόγμα πάντα ἄνθρωπον, ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν*

*καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.*

*εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἳ οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, τοῖς θεοῖς σου οὐ λατρεύουσι, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦσι.*

*τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως.*

*καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν αὐτοῖς· εἰ ἀληθῶς, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε;*

*νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ τίς ἐστι Θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου;*

*καὶ ἀπεκρίθησαν Σεδράχ, Μισάχ, Ἀβδεναγὼ λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ· οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι·*

*ἔστι γὰρ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ῥύσεται ἡμᾶς·*

*καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν.*

*τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, καὶ*

*εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ·*

*καὶ ἄνδρας ἰσχυροὺς ἰσχύι εἶπε πεδήσαντας τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγὼ ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην.*

*τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιάραις καὶ περικνημῖσι καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης,*

*ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυσε καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ.*

*καὶ οἱ τρεῖς οὗτοι, Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι.*

*καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς ὑμνοῦντες τὸν Θεὸν καὶ εὐλογοῦντες τὸν Κύριον»* (Δα γ´ 1-23).

Ἰδίαν τάξιν ἐν τῇ χορείᾳ τῶν Ἁγίων ἀποτελοῦσιν οἱ στρατιωτικοὶ Μεγαλομάρτυρες. Οἱ ἀσκηταὶ Ἅγιοι ὑπερασπίζουσι τὴν Ἐκκλησίαν διὰ τῆς ἀσκήσεως αὐτῶν. Οἱ στρατιωτικοὶ Ἅγιοι, ὡς στρατιῶται, ὑπερασπίζουσι τὴν Ἐκκλησίαν, καταβάλλοντες τὸν βύθιον δράκοντα ἢ ἄλλον πολέμιον. Πρότυπον τῶν στρατιωτικῶν ἁγίων εἶναι ὁ Ἀρχάγγελος Μιχαήλ, ὁ καταβαλὼν τὸν Ἑωσφόρον.

Αἱ δυνάμεις τοῦ κακοῦ καὶ τῆς καταστροφῆς ἐπροσωποποιήθησαν ὑπὸ τῶν παγανιστικῶν θρησκειῶν καὶ μυθολογιῶν ὡς τέρατα, πανίσχυρα καὶ δυσπάλαμα, ὡς ὁ Λεβιάθαν, ὁ ὄφις ὁ ἀρχαῖος, ὁ βύθιος δράκων, ὁ κροκόδειλος, ὁ Τυφῶν καὶ εἴ τις ἄλλος. Οἱ παγανιστικοὶ θεοὶ μάχονται καὶ καταβάλλουσι τὰς δυνάμεις ταύτας. Ὁ Ζεὺς καταβάλλει τὸν Τυφῶνα, ποικίλον ὄφιν, δαίμονα τῶν θυελλῶν καὶ τῶν σεισμῶν. Ἐν τῷ χριστιανισμῷ ὁ Ἑωσφόρος καὶ οἱ ἄγγελοι αὐτοῦ, ἐκπεσόντες,

www.tezaurliturgic.ro

μεταμορφοῦνται εἰς τὰ παγανιστικὰ ταῦτα τέρατα, πολεμοῦντα, ὅπως διαστρέψωσι τὰς εὐθείας ὁδοὺς τοῦ Θεοῦ. Τὰς ἀντιθέους ταύτας δυνάμεις καταβάλλουσιν ὁ Ἀρχάγγελος Μιχαὴλ μετὰ τῶν ἀγγέλων αὐτοῦ καὶ οἱ Ἅγιοι.

Ἐν τῇ Παλαιᾷ Διαθήκῃ ἡ ἀντίθεος δύναμις προσωποποιεῖται εἰς τὴν μορφὴν τοῦ θαλασσίου ἑρπετοῦ τῆς βαβυλωνιακῆς μυθολογίας Λεβιάθαν. Τὸ ὄνομα σημαίνει τὸν περιελισσόμενον δίκην ὄφεως. Ἡ Ἀνατολικὴ μυθολογία τοποθετεῖ πέριξ τῆς γῆς τὰ ἀρχέγονα ὕδατα, περιελισσόμενα αὐτήν. Μετὰ τῶν ἀρχεγόνων ὑδάτων περιελίσσεται τὴν γῆν καὶ ὁ Λεβιάθαν. Συναφεῖς δοξασίαι ἀνευρίσκονται ἐν Αἰγύπτῳ καὶ ἐν Ἑλλάδι. Ἐν Αἰγύπτῳ ὑπάρχει ὁ κοσμικὸς Νεῖλος, οὐράνιος, ἐπίγειος καὶ ὑποχθόνιος, ἐν ᾧ ὁ κροκόδειλος προκαλεῖ τὴν ἐξόγκωσιν τῶν ὑδάτων καὶ καταβροχθίζει τὸν ἥλιον καθ᾽ ἑκάστην δύσιν αὐτοῦ, καὶ ἐν Ἑλλάδι ὁ Ὠκεανός, περιελισσόμενος τὴν γῆν καὶ ὑδροδοτῶν τὰς θαλάσσας καὶ τοὺς ποταμοὺς αὐτῆς, καὶ ὁ Ποσειδῶν, ταράσσων τὰς θαλάσσας διὰ τῆς τριαίνης αὐτοῦ καὶ κωλύων τὴν ἄφιξιν τοῦ Ὀδυσσέως εἰς τὴν Ἰθάκην, νῆσον τῶν Μακάρων. Ἡ Παλαιὰ Διαθήκη περιγράφει τὸν Λεβιάθαν, ὡς ἀκολούθως:

*«Ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐδὲν μὴ ποιήσωσι δόρυ καὶ θώρακα·*

*ἥγηται μὲν γὰρ σίδηρον ἄχυρα, χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν.*

*οὐ μὴ τρώσῃ αὐτὸν τόξον χάλκεον, ἥγηται μὲν πετροβόλον χόρτον·*

*ὡς καλάμη ἐλογίσθησαν σφῦραι, καταγελᾷ δὲ σεισμοῦ πυρφόρου.*

*ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς, πᾶς δὲ χρυσὸς θαλάσσης ὑπ᾽ αὐτὸν ὥσπερ πηλὸς ἀμύθητος.*

www.tezaurliturgic.ro

*ἀναζεῖ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον, ἥγηται δὲ τὴν θάλασσαν ὥσπερ ἐξάλειπτρον,*

*τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον ἐλογίσατο ἄβυσσον εἰς περίπατον.*

*οὐκ ἔστιν οὐδὲν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων μου·*

*πᾶν ὑψηλὸν ὁρᾷ, αὐτὸς δὲ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν»* (Ἰὼβ μα΄ 18-26).

Ὁ Ἡσαΐας προφητεύει τὴν συντριβὴν τοῦ δράκοντος ὑπὸ τοῦ Θεοῦ:

*«Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν καὶ τὴν μεγάλην καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα ὄφιν φεύγοντα, ἐπὶ τὸν δράκοντα ὄφιν σκολιὸν καὶ ἀνελεῖ τὸν δράκοντα»* (Ἡσ κζ΄ 1).

Ἐν τῇ αἰγυπτιακῇ μυθολογίᾳ ἀντίστοιχος τοῦ περιελισσομένου Λεβιάθαν εἶναι ὁ Κνέφ, παριστάμενος δι᾽ ὄφεως, συμβόλου τῆς ἀθανασίας, περιβάλλοντος ὑδρίαν καὶ μετεωρίζοντος τὴν κεφαλὴν αὐτοῦ ὑπὲρ τὸ ὕδωρ, ὅπερ καθιστᾷ ζείδωρον διὰ τῆς ἀναπνοῆς αὐτοῦ.

Ὁμοίως ὁ ψαλμῳδὸς Δαυῒδ προφητεύει τὴν σύνθλασιν τῆς κεφαλῆς τοῦ δράκοντος ὑπὸ τοῦ Θεοῦ:

*«Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων, εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.*

*σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν, σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος.*

*σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι»* (Ψα ογ΄ 12-14).

www.tezaurliturgic.ro

Τὴν πλῆξιν τῆς κεφαλῆς τοῦ ὄφεως διὰ τῆς Σταυρώσεως καὶ Ἀναστάσεως τοῦ Χριστοῦ προφητεύει ἡ Γένεσις:

*«Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ ὄφει· ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς· ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.*

*καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀναμέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν»* (Γέν γ΄ 14-15).

Ἡ τρικυμία τῶν θαλασσῶν καὶ ἡ πλήμμυρα τῶν ποταμῶν ἔδωσε τὴν δοξασίαν ὅτι ἐν τοῖς ὕδασι κατοικοῦσι δαίμονες. Στηριζόμενος εἰς τὸ ψαλμικὸν *«σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος»*, ὁ Ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς λέγει ὅτι ὁ Χριστὸς ἐβαπτίσθη, ἵνα συντρίψῃ τὰς κεφαλὰς τῶν δρακόντων ἐν τῷ ὕδατι. Κατὰ τὰ Θεοφάνια ἡ Ἐκκλησία τελεῖ τὴν ἀκολουθίαν τοῦ ἁγιασμοῦ τῶν ὑδάτων. Ἡ θαυματουργικὴ διάβασις τῆς Ἐρυθρᾶς θαλάσσης ὑπὸ τῶν Ἑβραίων τὴν Βάπτισιν, τὴν Σταύρωσιν καὶ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ σημαίνει. Τὸ ὕδωρ τῆς Ἐρυθρᾶς θαλάσσης μεταβιβάζει εἰς τὸν Παράδεισον καὶ ὁ ἐν τῷ ὕδατι καθαιρεῖται.

Ἐν τῇ μυθολογίᾳ αἱ δαιμονικαὶ δυνάμεις παρίσταντο διὰ τεράτων. Οἱ ἀρχαῖοι Αἰγύπτιοι παρίστων αὐτὰς διὰ κροκοδείλου καὶ ἱπποποτάμου. Ὁ κροκόδειλος ἐθεωρεῖτο νύχιος σεληνιακὸς θεός, κύριος τῶν ἀρχεγόνων ὑδάτων. Παρίστατο ὡς Σήθ, σύμβολον τοῦ σκότους καὶ τοῦ θανάτου, κατοικῶν ἐν τῷ βασιλείῳ τῶν νεκρῶν. Τὰ ἱερὰ αὐτοῦ ἀνεγείροντο παρὰ λίμνας καὶ ὕδατα. Καταβροχθίζει τὸν ἥλιον κατὰ τὴν δύσιν αὐτοῦ. Ὁ κροκόδειλος Σομπέκ, μετὰ κεφαλῆς κροκοδείλου καὶ σώματος ἱπποποτάμου, παρακάθηται κατὰ τὴν ψυχοστασίαν καὶ καταβροχθίζει τὰς

ἁμαρτωλοὺς ψυχάς. Αἰγυπτιακὸν ἀνάγλυφον, ἀποκείμενον ἐν τῷ μουσείῳ τοῦ Λούβρου, εἰκονίζει τὸν θεὸν Ὧρον διαπερῶντα κροκόδειλον. Κατὰ τὴν ἑλληνορρωμαϊκὴν περίοδον ἐλατρεύετο ἐν Αἰγύπτῳ ὁ κροκόδειλος καὶ ὡς ἱερός, καλούμενος Πετεσοῦχος.

Ὁ θεὸς τοῦ φωτὸς Ἀπόλλων κατετόξευσε τὸν χθόνιον Πύθωνα ἐν Δελφοῖς, φωλεύοντα παρὰ κρήνην.

Ὁ Κάδμος ἀνεῖλε δράκοντα, φυλάσσοντα τὴν πηγὴν τοῦ Ἄρεως ἐν Θήβαις.

Ὁ Ἡρακλῆς ἔταμε τὰς κεφαλὰς τῆς Λερναίας Ὕδρας, ἐνοικούσης ἐν τῷ ἕλει τῆς Λέρνης.

Ὁ Περσεύς, ἐπιστρέφων ἐκ τῶν Δυτικῶν μερῶν, ἐνδιαίτημα τεράτων, ὅπου ἀπεκεφάλισε τὴν Μέδουσαν, ἔφθασεν εἰς Αἰθιοπίαν, ἔνθα ἀνεῖλε τὸ θαλάσσιον κῆτος, εἰς ὃ ἐξετέθη πρὸς βορὰν ἡ Ἀνδρομέδα. Ἡ Ἀνδρομέδα ἦν θυγάτηρ τοῦ βασιλέως τῆς Αἰθιοπίας Κηφέως καὶ τῆς συζύγου αὐτοῦ Κασσιεπείας, ἐγκαυχωμένης ὅτι ἦν ὡραιοτέρα τῶν Νηρηίδων. Αἱ Νηρηίδες προσεκλαύθησαν τῷ Ποσειδῶνι, ὅστις ἐπλημμύρησε τὴν χώραν, ἐκβράσας πρὸς δὲ θαλάσσιον κῆτος, λυμαινόμενον αὐτήν. Ἐρωτήσας τὸ μαντεῖον τοῦ Ἄμμωνος ὁ Πυθεύς, ἐπυνθάνετο ὅτι ἡ μόνη ἀπαλλαγὴ ἦν ἡ ἔκθεσις τῆς Ἀνδρομέδας τῷ κήτει, καὶ αὕτη προσεδέθη ἐπὶ βράχου ἐν τῇ παραλίᾳ. Προφθάσας ὁ Περσεύς, ἀνεῖλε τὸ κῆτος, καὶ ἔσωσεν αὐτήν. Ἀνερευνῶντες μεταγενεστέρως, ἐτοποθέτησαν τὴν ἀναίρεσιν τοῦ κήτους ἐν τῇ παραλίῳ πόλει Ἰόππη, τῇ νῦν Χάιφᾳ, ὀνομασθεῖσαν ἐκ τοῦ ἑβραϊκοῦ *kef*, σημαίνοντος τὸν βράχον, ὅθεν καὶ ὁ *Κηφᾶς* Πέτρος. Ὁ λαογράφος Νικόλαος Πολίτης ὑπεστήριξεν ὅτι ἡ ἀναίρεσις τοῦ κήτους καὶ ἡ ἐλευθέρωσις τῆς Ἀνδρομέδας ὑπῆρξε τὸ πρότυπον τῆς δρακοντοκτονίας τοῦ Ἁγίου Γεωργίου.

Ὁ Βελλεροφόντης, ἐποχούμενος τοῦ Πηγάσου, ἀνεῖλε τὴν Χίμαιραν παρὰ κρήνην ἐν Λυκίᾳ. Ἦν δὲ ἡ Χίμαιρα τέρας, ἔχον

www.tezaurliturgic.ro

κεφαλὴν λέοντος, σῶμα αἰγὸς καὶ οὐρὰν λέοντος. Οἱ ἀνερευνῶντες μεταγενεστέρως ταυτίζουσι τὴν Χίμαιραν πρὸς τὸν δράκοντα, καὶ τοποθετοῦσι τὴν δρακοντοκτονίαν τοῦ Ἁγίου Γεωργίου ἐν Λυκίᾳ, ἐν Ἀτταλείᾳ ἢ Ἀλαγίᾳ. Ὁ Πήγασος ἦν πτερωτὸς ἵππος, προελθὼν ἐκ τοῦ ἀποκεφαλισμοῦ τῆς Μεδούσης ὑπὸ τοῦ Περσέως, ὃν συνέλαβεν ὁ Βελλεροφόντης, ποτιζόμενον ἐν τῇ πηγῇ Πειρήνῃ τῆς Κορίνθου, ἀναδοθείσῃ ἐκ κτυπήματος τοῦ ποδὸς αὐτοῦ, καὶ ἐξημέρωσε. Διὰ τούτου κατενίκησε τὰς Ἀμαζόνας καὶ τοὺς Σολύμους. Αἱ παραστάσεις Ἀμαζονομαχίας ὑπὸ τῶν ἀρχαίων Ἑλλήνων ἐδήλουν τὴν νίκην αὐτῶν κατὰ τῶν Περσῶν. Κατὰ τὴν ἀρχαιότητα ἐδείκνυντο πηγαί, προελθοῦσαι ἐκ κτυπήματος τῆς ὁπλῆς τοῦ Πηγάσου, ὡς ἡ Ἵππου Κρήνη παρὰ τοὺς πρόποδας τοῦ Ἑλικῶνος. Σήμερον δείκνυνται κτυπήματα τῆς ὁπλῆς τοῦ ἵππου τοῦ Ἁγίου Γεωργίου ἐπὶ βράχων, δι᾽ ὧν ἀνέβλυσαν πηγαί. Ἐν Κύπρῳ τὰ κτυπήματα ταῦτα καλοῦνται *Πατιὰ τοῦ Ἁγίου Γεωργίου*. Πέταλον, σύμβολον τοῦ λακτίζοντος ἵππου, τοποθετεῖται αὐτόθι ἐν τοῖς ἀνωφλίοις τῶν χωρικῶν οἰκιῶν, ὡς ἀποτρεπτικὸν τοῦ κακοῦ. Γαυριῶν ὁ Βελλεροφόντης, ἐπεχείρησεν, ὅπως ἀνέλθῃ εἰς τὸν οὐρανόν, ἀλλ᾽ ὁ Πήγασος κατέῤῥιψε τοῦτον. Κατὰ τοὺς ῥωμαϊκοὺς χρόνους ὁ Πήγασος ἐγένετο σύμβολον ἀθανασίας. Οἱ θριαμβεύοντες νικηταὶ παρίστανται ἔφιπποι. Ἀλλὰ καὶ οἱ ὑπερβαίνοντες τὸν θάνατον νεκροὶ παρίστανται ἐν ταῖς στήλαις αὐτῶν ἔφιπποι, λογχίζοντες δι᾽ ἀκοντίου τὸν κατακείμενον ἀντίπαλον αὐτῶν. Διὰ τοῦ ἵππου καὶ τῆς ἀναιρέσεως τοῦ ἀντιπάλου σημαίνεται ἡ μετάβασις τοῦ εἰκονιζομένου εἰς τὸν οὐρανόν, ἡ θέωσις αὐτοῦ. Τοιαύτην σημασίαν ἔχει καὶ ἡ στήλη τοῦ Δεξίλεω ἐκ τοῦ Κεραμεικοῦ τῶν Ἀθηνῶν. Ὁ Δεξίλεως ἐφονεύθη κατὰ τὸν κορινθιακὸν πόλεμον. Εἰκονίζεται ἔφιππος, ὡς νικητής, πλήττων δι᾽ ἀκοντίου Κορίνθιον, κατακείμενον ὑπὸ τοὺς πόδας τοῦ ἵππου αὐτοῦ.

Ἐν ταῖς δρακοντοκτονίαις ὑπάγεται καὶ ἡ ἐν τοῖς δημώδεσιν ᾄσμασιν ἀναίρεσις ὑπὸ τοῦ Διγενῆ, ἄλλως Κωνσταντίνου, γίγαντος Σαρακηνοῦ ἢ τεραστίου καρκίνου, κατεσθίοντος τοὺς ἀνθρώπους. Ὁ καρκῖνος εἶναι χθόνιον στοιχεῖον, συμβολίζον τὸν Ἅδην. Τὸ πρότυπον τοῦ ᾄσματος τῆς ἀναιρέσεως τοῦ καρκίνου εὑρίσκεται ἐν τῇ ψευδοκαλλισθενείῳ διηγήσει περὶ τοῦ Μεγάλου Ἀλεξάνδρου. Διελθὼν τὰς στήλας, τὰς χωριζούσας τὴν οἰκουμένην ἀπὸ τοῦ πέραν κόσμου, ὁ Μέγας Ἀλέξανδρος ἔφθασε μεθ᾽ ἡμερῶν πορείαν εἰς παραλίαν. Πελώριοι καρκῖνοι ἥρπαζον λουομένους στρατιώτας. Εὑρόντες οὗτοι ἕνα τούτων, ἐξελθόντα εἰς τὴν ξηράν, ἀνεῖλον.

Ἡ δρακοντοκτονία γίνεται παρὰ πηγαῖς. Ὁ δράκων, ἐνδιαιτώμενος παρ᾽ ὕδατι, ἐξερχομένῳ ἐκ τῆς γῆς, ἀποτελεῖ χθόνιον στοιχεῖον. Τὸ ὕδωρ κατὰ τὸν φιλόσοφον Θαλῆν τὸν Μιλήσιον ἀποτελεῖ ἀρχέγονον στοιχεῖον τῆς δημιουργίας. Εἶναι πηγὴ ζωῆς καὶ θανάτου. Ὑπάρχει πανταχοῦ, ὑπεράνω τοῦ οὐρανοῦ, ἐν τῷ ὠκεανῷ καὶ ὑποκάτω τῆς γῆς. Κατ᾽ ἀρχαίαν δοξασίαν ἡ γῆ ἐστερεώθη ἐπὶ τῶν ὑδάτων. Ἐκ τοῦ περιτρέχοντος τὴν γῆν ὠκεανοῦ ὑδροδοτοῦνται αἱ θάλασσαι καὶ οἱ ποταμοί. Ὕδωρ, εἰσερχόμενον εἰς τὴν γῆν καὶ ἀναφαινόμενον πάλιν, εἶναι ἱερόν. Ἡ Ἐκκλησία ἁγιάζει τὸ ὕδωρ. Ὁ Χριστὸς παρέχει τὸ ζῶν ὕδωρ τῆς αἰωνίου ζωῆς. Τὸ ὕδωρ τοῦ Ἅδου εἶναι δηλητηριῶδες, ὡς τὸ ὕδωρ τῆς Στυγός, ποταμοῦ τοῦ Ἅδου, ἀναφαινομένου ἐν Ἀρκαδίᾳ, ἐν ᾧ ὤμνυον οἱ θεοί. Τὰ δηλητηριώδη ἕλη εἶναι ὕδατα Ἅδου, ἐν οἷς ἐνοικοῦσι κακοποιὰ στοιχεῖα.

Ἀρχαῖαι δοξασίαι ὁμιλοῦσι περὶ ἱερῶν πηγῶν καὶ ὕδατος ἀθανασίας. Κατὰ τὸν Ψευδο-Καλλισθένη ὁ Μέγας Ἀλέξανδρος ἐπεχείρησεν, ὅπως ἀνεύρῃ τὸ ὕδωρ τῆς ἀθανασίας. Τοῦτο ἀνεῦρε τυχαίως ὁ μάγειρος αὐτοῦ Ἀνδρέας. Πλύνων οὗτος ξηρὸν ἰχθὺν εἰς πηγὴν πρὸς γεῦμα, εἶδε τοῦτον ἀναζῶντα καὶ φεύγοντα.

www.tezaurliturgic.ro

Πιὼν ἐκ τοῦ ὕδατος τῆς πηγῆς καὶ λουσθεὶς ἐν αὐτῷ, ἐγένετο ἀθάνατος. Μαθὼν τὴν εὕρεσιν τῆς πηγῆς τοῦ ἀθανάτου ὕδατος ὁ Ἀλέξανδρος, ἀνεζήτησε ταύτην, ἀλλ᾽ ἀνεπιτυχῶς. Φθονήσας ὁ Ἀλέξανδρος, ἔρριψε τὸν Ἀνδρέαν εἰς τὴν θάλασσαν, ἔνθα ζῇ πάντοτε. Ὁ μῦθος κατέπεσεν ἐν τῇ ἑλληνικῇ παραδόσει. Τὸ ἀθάνατον ὕδωρ ἔπιεν ἡ ἀδελφὴ τοῦ Ἀλεξάνδρου Καλή, ἥτις, ριφθεῖσα εἰς τὴν θάλασσαν, ἐγένετο Γοργόνα, φέρουσα νηνεμίαν τοῖς ναυτιλλομένοις. Κατὰ τὴν ἀραβικὴν παράδοσιν ὁ ριφθεὶς εἰς τὴν θάλασσαν, μάγειρος ἐγένετο Χὶντρ (***Khidr***), δηλαδὴ Πράσινος. Τὸ πράσινον χρῶμα συμβολίζει τὸν ἰσλαμικὸν παράδεισον. Ὁ Χὶντρ ἐξισοῦται ἢ καὶ ταυτίζεται πρὸς τὸν Προφήτην Ἠλίαν, τὸν ἀθάνατον τῆς ἑβραϊκῆς παραδόσεως. Ἐν Πόντῳ ταυτίζεται πρὸς τὸν Ἅγιον Γεώργιον, προσλαβόντα ἐκ τοῦ *Χὶντρ* (***Khidr***) καὶ τὴν προσωνυμίαν *Χουτουρᾶς*. Περιώνυμος εἶναι ἡ αὐτόθι μονὴ τοῦ Ἁγίου Γεωργίου τοῦ Χουτουρᾶ. Εἰς τὴν σύνδεσιν τοῦ Ἁγίου Γεωργίου πρὸς τὸν προφήτην Ἠλίαν ὀφείλεται καὶ ἡ σχέσις αὐτοῦ πρὸς τὴν βροχὴν καὶ τὰ καιρικὰ φαινόμενα. Τῷ Προφήτῃ Ἠλίᾳ προσφέρεται ἐν ὑπαίθρῳ ὑπὸ Κυπρίων χωρικῶν σφογγᾶτον πρὸς ἀποστολὴν βροχῆς καὶ ἀέρος. Τὸ *σφογγᾶτον* εἶναι τηγανιστὸν ᾠόν, ὁμοιάζον πρὸς σφόγγον, ὅστις εἶναι ὑδρόφιλος. Ἐν ταῖς πράξεσι τοῦ Ἁγίου Γεωργίου ὑπάρχει καὶ λαϊκὴ ἀφήγησις περὶ προσφορᾶς σφογγάτου αὐτῷ. Ἐν τῇ Δυτικῇ Κύπρῳ, ὅθεν ἔρχονται αἱ βροχαί, ὁ Ἅγιος Γεώργιος τιμᾶται καὶ ὡς *Ἅγιος Βρόχης*. Καταπεσοῦσαι εἰς τὸν λαὸν αἱ ψευδοκαλλισθένειοι διηγήσεις περὶ τοῦ Μεγάλου Ἀλεξάνδρου, ηὐδοκίμησαν ἐν εὐφόρῳ γῇ. Οἱ μῦθοι ὁμιλοῦσι περὶ ἀθανάτου ὕδατος, ὅπερ ἀνιστᾷ νεκρούς, παρέχει ἀθανασίαν καὶ θεραπεύει πᾶσαν ἀσθένειαν. Ἡ διὰ τοῦ ὕδατος ἀθανατισθεῖσα ἀδελφὴ τοῦ Μεγάλου Ἀλεξάνδρου Καλή, ζῶσα ἐν τῇ θαλάσσῃ, παρέχει νηνεμίαν τοῖς ναυτιλλομένοις. Οἱ Ἕλληνες

www.tezaurliturgic.ro

νησιῶται ἐταύτισαν ταύτην πρὸς τὴν Ἁγίαν Ἄνναν, ἀφιεροῦντες αὐτῇ ναΐδια ἐν παραλίαις καὶ νήσοις. Ἐν Κύπρῳ ἡ Καλή, ὑποδυθεῖσα τὰς ἀρχαίας Γελλὼ καὶ Λαμίαν τῶν ἐξορκισμῶν, ἔδωσε τὰς βλαπτικὰς τῶν βρεφῶν *Καλὰς Γυναῖκας*. Κατὰ τὴν Καλὴν τῆς θαλάσσης ἐπλάσθησαν ἐν τοῖς ἐξορκισμοῖς καὶ ὁ *Καλὸς τῶν Ὀρέων* καὶ οἱ *Καλοὶ τῶν Ὀρέων*, ἀναφερόμενοι ἐν τῇ μυθιστορίᾳ τοῦ Διγενῆ ὡς γέρων *Φιλόπαππος* καὶ *Ἀπελάται*. Παρ᾽ Ἄραψιν ὁ γέρων Φιλόπαππος ἔχει ἀντίστοιχον τὸν ἀήττητον ἐπαναστάτην Γέροντα τοῦ Ὄρους. Φαίνεται πιθανὸν ὅτι πηγαὶ διὰ τὸ ὕδωρ αὐτῶν ἐκαλοῦντο *Πηγαὶ τοῦ Ἀνδρέου*, ἐκ τοῦ μαγείρου τοῦ Μεγάλου Ἀλεξάνδρου. Ἐν παραλίοις τῆς Κύπρου, ἔνθα ὑπῆρχεν ὕδωρ, ὑψοῦντο στῆλαι πρὸς εἴδησιν τῶν ναυτιλλομένων. Εἶναι πιθανὸν ὁ ναὸς τοῦ Ἀποστόλου Ἀνδρέου ἐν τῷ Ἀκρωτηρίῳ τῆς Κύπρου νὰ ἱδρύθη παρὰ τὴν πηγὴν τοῦ ὁμωνύμου Ἀνδρέου. Αἱ στῆλαι ἐν παραθαλασσίοις ἀποτρέπουσι τὴν ἐπέλασιν τῆς θαλάσσης καὶ τοῦ κακοῦ. Ἀποτρεπτικαὶ εἶναι αἱ γνωσταὶ Στῆλαι Ἡρακλέους. Ὁ Μέγας Ἀλέξανδρος ἵδρυσε στήλας βωμοὺς ἐν τοῖς πέρασι τοῦ κόσμου καὶ ἀπέκλεισεν ἀπὸ τῆς οἰκουμένης τοὺς Γὼγ καὶ Μαγώγ, στήσας ἐν τῇ μεταξὺ τῶν ὀρέων στενῇ διόδῳ χαλκίνας πύλας. Ὁμοίως πρὸς ἀποτροπὴν ἐχθρῶν θεωροῦνται λίθοι καὶ ἐνάλιοι βράχοι, ῥιφθέντες. Ἐν τῇ Μεσαορίᾳ τῆς Κύπρου ὑπάρχει ἡ Πέτρα τοῦ Διγενῆ, ῥιφθεῖσα ἐκ τοῦ ὄρους Πενταδακτύλου ὑπὸ τοῦ Διγενῆ. Ὁ Μέγας Ἀλέξανδρος, ἄλλος Διγενῆς, καὶ ὁ μάγειρος αὐτοῦ Ἀνδρέας, ὡς Ἕλληνες, καλοῦνται ὑπὸ τῶν Ἀράβων Ῥούμι. Οὕτως ἡ πέτρα, ἣν ἔῤῥιψεν ὁ Διγενῆς, καλεῖται σήμερον *Πέτρα τοῦ Ρωμιοῦ*. Ταύτην ἐπεσκέπτοντο παλαιότερον οἱ μωαμεθανοί, ὡς συμβολικὴν τοῦ ἐν Μέκκᾳ ἱεροῦ λίθου. Κατὰ παράδοσιν ἱερὰ γυνὴ (Οὒμ Χαράμ), συνοδεύουσα ἐπιδρομὴν τῶν Ἀράβων εἰς Κύπρον, κατέπεσεν ἐκ τῆς καμήλου αὐτῆς

www.tezaurliturgic.ro

καὶ ἐφονεύθη. Τὸ τέμενος αὐτῆς εὑρίσκεται παρὰ τὴν Ἁλυκὴν τῆς Λάρνακος, ἐγκλεῖον κεκαλυμμένον ἱερὸν τρίλιθον. Εἴτε ἐκ τῆς πηγῆς, εἴτε ἐκ τῶν στηλῶν, ἡ ἱερὰ αὕτη γυνὴ καλεῖται ἐν ἀραβικοῖς χειρογράφοις *Ῥουμίγια* κατὰ τὸ *Ῥούμι*. Ἡ ἄνοδος εἰς τὸν παράδεισον παρὰ τοῖς λαοῖς τῆς ἐρήμου γίνεται διὰ καμήλου. Ἀνάλογον πρὸς τὸ ἀθάνατον ὕδωρ εἶναι τὸ ἀμίλητον ὕδωρ τῶν λαϊκῶν παραδόσεων. Τοῦτο λαμβάνεται ἐν ὥρᾳ ἀνόπτῳ παρὰ πηγῶν, ἐρχόμενον ἐκ τοῦ κάτω κόσμου, μεταφέρεται ἀμιλητί, ἵνα μὴ μολυνθῇ, ἐκτίθεται κατὰ τὴν νύκτα εἰς τὰ ἄστρα καὶ χρησιμοποιεῖται ἐν τῷ δρωμένῳ τοῦ κλήδονος ὑπὸ τῶν κορασίων τῇ πέμπτῃ Μαΐου πρὸς πρόγνωσιν τοῦ μέλλοντος αὐτῶν. Τὸ δρώμενον ἀποτελεῖ εἶδος νεκυιομαντίας, τοῦ ἀριθμοῦ πέντε παραπέμποντος εἰς τὸ μαγικὸν πένταλκον καὶ τοῦ Μαΐου εἰς τοὺς νεκρούς.

Ἡ ἵδρυσις τῆς περιωνύμου Κυρήνης ἐν τῇ θέσει ἐκείνῃ τῆς Λιβύης ὀφείλεται εἰς τὴν πηγὴν Κύρην, ἀφιερωθεῖσαν τῷ Ἀπόλλωνι. Κάτωθεν τῆς πηγῆς ἱδρύθη τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, ἀποτελούμενον ἐκ περιβόλου, περιλαμβάνοντος τὸν ναὸν τοῦ θεοῦ καὶ ἄλλα κτίσματα. Φάραγγες περικυκλοῦσι τὴν θέσιν κατὰ τὰς τρεῖς πλευρὰς καὶ τὴν πηγὴν τοῦ Ἀπόλλωνος. Ἡ πηγὴ αὕτη ῥέει καθ᾽ ὅλον τὸ ἔτος διὰ τεχνητῶς διηυρυμένης σήραγγος, κοσμηθείσης διὰ προστῴου μετὰ κιόνων. Ἡ αὖλαξ αὐτῆς εἶναι λίαν ἑλικοειδής, ἔχουσα μῆκος περίπου τριακοσίων μέτρων. Τὸ ὕδωρ, κρυπτόμενον καὶ ἀναφαινόμενον, ῥέει μέχρι σήμερον εἰς τὴν θάλασσαν. Ἐνταῦθα ἀνευρέθησαν πλεῖσται ἐπιγραφαὶ ἀρχαίων ἐπισκεπτῶν. Πρὸς ἀνατολὰς ἀνεκαλύφθη στάδιον καὶ πρὸς νότον λείψανα ὑδραγωγείου, δεξαμενῶν καὶ χριστιανικῆς βασιλικῆς. Διὰ τὸ αὐτόθι θαῦμα τῆς δρακοντοκτονίας τοῦ Ἁγίου Γεωργίου πιθανώτατα αὕτη ἦν ἀφιερωμένη αὐτῷ. Ἐν τῷ περιβόλῳ τοῦ ναοῦ τοῦ Ἀπόλλωνος ὁ αὐτοκράτωρ Τραϊανὸς ἐδεί-

ματο μεγάλας θέρμας, ἐν αἷς ἀνευρέθησαν πλεῖστα μαρμάρινα ἀγάλματα. Ἡ δρακοντοκτονία τὴν κατανίκησιν τῶν ἐχθρῶν τῆς Ἐκκλησίας σημαίνει. Ἡ ἀσκουμένη εἰδωλολατρία μετὰ τῆς συμπαρομαρτούσης ἀκολασίας, δι᾽ ὧν διεφημίσθη ἡ Κυρήνη, συνυπούργουν, ὥστε ἡ δρακοντοκτονία τοῦ Ἁγίου Γεωργίου νὰ τελεσθῇ σημαντικῶς ἐν τῇ χώρᾳ ταύτῃ.

Κατὰ τὴν Παλαιὰν Διαθήκην ὁ ποταμός, ὁ ἀρδεύων τὸν Παράδεισον. ἐκπορεύεται ἐξ Ἐδὲμ καὶ χωρίζεται εἰς τέσσαρας ἀρχάς:

*«Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς.*

*ὄνομα τῷ ἑνὶ Φισῶν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ οὗ ἐστι τὸ χρυσίον·*

*τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος.*

*καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεῶν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας.*

*καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρις· οὗτος ὁ προπορευόμενος κατέναντι Ἀσσυρίων. ὁ δὲ ποταμὸς ὁ τέταρτος ὁ Εὐφράτης»* (Γέν β´ 10-14).

Φισῶν καλεῖται ὁ Ἰορδάνης καὶ Γεῶν ὁ Νεῖλος.

Ὁ Ἰωάννης ὁ Πρόδρομος ἐβάπτιζεν ἐν τῷ Ἰορδάνῃ ποταμῷ πρὸς κάθαρσιν ἐκ τῶν ἁμαρτιῶν, ὡς ποταμῷ Παραδείσου.

Ὁ Νεῖλος κατὰ τὸν Ἰόβαν πηγάζει ἐκ τοῦ ὄρους Ἄτλαντος καὶ μετὰ δύο ὑπογείους διαδρομὰς ἀναδύεται καὶ πάλιν. Ὑπῆρχεν οὐράνιος, ἐπίγειος καὶ ὑπόγειος Νεῖλος. Ὁ Νεῖλος, ὅστις ἤρχετο ἐκ τοῦ Ἅδου ἐλέγετο καὶ Τρίτων. Ποταμὸς τῆς Λιβύης, θεωρούμενος παραπόταμος τοῦ Νείλου, ἐλέγετο ἐπίσης Τρίτων. Ὁμοίως λίμνη ἐν Λιβύῃ ἐλέγετο Τριτωνιάς. Ἐν

www.tezaurliturgic.ro

Κύπρῳ ὁ Γαλαξίας, θεωρούμενος ὡς ὁ Ἰορδάνης ἐν οὐρανῷ, *καλεῖται Ἰορδάνης ποταμός.*

Κατὰ τὴν ἑλληνικὴν μυθολογίαν ἐν τῷ Ἅδη ὑπῆρχον ἡ λίμνη Ἀχερουσία καὶ οἱ ποταμοὶ Ἀχέρων, Κώκυτος καὶ Πυριφλεγέθων. Ἐν τῇ ἑβραϊκῇ ἐσχατολογίᾳ αἱ ψυχαὶ διαπλέουσι τὸν Ἀχέροντα ποταμὸν καὶ λούονται ἐν τῇ Ἀχερουσίᾳ λίμνῃ, πρὸ τῆς εἰσόδου αὐτῶν εἰς τὸν Παράδεισον. Ὁ Ἀχέρων καὶ ἡ Ἀχερουσία ἔχουσι τὰ ὕδατα αὐτῶν λευκά, ὡς γάλα. Ἐν τῷ μέσῳ τῆς Ἀχερουσίας λίμνης ἵσταται ἡ πόλις τοῦ Θεοῦ, ἔνθα κατοικοῦσιν οἱ δίκαιοι. Κατὰ τὴν Ἀποκάλυψιν Μωυσέως αἱ ψυχαὶ τῶν μετανοησάντων παραδίδονται τῷ Ἀρχαγγέλῳ Μιχαήλ. Ἄγγελοι ῥίπτουσιν αὐτὰς εἰς τὴν Ἀχέρουσαν λίμνην, ἔνθα διαμένουσι μέχρι τῆς τελικῆς κρίσεως Εἶτα θὰ ὁδηγηθῶσιν ὑπὸ τοῦ Ἀρχαγγέλου Μιχαὴλ εἰς τὴν πόλιν τοῦ Θεοῦ. Ἐν ταῖς δοξασίαις ὁ Γαλαξίας ἐθεωρήθη ὡς ὁ ποταμὸς τοῦ γάλακτος, ἡ πορεία τοῦ Φαέθοντος, ὁ τόπος συναντήσεως τῶν ψυχῶν καὶ ἡ ὁδὸς πρὸς τὸν οἶκον τοῦ Θεοῦ. Δημῶδες ᾆσμα ἔχει ὡς θέμα τὴν διαπεραίωσιν τῶν ψυχῶν εἰς τὸν Παράδεισον διὰ τριχίνης γεφύρας, ταλαντευομένης. Οἰκοδόμος αὐτῆς ἐννοεῖται ὁ Μέγας Ἀλέξανδρος. Κατὰ τὴν ψευδοκαλλισθένειον διήγησιν ὁ Ἀλέξανδρος, πορευόμενος, ἔφθασεν εἰς φάραγγα καί, γεφυρώσας αὐτήν, εἰσῆλθεν εἰς τὴν χώραν τῶν Μακάρων, ἔνθα ὁ ἥλιος δὲν ἔλαμπε. Προχωρήσας μετ᾽ ὀλίγων συνοδῶν, ἔφθασεν εἰς τόπους ἀβάτους, ἔνθα ὑπῆρχε πηγὴ διαυγής, ἧς τὸ ὕδωρ ἔλαμπεν, ὡς ἀστραπή. Ἐνταῦθα συνέβη τὸ ἐπεισόδιον τοῦ μαγείρου τοῦ Ἀλεξάνδρου Ἀνδρέου καὶ τοῦ ὕδατος τῆς ἀθανασίας. Ἡ γέφυρα κτίζεται ἐν τῇ ἄκρᾳ τοῦ κόσμου, ἵνα συνδέσῃ τὴν γῆν μετὰ τοῦ Παραδείσου:

*«Κάτω ᾽ς τὲς ἄκρες τῶν ἀκρῶν, ᾽ς τὴν τέλειωσιν τοῦ κόσμου*
*γιοφύριν ἒν πὸ ᾽κτίζετον μὲ δώδεκα καμάρες.»*

www.tezaurliturgic.ro

Οἰκοδόμος τῆς γεφύρας εἶναι ὁ Μέγας Ἀλέξανδρος, ὁ ζεύξας τὴν φάραγγα, ἵνα εἰσέλθῃ εἰς τὴν χώραν τῶν Μακάρων. Ὁσάκις οὗτος μνημονεύεται ἐν τῷ ᾄσματι, καλεῖται Κωνσταντῖνος, διότι καὶ οὗτος συνέδεσε δύο ἠπείρους, ἱδρύσας τὴν Κωνσταντινούπολιν ἐν μυστικῷ σημείῳ. Ἡ θεμελιουμένη σύζυγος καλεῖται Μαρουδιά. Ἡ κόμη αὐτῆς ἀποκόπτεται καὶ πλέκεται εἰς σχοινίον, ἵνα καταβιβασθῇ αὕτη εἰς τὰ θεμέλια:

*«Χρυσὸν ψαλὶν ἐφέρασιν κι ἐκόψαν τὰ μαλλιά της,*
*ἔκοψεν τὰ μαλλάκια της, τὰ ᾽ξηνταπιθαμᾶτα,*
*καὶ κάμνει ἕναν χχοινὶν χοντρὸν κι ἕναν χχοινὶν λεφτάριν,*
*καὶ δήννει τὴν κοξοῦλλάν της, κάτω τὴν κατεβάζει.»*

Οὕτως ἵσταται ἡ τριχίνη γέφυρα, ἀποτελοῦσα ψυχοστασίαν τῶν διερχομένων δι᾽ αὐτῆς ψυχῶν:

*«Ὅσ᾽ ἔνι ᾽ποὺ τὸ γένος μου νὰ ῥέσσουν νὰ περνοῦσιν,*
*κι ὅσ᾽ ἔνι ᾽ποὺ τὸ γένος σου νὰ γέρνουν νὰ κρεμμοῦσιν.»*

Ἡ θεμελιουμένη γυνὴ καλεῖται Μαρία. Εἶναι δ᾽ αὕτη ἡ Μαρία τοῦ Εὐαγγελίου, ἡ ἀλείψασα τοὺς πόδας τοῦ Χριστοῦ διὰ μύρου καὶ ἀπομάξασα αὐτοὺς διὰ τῶν τριχῶν τῆς κεφαλῆς αὐτῆς. Ἐν τῷ ᾄσματι ἀναφέρονται τρεῖς ποταμοὶ τοῦ Ἅδου:

*«Τρεῖς ἀδερφάδες ἤμαστιν, κι οἱ τρεῖς γιοφύρκα ᾽κτίσαν·*
*ἡ μιά ᾽κτισεν τὸν Γαλατᾶν κι ἡ ἄλλη τὸν Ἀφρίτην,*
*κι ἡ τρίτη κι ἡ καλλύττερη τῆς Τρίχας τὸ γιοφύριν.»*

Τὸ γεφύρι τῆς Τρίχας φέρεται καὶ ὡς γεφύρι τῆς Ἄρτας, κατὰ τὴν γνωστὴν πόλιν τῆς Ἠπείρου. Φαίνεται ὅτι ἀρχικῶς ἐφέρετο ὡς γεφύρι τῆς *Τάρτας*, ἤτοι τοῦ *Ταρτάρου*. Ὁ Γαλατᾶς παραπέμπει εἰς τὸν Ἀχέροντα, τὸν ῥέοντα γάλα, καὶ τὸν Γαλαξίαν, ὁ Ἀφρίτης, ἐκ τοῦ *Εὐφράτης* κατὰ τὸ *ἀφρός*, εἰς τὸν Κώκυτον, τὸν ῥέοντα δάκρυα, καὶ ἡ Τρίχα, ἐκ τῆς τριχί-

www.tezaurliturgic.ro

νης γεφύρας, εἰς τὸν Πυριφλεγέθοντα, τὸν ῥέοντα πῦρ, εἰς ὃν κρημνίζονται αἱ διερχόμεναι ἄδικοι ψυχαί.

Ὁ Εὐφράτης ὑπῆρξε τὸ ὅριον ἐπεκτάσεως πρὸς δυσμὰς τῆς Παρθικῆς αὐτοκρατορίας τῷ 53 π.Χ. Οἱ Ῥωμαῖοι τῷ 66 μ.Χ. ἀνεγνώρισαν τὴν ἐξουσίαν ἑνὸς Πάρθου Ἀρσακίδου βασιλέως ἐν Ἀρμενίᾳ καὶ ἤρξαντο κατασκευάζοντες ὀχυρὰ κατὰ μῆκος τοῦ ἄνω καὶ τοῦ μέσου ῥοῦ τοῦ Εὐφράτου. Ὀχυρὰ κατὰ μῆκος τῆς δεξιᾶς ὄχθης τοῦ ποταμοῦ ἐφρούρουν πέρα τῶν πεντακοσίων ἐτῶν τὸ ῥωμαϊκὸν μέτωπον κατὰ τῶν Πάρθων καὶ εἶτα τῶν Σασσανιδῶν βασιλέων. Τὸ Ζεῦγμα, δύο πόλεις, ἱδρυθεῖσαι ὑπὸ τοῦ Σελεύκου τοῦ Α΄, ἡ Σελεύκεια ἐν τῇ δεξιᾷ ὄχθῃ τοῦ ποταμοῦ καὶ ἡ Ἀπάμεια ἐν τῇ ἀριστερᾷ, ἀπετέλεσεν ἀκραῖον σημεῖον συναντήσεως ἐμπορικῶν ὁδῶν ἐξ Ἀνατολῆς καὶ ἐκ Δύσεως. Ἡ Καππαδοκία ἀπέκτησεν ἐμπορικὴν σπουδαιότητα διὰ τὸν ἔλεγχον τῶν ὁδῶν. Μετὰ τὸ 363 μ.Χ., ὅτε ἡ περιοχὴ ἀνατολικῶς τοῦ Εὐφράτου παρεχωρήθη τῇ Περσίᾳ, αὕτη ἀπέκτησε καὶ στρατηγικὴν σημασίαν. Ὁ Ἰουστινιανὸς ὁ Α΄ ἐσυνέχισε τὰ ὀχυρωματικὰ ἔργα τῆς Καππαδοκίας κατὰ τῶν Σασσανιδῶν καὶ ἐπανίδρυσε τὴν Καισάρειαν. Στρατιῶται, ὑπηρετοῦντες ἐν Καππαδοκίᾳ, ἀκραίᾳ χώρᾳ, ἐκτεθειμένῃ εἰς ἐπιδρομὰς καὶ λεηλασίας, ἐλάμβανον, ὡς τιμητικήν, τὴν προσωνυμίαν *Καππαδόκης*. Οὕτως ἐγνώσθη ὡς Καππαδόκης καὶ ὁ εὐγενὴς στρατιώτης Ἅγιος Γεώργιος, συνοδὸς αὐτοκρατόρων, ὑπηρετήσας ἐν τῷ θέματι τῆς Ἀνατολῆς πρὸ τῆς διαιρέσεως αὐτοῦ, ἐν Καππαδοκίᾳ, Ἀρμενίᾳ, Παλαιστίνῃ, Αἰγύπτῳ καὶ Λιβύῃ. Διὰ τὸν λόγον τοῦτον καὶ ὁ Διγενῆς ἐν τῇ μυθιστορίᾳ αὐτοῦ κατασκευάζεται ὡς Καππαδόκης. Ἡ Νικομήδεια καὶ ἡ Καισάρεια, ὡς σημαντικαὶ πόλεις, ἑλκύουσι μαρτύρια Ἁγίων, κατὰ τόπους συμβάντα, ὡς συμβάντα ἐν αὐταῖς.

Ἡ ἀναίρεσις τοῦ δράκοντος ὑπὸ τῶν στρατιωτικῶν Ἁγίων

www.tezaurliturgic.ro

δὲν σχετίζεται κατ᾽ οὐσίαν πρὸς τὰς ἀρχαίας δρακοντοκτονίας. Ἐπαναλαμβάνει τὰ ἆθλα τοῦ Ἀρχαγγέλου Μιχαὴλ κατὰ τοῦ Ἑωσφόρου καὶ σημαίνει τὴν νίκην τῆς Ἐκκλησίας κατὰ τῆς εἰδωλολατρίας καὶ τῶν ἐχθρῶν αὐτῆς. Ἀποτελεῖ προστάδιον μαρτυρίου. Δι᾽ αὐτῆς ὁ μάρτυς ἑτοιμάζεται ἐν τῇ πάλῃ πρὸς τὸν νοητὸν δράκοντα. Ἐν τῇ μυστικῇ ζωῇ τῆς Ἐκκλησίας τὴν σωτηριώδη Βάπτισιν, τὴν Σταύρωσιν καὶ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ σημαίνει.

Ἐν τῷ Βυζαντίῳ οἱ στρατιωτικοὶ Ἅγιοι εἰκονίζονται ὡς ὡραῖοι καὶ εὐσταλεῖς νεανίαι, ἐνδεδυμένοι τὴν λαμπρὰν στολὴν καὶ πανοπλίαν τῆς ἀριστοκρατίας. Ἐν ὑστέροις οἱ δρακοντοκτόνοι Ἅγιοι παρίστανται ἔφιπποι, ἀναιροῦντες διὰ δόρατος τὸν δράκοντα ἢ τὸν πολέμιον τῆς Ἐκκλησίας ὑπὸ τοὺς πόδας τοῦ ἵππου αὐτῶν. Ἡ ἔφιππος παράστασις τῶν στρατιωτικῶν Ἁγίων δὲν προέρχεται ἐκ τῶν μεσαιωνικῶν ἱπποτῶν τῆς Δύσεως, ἀλλ᾽ ἐξ ἐνδημούσης ἐν τῇ Ἀνατολῇ τοιαύτης παραστάσεως τῶν νικητῶν καὶ τῶν θεουμένων. Πρότυπον αὐτῆς εἶναι ὁ Βελλεροφόντης, ὅστις, ἐποχούμενος τοῦ Πηγάσου, ἀνεῖλε τὴν Χίμαιραν. Ἔφιππος παρίσταται ἐν τῇ νεκρικῇ στήλῃ αὐτοῦ ἐκ τοῦ Κεραμεικοῦ καὶ ὁ Ἀθηναῖος στρατιώτης Δεξίλεως, καταβάλλων Κορίνθιον στρατιώτην ὑπὸ τοὺς πόδας τοῦ ἵππου αὐτοῦ. Οἱ Ἅγιοι τῆς Κοπτικῆς Ἐκκλησίας παρίστανται ἔφιπποι. Μεταβαίνουσιν εἰς τὸν Παράδεισον ἔφιπποι, ὡς νικηταί. Διὰ τὸν συμβολισμὸν τοῦ Παραδείσου διὰ τοῦ πρασίνου χρώματος οἱ ἵπποι αὐτῶν παρίστανται πράσινοι.

Ἡ παράστασις ἐφίππων τῶν Ἁγίων τῆς Ἀνατολῆς προέρχεται ἐκ φυλακτηρίων, παριστώντων ἔφιππον τὸν βασιλέα Σολομῶντα, καταβάλλοντα ἀνθρωπίνην μορφήν, καὶ τὸν Ἀρχάγγελον Μιχαήλ, καταβάλλοντα τὸν Ἑωσφόρον. Καμέος τοῦ Κωνσταντίνου τοῦ Β´ τοῦ Νεωτέρου, υἱοῦ τοῦ Μεγά-

λου Κωνσταντίνου, λαβόντος τὰς χώρας, ὧν ἦρχεν ὁ πάππος αὐτοῦ Χλωρός, ἀποκείμενος ἐν τῷ Νομισματικῷ Μουσείῳ τῆς Ἐθνικῆς Βιβλιοθήκης τῶν Παρισίων, εἰκονίζει τοῦτον ἔφιππον μετὰ βραχέος δόρατος, ἔχοντα ὑπὸ τοὺς πόδας τοῦ ἵππου αὐτοῦ μορφάς. Ὡς φυλακτήρια ἐχρησιμοποιοῦντο καὶ νομίσματα μετὰ τῆς μορφῆς τοῦ Μεγάλου Ἀλεξάνδρου. Οἱ Ῥωμαῖοι τῶν αὐτοκρατορικῶν χρόνων, ἄνδρες καὶ γυναῖκες, ἔφερον τοιαῦτα ὡς κοσμήματα, ἀσκοῦντα μαγικὴν δύναμιν. Ὁ Ἰωάννης ὁ Χρυσόστομος ὁμιλεῖ περὶ τῶν φυλακτηρίων τούτων, ὡς συνηθείας γενικῶς διαδεδομένης. Ἡ συνήθεια τῶν φυλακτηρίων νομισμάτων διετηρήθη εἰς τὴν χρῆσιν τῶν *Κωνσταντινάτων*.

Οἱ στρατιωτικοὶ Μεγαλομάρτυρες Ἅγιοι παριστῶνται φέροντες σταυρόν. Διὰ τοῦ μαρτυρίου αὐτῶν ἐμιμήθησαν τὸ Πάθος τοῦ Χριστοῦ. Τὸ μαρτύριον κατατάσσει τοὺς Ἁγίους τούτους ἐν κοινῇ χορείᾳ. Ἀθλοῦσι διὰ κοινῶν ἀγώνων ἐν κοινῷ σταδίῳ. Αἱ πράξεις αὐτῶν ἀποτελοῦσιν ἀνθοδέσμην εὐώδων ἀνθέων, ἀναπεμπόντων τὴν εὐωδίαν αὐτῶν πρὸς Κύριον. Μνήμην ποιούμενοι σήμερον ἐπὶ τῇ μυροβλήτῳ ἑορτῇ τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, συμνημονεύομεν διὰ τὴν συνάφειαν καὶ τὴν κοινὴν σημειολογίαν τῶν πράξεων αὐτῶν, ὡς ἐν προοιμίῳ, καὶ συνομίλων αὐτῷ Μεγαλομαρτύρων, Ἁγίου Θεοδώρου τοῦ Τήρωνος, Ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου, Ἁγίου Προκοπίου, Ἁγίου Παντελεήμονος, Ἁγίου Δημητρίου, Ἁγίου Μηνᾶ καὶ Ἁγίου Μερκουρίου. Σὺν τούτοις μνημονεύομεν καὶ τοῦ Ἁγίου Νικολάου διὰ τὴν σημειολογίαν τῶν θαυμάτων αὐτοῦ. Τὰ κατ᾽ αὐτοὺς τρέχουσιν οὕτω:

www.tezaurliturgic.ro

# ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΘΕΟΔΩΡΟΣ Ο ΤΗΡΩΝ

Ὁ Ἅγιος Μεγαλομάρτυς Θεόδωρος ὁ Τήρων ἐγεννήθη ἔν τινι ἀνατολικῇ χώρᾳ καὶ ἐμαρτύρησεν ἐν Ἀμασείᾳ τοῦ Πόντου ἐπὶ αὐτοκράτορος Μαξιμιανοῦ. Ὑπηρέτησεν ἐν τῷ ῥωμαϊκῷ στρατῷ, καταταγεὶς ἐν τῇ λεγεῶνι τῶν Μαρμαριτῶν. Ὑπῆρξε στρατιώτης κοόρτεως τηρώνων, ἤτοι νεοσυλλέκτων, ὅθεν ἔλαβε τὴν προσωνυμίαν Τήρων.

Ἡ λεγεὼν τῶν Μαρμαριτῶν ἔλαβε τὴν ὀνομασίαν αὐτῆς ἐκ τῆς περιοχῆς τῆς Βορείου Ἀφρικῆς Μαρμαρική, ἀντικαταστήσασα πιθανῶς τὴν προτέραν λεγεῶνα Κυρηναϊκήν. Ἐξετείνετο ἡ περιοχὴ Μαρμαρικὴ ἀπὸ τῆς Αἰγύπτου μέχρι τῆς Μεγάλης Σύρτεως καὶ τῆς Κυρηναϊκῆς. Κατὰ τὴν ἐποχὴν τῶν Πτολεμαίων ἡ Μαρμαρικὴ προσηρτήθη εἰς τὴν Αἴγυπτον, ἀποτελέσασα δύο νομούς, τὸν Λιβυκὸν πρὸς ἀνατολὰς καὶ τὸν Μαρμαρικὸν πρὸς δυσμάς. Ἐκ τοῦ ὀνόματος τῆς Μαρμαρικῆς ὠνομάσθη ἡ Κυρηναϊκὴ κατὰ τὴν κατάκτησιν αὐτῆς ὑπὸ τῶν Ἀράβων *Μπάρκα*. Ῥωμαϊκαὶ λεγεῶνες μετεστρατοπέδευον καθ᾽ ὅλην τὴν αὐτοκρατορίαν. Τούτων τινὲς ἔφερον τοπικὰ ὀνόματα, οἷον Γαλλική, Ἱσπανική, Ἰταλική, Κυρηναϊκή, Μακεδονική, Παρθική, Σκυθική.

Πανηγυρικὸς λόγος εἰς τὸν Ἅγιον Θεόδωρον τὸν Τήρωνα, ἀποδιδόμενος εἰς τὸν Ἅγιον Γρηγόριον Νύσσης καὶ ἐκφωνηθεὶς κατὰ τὴν ἑορτὴν αὐτοῦ, ἄρχεται ἀπὸ τῆς σωτηρίας τοῦ Πόντου ἐκ τῶν ἐπιδρομῶν τῶν Σκυθῶν διὰ τῆς παρεμβάσεως αὐτοῦ. Διεξῆει ὁ λόγος ὅτι διὰ παρεμβάσεως τοῦ Ἁγίου οἱ δαίμονες ἐκβάλλονται καὶ οἱ ἀσθενεῖς θεραπεύονται. Προσκυνηταὶ συνέῤῥεον εἰς τὸν ναὸν αὐτοῦ ἐν Εὐχαΐτοις, τιμῶντες αὐτὸν καὶ θαυμάζοντες τὰς θαυμασίας παραστάσεις τῶν πράξεων αὐτοῦ. Ὁ αὐτόθι τάφος αὐτοῦ δωρεῖται εὐλογίαν. Οἱ προσκυνηταὶ συναπεκόμιζον κόνιν ἐκ τοῦ τάφου αὐτοῦ, ὡς πολύτιμον θησαυρόν. Ἥπτοντο τῶν ἱερῶν λειψάνων, ἔφερον αὐτὰ εἰς τὸ στόμα, τοὺς ὀφθαλμοὺς καὶ τὰ ὦτα αὐτῶν.

Ὁ Ἅγιος Μεγαλομάρτυς Θεόδωρος ὁ Τήρων ἀνεῖλε δράκοντα, ἔχοντα τὸν φωλεὸν αὐτοῦ ἐν δάσει καὶ λυμαινόμενον τοὺς κατοίκους. Ἡ ἀναίρεσις ἐγένετο ἐν τῷ κτήματι εὐγενοῦς τινος γυναικός, καλουμένης Εὐδοκίας. Πρὸ τοῦ θαύματος ὁ Ἅγιος παραδίδει ἑαυτὸν μυστικῶς τῷ ὕπνῳ. Ἐγείρεται ὑπὸ τῆς παρακολουθούσης Εὐδοκίας, ἥτις ἱκετεύει αὐτόν, ὅπως φύγῃ, ἵνα μὴ γένηται βορὰ τῷ δράκοντι. Ἀνελὼν τὸν δράκοντα, ὁ Ἅγιος ἐπορεύετο πρὸς τὴν Ἀμάσειαν τοῦ Πόντου, ἵνα διὰ τῆς ὁμολογίας τῆς εἰς Χριστὸν πίστεως καὶ τοῦ πάθους αὐτοῦ ἀνέλῃ καὶ τὸν νοητὸν δράκοντα. Ἡ ἀναίρεσις τοῦ δράκοντος ἀποτελεῖ τὸ προστάδιον τοῦ πάθους. Οὕτω καὶ ὁ Ἅγιος Γεώργιος μετὰ τὴν ἀναίρεσιν τοῦ δράκοντος ἤρξατο τῆς ὁδοῦ πρὸς τὸ πάθος αὐτοῦ.

Ἡ λεγεὼν τῶν Μαρμαριτῶν, ἐν ᾗ ὑπηρέτει ὁ Ἅγιος Θεόδωρος, ἐτύγχανε διάγουσα ἐν τῇ κατὰ τὸν Πόντον Ἀμασείᾳ. Τελουμένων εἰδωλολατρικῶν τελετῶν ὑπὸ τοῦ στρατεύματος, ὁ Ἅγιος ἠρνήσατο, ὅπως συμμετάσχῃ. Κληθεὶς εἰς ἀπολογίαν, ὡμολόγησε τὴν πίστιν αὐτοῦ εἰς τὸν Χριστόν. Ἠκολούθησαν ἀπειλαὶ καὶ δελεασμοί, ἀλλ᾽ ὁ Ἅγιος παρέμεινεν ἀκλόνητος

εἰς τὴν πίστιν αὐτοῦ. Ἀπελύθη προσωρινῶς, ἵνα σκεφθῇ καὶ μεταστραφῇ, ἀλλ᾽ οὗτος ἐπυρπόλησε τὸν εἰδωλολατρικὸν ναὸν τῆς πόλεως, ἀφιερωμένον τῇ μητρὶ τῶν θεῶν Ῥέᾳ. Ἐκλήθη εἰς ἐξέτασιν τὸ δεύτερον, ὑποβληθεὶς εἰς ἀνηλεῆ βασανιστήρια. Κρεουργηθείς, ἐῤῥίφθη εἰς τὴν φυλακήν, ἀλλὰ κατὰ τὴν νύκτα ἐθεραπεύθη ὑπὸ ἀγγέλων. Οἱ φυλάσσοντες αὐτὸν εἶδον πλῆθος λευχειμόνων ἐντὸς τῆς φυλακῆς, συμψαλλόντων αὐτῷ. Ἐκλήθη τὸ τρίτον, καταδικασθεὶς εἰς τὸν διὰ πυρᾶς θάνατον. Ἡ πυρά, οἱονεὶ τιμῶσα τὸν Ἅγιον, ἐσχημάτισε δόξαν περὶ τὸ σῶμα αὐτοῦ. Ἡ προστάτις αὐτοῦ Εὐσεβία ᾐτήσατο τὸ σῶμα αὐτοῦ καί, ἀλείψασα μύροις, κατέθηκεν ἐν οἴκῳ αὐτοῖς ἐν Εὐχαΐτοις, ἔνθα ἱδρύθη ναὸς τῷ Ἁγίῳ.

Τὰ Εὐχάιτα ἦν πόλισμα ἐν Πόντῳ, δυτικῶς τῆς Ἀμασείας. Ἀνεκηρύχθη εἰς πόλιν ὑπὸ τοῦ αὐτοκράτορος Ἀναστασίου τοῦ Α΄, ὀχυρώσαντος αὐτὴν μετὰ τὰς ἐπιθέσεις τῶν Οὔννων τῷ 515. Ἐπυρπολήθη ὑπὸ τῶν Σασσανιδῶν τῷ 615, προσεβλήθη ὑπὸ τοῦ χαλίφου Μωαβίου τῷ 640 καὶ κατελήφθη ὑπὸ τῶν Ἀράβων κατὰ τὸν χειμῶνα τοῦ 664. Οἱ Ἄραβες ἐλεηλάτησαν τὴν πόλιν καὶ κατηδάφισαν τὸν ναὸν τοῦ Ἁγίου Θεοδώρου. Ἡ πόλις συνῆλθε καὶ ὁ ναὸς ἐπανῳκοδομήθη. Τὰ Εὐχάιτα ὑπήχθησαν εἰς τὸ Ἀρμενιακὸν θέμα. Οἱ Ἄραβες παρέσυραν εἰς ἐνέδραν τὸν στρατηγὸν καὶ ἐγένοντο κύριοι τοῦ θησαυροφυλακίου τοῦ θέματος τῷ 810. Τὰ Εὐχάιτα, ἀρχικῶς ἐπισκοπὴ τῆς μητροπόλεως Ἀμασείας, ἀνεκηρύχθησαν εἰς αὐτοκέφαλον ἀρχιεπισκοπὴν ἀπὸ τοῦ ἑβδόμου αἰῶνος διὰ τὸν τιμώμενον αὐτόθι Ἅγιον Θεόδωρον τὸν Τήρωνα. Ἀνεκηρύχθησαν μητρόπολις ὑπὸ Λέοντος τοῦ Ἀρμενίου. Ἐν ἑτέρᾳ πόλει Εὐχανείᾳ ἐν τῇ περιφερείᾳ ἐτιμᾶτο ὁ ὁμώνυμος Ἅγιος Μαγαλομάρτυς Θεόδωρος ὁ Στρατηλάτης, καλούμενος καὶ Ἡρακλεώτης, ὡς μαρτυρήσας ἐν Ἡρακλείᾳ τοῦ Πόντου. Διὰ τὸν Ἅγιον τοῦτον ὁ αὐτοκρά-

τωρ Ἰωάννης Τσιμισκῆς μετωνόμασε τὴν πόλιν Εὐχάνειαν εἰς Θεοδωρούπολιν τῷ 972. Ἡ Εὐχάνεια τοῦ Ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου κατὰ τὰ ὅμορα Εὐχάιτα μετεσχηματίσθη εἰς Εὐχάινα.

Ὁ Ἅγιος Μεγαλομάρτυς Θεόδωρος ὁ Τήρων τιμᾶται καὶ τῷ Σαββάτῳ τῆς πρώτης ἑβδομάδος τῶν Νηστειῶν εἰς ἀνάμνησιν τῆς σωτηρίου διατροφῆς τοῦ λαοῦ διὰ κολλύβων. Ὁ αὐτοκράτωρ Ἰουλιανός, ἐχόμενος τῆς θρησκείας τῶν εἰδώλων, διέταξεν, ὅπως περιέλωνται ἐκ τῆς ἀγορᾶς πάντα τὰ καθαρὰ βρώματα, ἐκτιθῶνται δὲ μόνα τὰ μιαρά, ἵνα ὑποχρεωθῶσιν οἱ νηστεύοντες χριστιανοὶ εἰς μιαροφαγίαν. Κακοπαθοῦντος τοῦ πιστοῦ λαοῦ τῆς Κωνσταντινουπόλεως, ἐπεφάνη ὁ Ἅγιος Θεόδωρος τῷ πατριάρχῃ καὶ συνεβούλευσε τὴν ἕψησιν κολλύβων πρὸς διατροφὴν τοῦ λαοῦ. Οὕτως ἐματαιώθη ἡ ἐπιβουλὴ τοῦ εἰδωλολάτρου αὐτοκράτορος κατὰ τῶν χριστιανῶν.

Ὁ Ἅγιος Θεόδωρος ὁ Τήρων εἰκονίζεται μετὰ στρατιωτικῆς στολῆς καὶ ὀξείας μελανῆς γενειάδος, μόνος ἢ ἀναιρῶν τὸν βύθιον δράκοντα. Ὁσάκις εἰκονίζεται ὡς ξυνωρὶς μετὰ τοῦ Ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου, διακρίνεται τούτου ἐκ τῆς γενειάδος αὐτοῦ. Εἰκὼν ἐν τῇ μονῇ τοῦ Σινᾶ τοῦ ἐνάτου ἢ δεκάτου αἰῶνος παριστάνει τοῦτον ἔφιππον ἐν στρατιωτικῇ στολῇ, λογχίζοντα τὸν δράκοντα. Χρυσοῦν μετάλλιον, ἀνευρεθὲν ἐν Καλαβρίᾳ, παριστάνει ἐπίσης τὸν Ἅγιον φονεύοντα τὸν δράκοντα. Παράλληλα τούτου μαρτυροῦνται ἐν ἀντικειμένοις τοῦ ἕκτου καὶ ἑβδόμου αἰῶνος. Ἡ παράστασις δρακοντοκτονίας ἐν τοῖς δυτικοῖς συνόροις τοῦ ἑλληνισμοῦ ἐνέχει ἰδιαιτέραν σημασίαν. Ἡ δυναστεία τῶν Κομνηνῶν εἰσήγαγε τὰς μορφὰς τοῦ Ἁγίου Δημητρίου, τοῦ Ἁγίου Γεωργίου καὶ τοῦ Ἁγίου Θεοδώρου ἐπὶ νομισμάτων.

Ἐκ τοῦ Βυζαντίου ἡ τιμὴ τῶν στρατιωτικῶν Ἁγίων διεδόθη

καὶ εἰς τὴν Δύσιν διὰ τῶν Σταυροφόρων. Πρὸ τῆς ἀναγορεύσεως τοῦ Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου ὡς προστάτου τῆς Βενετίας προστάτης αὐτῆς ἦν ὁ Ἅγιος Θεόδωρος ὁ δρακοντοκτόνος, παραληφθεὶς ἐκ τῶν Ἑλλήνων τῆς Κάτω Ἰταλίας. Ἡ Κάτω Ἰταλία ἐτίμα τὸν Ἅγιον Θεόδωρον καὶ ἡ καταντικρὺ Κυρήνη τὸν Ἅγιον Γεώργιον, ὡς δρακοντοκτόνους. Διὰ ζῆλον πρὸς τὴν Ῥώμην, ἔχουσαν προστάτην Ἀπόστολον, ἐζήτησε καὶ ἡ Βενετία προστάτην Ἀπόστολον, καὶ ἀνηγόρευσε τὸν Ἀπόστολον καὶ Εὐαγγελιστὴν Μᾶρκον, οὗ τὸ σῶμα μετεκόμισαν ἐξ Ἀλεξανδρείας εἰς Βενετίαν Βενετοὶ ἔμποροι. Ἐπὶ κίονος ἐν Βενετίᾳ παρίσταται ὁ Ἅγιος Θεόδωρος, ἀναιρῶν τὸν δράκοντα. Ἡ κεφαλὴ τοῦ Ἁγίου, ἐκ παρίου μαρμάρου, προέρχεται ἐξ ἀγάλματος τοῦ βασιλέως τοῦ Πόντου Μιθριδάτου καὶ ὁ θώραξ ἐξ ἀγάλματος τῆς ἐποχῆς τοῦ Ἀδριανοῦ. Ὁ δράκων, λομβαρδικῆς τεχνοτροπίας, χρονολογεῖται κατὰ τὸ πρῶτον ἥμισυ τοῦ δεκάτου πέμπτου αἰῶνος. Ἐν τῷ χοροστασίῳ τοῦ καθεδρικοῦ ναοῦ τῆς Σάρτρ τριάκοντα καὶ ὀκτὼ ὑαλογραφίαι τοῦ δεκάτου τρίτου αἰῶνος εἰκονίζουσι σκηνὰς ἐκ τῶν πράξεων τοῦ Ἁγίου Θεοδώρου. Ἐν τοῖς πρόποσι τοῦ Παλατίνου λόφου ἐν Ῥώμῃ ἀφιέρωται ναὸς αὐτῷ.

Τὸ μαρτύριον τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος τρέχει οὕτω:

*«Μαξιμιανῷ καὶ Μαξιμίνῳ τοῖς βασιλεῦσι πολλή τις καὶ ἄσχετος ἡ ὁρμὴ κατὰ τῆς τῶν χριστιανῶν κεκίνητο πίστεως, ἅτε βαθεῖ σκότῳ τῆς ἀσεβείας κατεχομένοις καὶ πλείστην ὅσην περὶ τὴν τῶν εἰδώλων πλάνην ποιουμένοις τὴν ἐπιμέλειαν· τίς οὖν παραστήσειε λόγος τὴν τότε κατέχουσαν ζάλην τοὺς φοβουμένους τὸν Κύριον; ἠρευνῶντο πόλεις, ἠρευνῶντο κῶμαι, χῶραι, ἀγροί, σπήλαια καὶ πᾶς, ὅστις τὰ χριστιανῶν σεβόμενος*

ἦν, ἐχειροῦτό τε παραχρῆμα καὶ πρὸς αὐτοὺς ἤγετο· ὧν τοῖς μὲν πειθομένοις τὴν ἱερὰν ἐξόμνυσθαι πίστιν καὶ τὸ ψεῦδος ἀντὶ τῆς ἀληθείας τιμᾶν εὐθηνία βίου, τιμαὶ καὶ ἀγαθῶν ἄλλων μυρίων ἀντίδοσις ἦν· τοὺς δὲ τὴν ἀγαθὴν ὄντως μερίδα προελομένους καὶ πάντα παθεῖν μᾶλλον ἢ ζημιωθῆναι Χριστὸν καὶ τὴν εὐσεβῆ καὶ φίλην ἀπώσασθαι θεοσέβειαν στέρησις τῶν ὄντων, βάσανοι, θάνατοι καὶ εἴ τι ἄλλο τῶν χαλεπῶν ἐξεδέχοντο.

Κατ᾽ ἐκεῖνο τοίνυν καὶ ὁ τοῦ Χριστοῦ μάρτυς Θεόδωρος ἐπόθει μὲν παῤῥησιάσασθαι τὴν εὐσέβειαν, οἷάπερ ἐκ προγόνων χριστιανὸς ὤν, οὐκ ἠγάπα δὲ λανθάνουσαν τὴν εἰς Χριστὸν πίστιν κεκτῆσθαι οὐδ᾽ ἐβούλετο οὕτως ἁπλῶς χωρῆσαι πρὸς τὴν ὁμολογίαν, εἰ μὴ καὶ τὸ θεῖον ἕξει πρὸς τοῦτο συνευδοκοῦν θέλημα. Ἀποδειχθεὶς γὰρ εἰς τήρωνα μεθ᾽ ἑτέρων περὶ τὴν ἕω καὶ ἤδη εἰς λεγεῶνα ἄγεσθαι μέλλων τῶν Μαρμαριτῶν καλουμένην, ἥτις ὑπὸ πραιποσίτῳ μὲν Βρίγγᾳ καλουμένῳ ἐτύγχανεν οὖσα, ἐν πόλει δὲ Ἀμασείᾳ τῇ κατὰ τὸν Πόντον διάγουσα ἦν, δοκιμὴν ποιεῖται τοῦ προκειμένου σκοποῦ· καὶ ἡ δοκιμὴ αὕτη.

Δράκων ἦν ἐμφωλεύων κατά τινα τόπον, ᾧ Εὐχάιτα τοὔνομα, δεινὸς μὲν ἰδεῖν, δεινότερος δὲ προσβαλεῖν, ὅτῳ ἂν ἐκεῖνον ἐντυχεῖν ἐγένετο· πῦρ μὲν γὰρ ἠφίει τῶν ὀφθαλμῶν, ἰὸν δὲ τῶν χειλέων, καὶ ἄμαχόν τι κακὸν καὶ ὀλέθριον, ἐν δὲ τῷ ἕρπειν πᾶσαν ὡς εἰπεῖν τὴν παρακειμένην ὕλην διασαλεύων· ὅθεν οὐδὲν ἄλλο τοῖς πλησιάζουσιν ὑπελείπετο ἢ τὸ φυγεῖν ἐκεῖθεν καὶ μετανάστας γενέσθαι καὶ τὸ φίλον ἔδαφος μισητὸν γενέσθαι διὰ κακὸν οὕτω ἄμαχον καὶ ἀγχίθυρον. Τοῦτον οὖν τὸν τόπον ὁ τοῦ Χριστοῦ μάρτυς ὄψει παραλαβὼν καὶ τῷ τῶν ἐγχωρίων οἴκτῳ κατακαμφθεὶς τὴν ψυχήν, σύμβολον παρ᾽ ἑαυτῷ ποιεῖται πρὸς τὴν τοῦ νοητοῦ δράκοντος πάλην τὴν τοῦ προκειμένου θηρὸς ἀναίρεσιν. Αὐτίκα γοῦν τῷ ὅπλῳ τοῦ τιμίου σταυροῦ φραξάμενος περιήει τὸν θῆρα διερευνώμενος. Κεκοπιακὼς δὲ

*τῷ λασίῳ καὶ δασεῖ τῆς ὕλης καὶ μικρόν τι ἐκβάς, ἔπειτα δὲ καὶ ἀποβὰς τοῦ ἵππου, ὕπνῳ ἑαυτὸν δέδωκέ τε καὶ διανέπαυε. Καί τις γυνὴ τῶν κατὰ τὴν χώραν ἐπισήμων τε καὶ περιφανῶν περιδεὴς καὶ ὑπότρομος ἐπιστᾶσα ἀφύπνιζέ τε τὸν Ἅγιον καὶ «ἀνάστα τὸ τάχος», ἐβόα· «εἰ μέλει σοι ζωῆς καὶ μὴ θανατᾷς ἄντικρυς· τὸ γὰρ ἐνταῦθα κακὸν ὁ δράκων συριγμῷ ἔξεισι διὰ τῆσδε καὶ πολλοὺς ὅπως ἀνεῖλεν ἄχρι καὶ νῦν καὶ βορὰν ἑαυτῷ ἐποιήσατο.» Ταῦτα ἔλεγε τὸ φιλόχριστον γύναιον οἰκτιζόμενον, εἶτα καὶ φανερὸν ὁρῶσα τὸν κίνδυνον εἰς τὸ δεῖγμα τῆς συμπαθείας δάκρυα κατέῤῥει τῶν ὀφθαλμῶν. Ὁ δὲ ὡς εἶδεν, ὡς ἤκουσε, παραχρῆμα τό τε σέβας τῆς γυναικὸς καὶ ἥτις εἴη παρ᾽ αὐτῆς ἐπυνθάνετο· κἀκείνη Εὐσεβία μὲν εἶπε κεκλῆσθαι, τὸ δὲ σέβας εἶναι χριστιανή, τὸν δὲ τόπον κεκτῆσθαι μὲν ἐκ πατρῴου κλήρου, ἀηδῶς δὲ πρὸς αὐτὸν ἔχειν καὶ σπεύδειν ὅσον οὔπω πανοικεσίᾳ τοῦτον καταλιπεῖν· «εἶδον γάρ», ἔφη, «πολλάκις καὶ τῶν γνωρίμων πολλοὺς ἐνταῦθα παραβάλλοντας καὶ τῷ θηρίῳ βορὰν γενομένους, ὧν ἡ μνήμη στρέφει μου τὴν καρδίαν· διὰ τοῦτο καί σε μὴ θᾶττον ἐκχωροῦντα ὁρῶσα περιαλγὴς γίνομαι καὶ ἐπίδακρυς.» Ταῦτα ἐπιτραγῳδήσασα φιλανθρώπως καὶ ἅμα τὰς χεῖρας εἰς οὐρανὸν ἄρασα· «Θεέ», εἶπεν, «ὁ σαρκωθεὶς ἐκ τῆς ἁγίας παρθένου ἐπὶ σωτηρίᾳ τοῦ κόσμου παντός, ἐξελοῦ ἡμᾶς τῆς προκειμένης τοῦδε τοῦ θηρίου κακότητος, κλῆρον σὸν γενομένους καὶ κλήσει τῇ σῇ δικαιωθέντας κατονομάζεσθαι.» Ὡς δὲ τοῦτο ῥηθὲν ἐν ἐπηκόῳ ὁ ἀθλητὴς ἤκουσεν, εὔθυμος ὅλος γενόμενος, «ἀπαλλαγήσῃ σήμερον», πρὸς τὸ γύναιον εἶπεν, «ἀπαλλαγήσῃ γείτονος πονηροῦ, Θεοῦ ἡμῖν ἄνωθεν ἐπορέγοντος δεξιάν. Ἔγνων γὰρ δύναμιν ἐμπνευσθεῖσάν μοι παρὰ τοῦ ἐμοῦ Χριστοῦ καὶ δεσπότου, ὅς σε καὶ τοῦ ὑπὲρ ἡμῶν οἴκτου ἀμείψαιτο παραστᾶσαν οὕτως καὶ ἡμᾶς ἀφυπνίσασαν.» Εἶπε καὶ οἷον ἔνθους γενόμενος καὶ τῷ*

www.tezaurliturgic.ro

τοῦ σταυροῦ σημείῳ ἑαυτὸν περιφράξας ἐπέβη τοῦ ἵππου καὶ ψόφου τινὸς αἰσθόμενος ἐκ μέσης τῆς ὕλης, ὅθεν τάχα καὶ τὸ θηρίον ἐξέρπειν ᾔσθετο, αὐτὸς τῇ ἄνωθεν πεποιθὼς συμμαχίᾳ ἔπεισιν ἀνδρικῶς· καὶ ἤδη τὸν φερόμενον ἰταμῶς καὶ ὁρμῆς πλήρη καταλαβὼν φθάνει τὴν λόγχην ἀκοντίσας καὶ βάλλει τὴν κεφαλὴν αὐτοῦ καιρίᾳ μάλιστα καὶ χαλεπῇ τῇ πληγῇ. Ὁ δὲ ἦν παραχρῆμα νεκρός, ὀλίγα τὸν ὁλκὸν περιστρέψας καὶ ἀδεὲς δέος τοῖς πεπλησιακόσι γενόμενος.

Τοῦτο σύμβολον ἐναργὲς κατέστη τῷ μακαρίῳ, ὅτι τε καλῶς ὁ τοῦ μαρτυρίου δρόμος αὐτῷ καὶ δεξιὸν ἀπαντήσοι τὸ πέρας καὶ ὅτι παραπλησίως τῷ αἰσθητῷ καὶ τὸν νοητὸν θῆρα καταγωνίσεται ἀμέλει καὶ χαίρων ἀπήει πρὸς τὴν τοῦ Πόντου Ἀμάσειαν, ἐν ᾗ ὁ μάρτυς γενόμενος καὶ ὅπως ἔχει περὶ τὸ σέβας διαγνωσθείς, θύειν εἰδώλοις παρὰ τῶν ἐπίσης αὐτοῖς ἀναισθήτων διεκελεύετο. Ὁ δὲ πιστὸς ὢν τῷ Θεῷ καὶ ὑπὸ τῆς αὐτοῦ χάριτος ἐμπνευσθεὶς παῤῥησίας τε καὶ θάρσους ὑποβληθείς, στὰς ἐν μέσῳ τῆς λεγεῶνος· «Ἐγὼ χριστιανός εἰμι», ἔφη, «καὶ θῦσαι θεοῖς κιβδήλοις οὐκ ἐπιτέταγμαι· ἔστι γάρ μου Χριστὸς ἐν οὐρανοῖς ἀθάνατος βασιλεύς, ᾧ καὶ στρατεύομαι καὶ οὗ τοῖς προστάγμασιν ἀκριβῶς πείθομαι.» Πρὸς ταῦτα τοῦ πραιποσίτου «τὴν προσήκουσάν σοι στρατείαν», εἰπόντος, «Θεόδωρε, μὴ ἀποποιοῦ, θῦέ τε τοῖς θεοῖς καὶ πείθου βασιλεῦσι τοῖς ἀηττήτοις», ὁ μάρτυς πάλιν ἐπὶ τῆς καλῆς ταύτης ὁμολογίας ἑστώς· «Λέλεκταί μοι ἤδη», φησί, «ὅτι τῷ ἐμῷ στρατεύομαι βασιλεῖ, καὶ αὐτῷ πείθομαι καὶ ἄλλῳ παρὰ τοῦτον στρατευθῆναι οὐ δύναμαι·» καὶ τὸν πραιπόσιτον σκολιᾷ χρησάμενον διανοίᾳ, «ἀλλὰ καὶ τούτους», εἰπεῖν ἀποβλέψαντα πρὸς τοὺς παρεστῶτας, «χριστιανοὺς ὄντας οὐδὲν τοῦτο διεκώλυσε τοῦ στρατεύεσθαι.» Εἶτα, τοῦ μάρτυρος ἐπίτομον δόντος ἀπολογίαν, «ἑκάστῳ», γὰρ εἰπεῖν, «ὅπως ἔχοι στρατείας μελέτω·

*ἐγὼ μέντοι εἴρηκα καὶ αὖθις ἐρῶ, ὅτι τῷ ἐμῷ στρατεύομαι βασιλεῖ, τῷ ζῶντί φημι Θεῷ, καὶ τῷ μονογενεῖ υἱῷ αὐτοῦ», Ποσειδώνιός τις δουκηνάριος παρεστὼς καὶ οἷον ἐγγελῶν τῷ μάρτυρι τῆς ἀπολογίας καὶ σκώπτειν ὥσπερ ἐξ ἀγχινοίας βουλόμενος, «ὁ γὰρ Θεός σου», ἔφη, «Θεόδωρε, καὶ υἱὸν ἔχει;»*

*Ὁ δὲ μάρτυς ἦν οὐχ ὑφειμένος τῆς ἀληθείας, ἀλλὰ προθύμῳ γλώττῃ καὶ θαῤῥαλέᾳ φωνῇ· «Ναί», εἶπεν, «ἔχει, τὸν Λόγον τῆς ἀληθείας, δι' οὗ τὰ πάντα παρήγαγε· διδάσκει γάρ με Δαυῒδ ὁ θεῖος καὶ προφήτης καὶ βασιλεὺς οὕτως εἰπών· τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν.» Εἶτα τὸν πραιπόσιτον πάλιν ἐπίσης διαχλευάζειν βουλόμενον· «τί δέ; τὸν υἱόν», φάναι, «τοῦτον δυνάμεθα καὶ ἡμεῖς ἰδεῖν;» «εἴθε», εἶπε, τοιαύτην ὑμῖν ἐκεῖνος τὴν σύνεσιν ἐχαρίσατο, ὥστε πολλὰ τῇ πλάνῃ χαίρειν εἰπόντας τὸν ἀψευδῆ Θεὸν ἐπιγνῶναι καὶ τούτῳ λατρεύειν καὶ τὴν λογικὴν αὐτῷ προσφέρειν θυσίαν, ἁγνεύοντας ἅμα καὶ χεῖρας καὶ τὴν ψυχήν.» Ἀλλ' οὕτως μὲν τὰ τῆς ἀγαθῆς καὶ φιλανθρώπου ψυχῆς φιλάνθρωπα ῥήματα· ὁ μέντοι ἔκφρων ἐκεῖνος καὶ ἀγχίνους τῷ δοκεῖν Ποσειδώνιος, κόλαξ ὢν καὶ τῷ καιρῷ χαριζόμενος, «ἀλλ' εἴπερ ἐπιγνῶμεν αὐτόν», ἔφη, «τί ἔσται πλέον ἡμῖν καὶ ποῖον οὐκ ἔσται καλόν;» ὁ μάρτυς ἀντέφησε· «Καὶ πῶς δὲ οὐ νοῦν ἔχοντες καὶ φρένας ἀνθρώπου παριδεῖν τὸ σκότος καὶ τῷ φωτὶ προσδραμεῖν καὶ ὑπεριδεῖν μὲν εὐημερίας, ἧς ἐν ὀλίγῳ περὶ τὸν πρόσκαιρον ὄντες ἀπολαύετε βασιλέα, Θεῷ δὲ ζῶντι καὶ βασιλεῖ προσελθεῖν καὶ τὴν ἴσην ἐμοὶ στρατείαν αὐτῷ στρατεύσασθαι;» καὶ τὸν πραιπόσιτον, «ἐνδῶμεν αὐτόν», φάναι, «ἄχρι καί τινων ἡμερῶν, ὡς ἂν ἐπὶ σχολῆς σκεψάμενος γνῷ τε τὸ βέλτιον καὶ τὸ συμφέρον αὐτῷ μεταμάθοι.» Ὁ ἀσύνετος ταῦτα ὑπὲρ τοῦ συνιέντος, ὁ ἄφρων ὑπὲρ τοῦ πολλῇ φρονήσει κεκοσμημένου, ὁ βάθει τῆς πλάνης*

*κατειλημμένος ὑπὲρ τοῦ λαμπρῷ φωτὶ τῆς εὐσεβείας πεφωτισμένου.*

*Ἐκεῖνον τοιγαροῦν εἰς καιρὸν ἀφέντες, ἦσαν οὗτοι μεταξὺ πρὸς χριστιανοὺς ἐνασχολούμενοι· καὶ συλλαβόντες ἦγον εὐθύνας ὑπέχειν, ὅτι μὴ προσέχουσι ψεύδει, ἀλλ᾽ εὐσεβείας ἔχονται καὶ πρὸς ἀλήθειαν ἔβλεψαν· οἷς ὁ μάρτυς ἀκολουθῶν καὶ πάντα αὐτοῖς γενέσθαι φιλονικῶν, καὶ νοῦς καὶ στόμα καὶ φωνὴ καὶ πρὸς ἀνδρείαν παράκλησις, ὥσπερ ἐν τοῖς ἐκείνων μέλεσι διακινδυνεύειν μέλλων αὐτός, τί μὲν οὐκ ἔλεγε, τί δὲ οὐκ ἐποίει θάρσους αὐτοὺς καὶ τόλμης ἀναπιμπλῶν; ἐμακάριζε τοὺς ἀγῶνας, ζηλωτοὺς ἔκρινε, τὰ αὐτῶν ἠσπάζετο μέλη, τὰς βασάνους ἐσμικρολόγει, τὰς ἀμοιβὰς ἐμεγάλυνεν· εἶτα ἐκείνων ἐγκατακλείστων ἤδη γενομένων, αὐτὸς εὐκαίρου ὥρας ἐπιτυχὼν ἐπιτίθεται τῇ μητρὶ τῶν ψευδωνύμων θεῶν· καὶ πυρὶ ζήλου τὴν καρδίαν διακαυθείς, πυρὶ τὸν ταύτης ναὸν καταφλέγειν νυκτὸς ἐπελθών, ἔργῳ διδάξαι τοὺς ἀνοήτους βουλόμενος, οἵῳ μὲν αὐτὸς ἐπιθαῤῥεῖ βοηθῷ, οἵοις δὲ αὐτοὶ θεοῖς πεποίθασιν, οἳ τοσοῦτον ἀπέχουσι τοῦ βοηθεῖν ἑτέροις, ὡς μηδὲ ἑαυτοῖς ἀμῦναι δυνατοὶ γενέσθαι τοιαῦτα πάσχουσιν. Ἐπεὶ δὲ ὑπό τινων τὸ πραχθὲν ὡράθη καὶ εἰς πολλοὺς ἤδη δοθὲν ἦν, Κρονίδης ὁ λογιστὴς δέει ληφθεὶς συλλαβόμενος αὐτὸν Πουπλίῳ τῷ ἡγεμόνι παρίστησιν· «Οὗτος ὁ λυμεών», λέγων, «νεόλεκτος ἡμῶν στρατιώτης, ὁ κακῇ μοίρᾳ τῇ ἡμετέρᾳ πόλει ἐπιδεδημηκώς, τόν τε ναὸν τῆς μητρὸς τῶν θεῶν ἐνέπρησε καὶ εἰς τοὺς θεοὺς ἐξύβρισε καὶ οὐδὲ μίαν ἀπέλιπε θράσους ὑπερβολήν· συλλαβὼν οὖν αὐτὸν τῷ σῷ μεγέθει παρέστησα, ὥστε κατὰ τὸ θεῖον τῶν δεσποτῶν θέσπισμα δίκην αὐτὸν ὑποσχεῖν τῆς τόλμης ἀξίαν.»*

*Ὁ γοῦν δικαστὴς μεταστειλάμενος τὸν πραιπόσιτον πολλά τε ἐκάκισε καὶ εἰς ῥαθυμίαν ὠνείδισε καὶ τὴν αἰτίαν αὐτῷ τοῦ καυθῆναι τὸν ναὸν περιῆπτεν· «εἰ μὴ σύ», λέγων, «ὑφῆκας τῆς*

*ἀκριβείας, οὐκ ἂν οὗτος ὁ πάντολμος εὗρε χώραν τοιούτοις ἐπιχειρεῖν.» Ὁ δὲ μέμψεως ἑαυτὸν ἀπολύων· «ἐγώ», ἔφη, «πολλάκις αὐτὸν ὁτὲ μὲν ἀγαθῶν ἐπαγγελίαις ὁτὲ δὲ καὶ ἀπειλαῖς χρώμενος πρὸς τὴν τῶν θεῶν ἐπειγόμην θυσίαν· ὡς δὲ ἑώρων ἐμαυτὸν οὐδὲν ὅλως ἀνύοντα καὶ ὅτι μηδὲν ἔλεγον εἰς ψυχὴν ἀλλὰ τῶν ὤτων ἄκρων τοὺς λόγους κατέχεον, καιρὸν ἔγνων παρασχεῖν διασκέψεως, εἰ καὶ μετάνοιά τις αὐτὸν εἰσέλθοι καὶ μετάθηται πρὸς τό βέλτιον· εἰ δὲ καὶ τοιοῦτον προήχθη τολμῆσαι, δῆλός ἐστι κατατρυφῶν· ἔπου τοῖς νόμοις καὶ τῇ ἐκείνων ἀποτομίᾳ κατὰ τῶν οὕτως ἰταμῶν κέχρησο.» Καὶ ὁ ἡγεμὼν εὐθὺς τοῦ βήματος προκαθίσας, ἀχθῆναι κελεύει τὸν ἅγιον. Ἀχθέντι δὲ δριμύ τι καὶ ἀπηνὲς ἐμβλέψας· «Τοῦτο», ἔφη, «τῆς δοθείσης σοι πρὸς μεταβολὴν ἀδείας ἀπέλαυσας, τὸ ἀντὶ τοῦ θῦσαί σε καὶ λίβανον προσενεγκεῖν τῇ θεᾷ πῦρ ἐκείνῃ προσενεγκεῖν;» Ὁ δὲ μάρτυς οὐδὲν ὑποδειλιάσας, ἀλλ᾽ ὥσπερ τῷ γενομένῳ μᾶλλον ἐπικαυχώμενος καὶ εἰδώς, ὡς οὐ δεῖται τὸ πρᾶγμα γωνίας καὶ ἐπικρύψεως, ἀλλὰ λυχνίας καὶ περιωπῆς μᾶλλον, ὥστε φανερὸν ἅπασι καταστῆναι παῤῥησίας καὶ θάρσους ὑποπλησθείς, «ὅ μοι πέπρακται», ἔφη, «οὐκ ἂν ἀρνηθείην· ξύλοις ἐπήγαγον πῦρ, ὥστε λίθον καυθῆναι. Τοιαύτη δὲ ὑμῶν ἡ θεά, ὡς μηδὲ ἑαυτῇ βοηθῆσαι καὶ τοῦ κακοῦ δυνηθῆναι ῥύσασθαι.» Καὶ ὁ δικαστὴς λόγῳ μὴ δυνηθεὶς ἀμείψασθαι τὴν ἀπόκρισιν, ὀργὴν ἀντιδίδωσιν ἐξ ἀπορίας καὶ τύπτεσθαι κελεύει τὸν ἅγιον, ἐπειπών· «Ἡ τῶν ἐμῶν λόγων ἁπαλότης καὶ τὸ τῆς ὁμιλίας ὑφειμένον καὶ ἥμερον θρασύτερόν σε διέθηκαν πρὸς τὰς ἀποκρίσεις· στρέβλαι δὲ καὶ πολλαὶ βάσανοι πείσουσι βασιλικοῖς προστάγμασιν εἴκειν.» Ὁ δὲ ἅγιος· «Οὔτε σοι πείθομαι», ἔφη, «οὔτε τῶν σῶν κολάσεων ἐπιστρέφομαι, κἂν πολλῷ τούτων χαλεπωτέρας μοι ἐπαγάγῃς. Αἱ δὲ σαὶ ἀπειλαὶ ἀγενεῖς ἑτέρους καὶ παῖδας καταπτοείτωσαν· ἐμοὶ γὰρ ἡ προσδοκία τῶν μενόντων με ἀγαθῶν θάρσος τε*

*ἐμβάλλει καὶ τῶν σῶν βασάνων πείθει καταφρονεῖν· μᾶλλον δὲ οὐδὲ βάσανοί μοι δοκοῦσιν αὗται· ὁ γὰρ κύριός μου καὶ βασιλεὺς παρίσταταί μοι κουφίζων μοι τὰς ὀδύνας· ὃν σὺ οὐχ ὁρᾷς, ἐπεὶ μὴ βλέπεις τῆς ψυχῆς ὀφθαλμοῖς.»*

*Τοῦτον ἀκούσαντα θυμὸς λαμβάνει τὸν δικαστὴν καὶ τῷ δεσμωτηρίῳ πάλιν Θεόδωρον ἐγκλεισθῆναι κελεύει, κλεισί τε τὴν θύραν ἀσφαλισθῆναι καὶ σφραγῖσι ταύτην ἀκριβῶς ἐπισημανθῆναι οὕτως τε τὸν ἅγιον ἐαθῆναι προνοίας ἔρημον πάσης· ἀλλὰ πιστὸς ἦν πάντως ὁ εἰρηκὼς μὴ ἰδεῖν δίκαιον ἐγκαταλελειμμένον· ὁ γὰρ Χριστός, δι᾽ ὃν ἐκεῖνος τὰ χαλεπὰ ταῦτα φέρειν ἠνέσχετο, οὐ μόνον αὐτὸν χάριτι τρέφων ἦν, ἀλλὰ καὶ προσελθὼν ἐπεσκέψατο καὶ λόγων ἠξίωσε καὶ θάρσους ἐνέπλησε καὶ χρηστοτάτης ἐπαγγελίας· καὶ πῶς γὰρ οὐκ ἔμελλε τοῦτο ποιεῖν καὶ τὸν ὑπὲρ αὐτοῦ φυλακῇ δεδομένον ἐπισκοπῆς ἀξιοῦν, ὅπου γε καὶ ἡμῖν ἐνετείλατο πρὸς τοὺς ἁπλῶς τοῦτο πάσχοντας καὶ φυλακὴν οἰκῆσαι κατακριθέντας τὰ ὅμοια δρᾶν; Ἦλθεν οὖν καί· «Θεόδωρε, θάρσει», λέγει· «ἐγὼ γάρ εἰμι μετὰ σοῦ· λήψῃ δὲ οὐδὲν βρῶμα ἢ πόμα παρὰ τῶν ἀθετούντων με τούτων, ἀλλὰ τρυφῆς ἀφθάρτου σοι καὶ ζωῆς ἐγὼ κοινωνήσω.» Ταῦτα πολλὴν ἐνέσταξε τῷ ἁγίῳ τὴν ἡδονὴν καὶ ψάλλειν ἤρξατο καὶ τῷ Θεῷ μάλα θεοφιλῶς ἐναγάλλεσθαι· ψάλλοντι δὲ πολὺς ἠκούετο συνᾳδων αὐτῷ ὄχλος, ὡς καὶ τοὺς δεσμοφύλακας ἀναστάντας πρὸς τὴν θύραν δραμεῖν ὀψομένους τίνες οὗτοί εἰσιν. Ἰδόντες δὲ αὐτήν τε κεκλεισμένην καὶ οὐδὲν ἐπικακουργηθὲν τῇ σφραγῖδι, οὐδὲ οὕτως ἠμέλουν, ἀλλὰ καὶ αὖθις παρεθεῶντο διὰ τῆς θυρίδος· καὶ ὁρῶσι πολύ τι πλῆθος λευχειμονούντων καὶ συμψαλλόντων τῷ μάρτυρι· ὃ μὴ δυνηθέντες σιωπῇ κατασχεῖν, ἀπέρχονται καὶ τῷ δικαστῇ ἀπαγγέλλουσι· καὶ ὃς ἀκούσας δρομαῖος τῇ θύρᾳ ἐπιφοιτᾷ. Ἰδὼν δὲ καὶ αὐτὸς τὴν σφραγῖδα μὲν καὶ τὰς κλεῖς ἀπαθῶς ἐχούσας, φωνὴν δὲ πλήθους ᾀδόντων*

*ἀκουομένην, κύκλῳ περιίστησι τῆς φρουρᾶς στρατιώτας ἐνόπλους, χριστιανοὺς εἶναι τοὺς ἔνδον ὑπολαβών. Ἐπεὶ δὲ εἰσέλθοι καὶ μηδένα εὕροι ὅτι μὴ μόνον τὸν Χριστοῦ δοῦλον Θεόδωρον, καὶ αὐτὸν τῷ ξύλῳ ἀσφαλῶς ἐμπεπεδημένον, ἔκπληξις αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ εἰσῄει. Κλείσαντες οὖν τὰς θύρας τῆς φυλακῆς, ἐπανῄεσαν, οὐδὲν ἕτερον αὐτῷ δίδοσθαι τοῦ δικαστοῦ ἐπιτρέψαντος, ὅτι μὴ οὐγκίαν ἄρτου τῆς ἡμέρας καὶ βραχύτατον ὕδατος· ὢ τῆς ἀφροσύνης, εἰ ψυχὴν τοιαύτην ἑλεῖν ᾠήθησαν ἐνδείᾳ τῶν ἀναγκαίων, ᾧ μηδὲ τούτων ἦν χρεία τροφῇ κρείττονι τρεφομένῳ ἢ κατὰ ἄνθρωπον· ὅθεν οὐδὲ ἐδέξατό τι παρὰ τῶν ἀναιρεῖν οὐ σῴζειν μεμαθηκότων.*

*Ἕωθεν δὲ ὁ δικαστὴς κελεύσας ἀχθῆναι τὸν ἅγιον, λόγοις αὐτὸν ἡμέροις καὶ ἀγαθῶν ἐπαγγελίαις ἑλεῖν ἐπειρᾶτο, «πείσθητί μοι πρὸ τῶν βασάνων, Θεόδωρε», λέγων· «καὶ εὐθὺς γράφω τοῖς βασιλεῦσιν, ἀρχιερέα τε τῶν θεῶν χειροτονῆσαί σε καὶ τιμῶν ἀξιῶσαι μεγάλων καὶ σύνθρονον ἡμῖν καταστῆσαι.» Τούτων ἀκούσαντι τῷ ἁγίῳ πρῶτον μὲν περὶ τῆς ἀρχιερωσύνης καὶ γελάσαι φαιδρὸν ἐπῆλθε καὶ τῆς δωρεᾶς μυκτηρίσαι τοὺς ἀνοήτους, ἔπειτα δὲ καὶ πρὸς τὸν δικαστὴν μετὰ πολλῆς φάναι τῆς παῤῥησίας, «εἰ καὶ πυρὶ τὰς σάρκας μου τήξῃς, εἰ βασάνων πλήθει καταναλώσῃς, εἰ καὶ τὸν διὰ ξίφους θάνατον εὐθὺς ἐπαγάγῃς, ἕως ἂν ἐν ἐμοὶ πνεῦμα ζωῆς ᾖ, οὐκ ἂν ἔξαρνος ὀφθείην τοῦ ἐμοῦ Θεοῦ τε καὶ βασιλέως.» Ἐπεὶ ταῦτα ἀκοῦσαι τὸν τύραννον, πολλὰ τῷ πραιποσίτῳ διαλεχθέντα κελεῦσαι τοῖς δημίοις ἐπὶ ξύλου τὸν ἅγιον αἰωρήσαντας ὄνυξι τὰς πλευρὰς αὐτοῦ καταξέειν· οὗπερ εἰς ἔργον ἐκβάντος, θέαμα ἦν χαλεπὸν ἡμέροις ὀφθαλμοῖς τὸ γινόμενον· εἰς τοῦτο γὰρ ὠμότητος οἱ ξέοντες παρηνέχθησαν, ὡς μηδένα οἶκτον αὐτοὺς τῆς κοινῆς λαβεῖν φύσεως, ἀλλ᾽ οἷον ἀψύχῳ τινὶ προσφέρεσθαι καὶ δι᾽ ὅλου γυμνὰ σαρκῶν τὰ ὀστᾶ ἐκείνου καταλιπεῖν. Ὁ μέντοι μάρτυς*

οὐδὲν ἔλαττον ἢ οἱ ξέοντες τοῦ οἰκείου σώματος ἀμελῶν καὶ νικῆσαι φιλονικῶν τῇ αὐτοῦ ἀνδρείᾳ τὴν ἐκείνων θηριωδίαν, πρὸς μὲν τὸν τύραννον οὐδὲ βραχύ τι ἐφθέγγετο, ὑπέψαλλε δὲ ἡσύχως· «Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.» Ἐκπλαγεὶς οὖν ὁ τύραννος τῆς καρτερίας τὸν ἅγιον, «εἶτα οὐκ αἰσχύνῃ», ἔφη, «πάντων ἀνθρώπων ἀθλιώτατε σύ, ἐπ᾽ ἀνθρώπῳ τὰς ἐλπίδας ἔχων, καὶ τούτῳ βιαίῳ τέλει καταλύσαντι τὴν ζωήν, ἀλλ᾽ οὕτως σεαυτὸν ἀλογίστως παραδίδως τοῖς αἰκισμοῖς;» Ὁ δὲ λίαν πεποιθότως καὶ ἀνδρικῶς καὶ ὥσπερ ἐπ᾽ αὐτῷ μᾶλλον ἢ ὁ δικάζων ἐπὶ τῷ βήματι σεμνυνόμενος· «Αὕτη μοι αἰσχύνη», ἔφη, «καὶ πᾶσι τοῖς ἐπικαλουμένοις τὸ τοῦ Χριστοῦ ὄνομα.»

Τοῦ δήμου τοίνυν ἐπιβοῶντος ὅσον οὔπω τὸν ἅγιον παραπόλλυσθαι, ὁ ἡγεμὼν ἐπηρώτα διὰ τοῦ κήρυκος· «Τί βούλει; θῦσαι μᾶλλον ἢ καὶ ἔτι σοι τὰς κολάσεις παραταθῆναι;» Πρὸς ταῦτα ὁ μάρτυς δεῖξαι βουλόμενος, ὡς οὐ μόνον οὐχ ἥττηται τῶν δεινῶν, ἀλλὰ καὶ φαιδρύνεται πάσχων καὶ τρυφὴν ἡγεῖται τὰ ἐπαγόμενα, ζήλου πληρωθεὶς τὴν καρδίαν, ὅλῃ γλώττῃ καὶ παῤῥησίας ἔμπλεῳ ψυχῇ· «Ἀσεβέστατε», ἔφη, «καὶ ἀνομίας πάσης πεπληρωμένε υἱὲ διαβόλου, ἀληθῶς ἄξιε τῆς τοῦ ἀντικειμένου δαίμονος ἐνεργείας, οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὃς τοσαύτην σοι τὴν ἀρχὴν ἐχαρίσατο; δι᾽ αὐτοῦ γὰρ βασιλεῖς βασιλεύουσι καὶ τύραννοι κρατοῦσι γῆς· ἀναγκάζεις δέ με ζῶντα Θεὸν ἐγκαταλιπεῖν καὶ λίθοις προσκυνεῖν ἀψύχοις;» Ὁ οὖν δικαστὴς πολλῇ διασκέψει πρότερον ἐκδοὺς ἑαυτὸν ἔπειτα· «Τί θέλεις;» φησίν, «εἶναι μεθ᾽ ἡμῶν ἢ μετὰ τοῦ Χριστοῦ σου;» Τούτῳ ἐκεῖνος οὐδὲ βραχὺν ἀναμείνας χρόνον οὐδὲ τὸ πρᾶγμα σκέψεως εἶναι νομίσας ἄξιον, ἀλλ᾽ οἷα δὴ καὶ μεμφόμενος τὸν ἡγεμόνα τῆς ἐρωτήσεως θαῤῥαλέᾳ καὶ ψυχῇ καὶ φωνῇ «μετὰ τοῦ Χριστοῦ μου», ἔφη, «καὶ ἤμην καί εἰμι καὶ

*ἔσομαι.» Εἰδὼς οὖν ὁ δικάζων ὅτι μηδὲν ἀνύει, ἀλλ᾽ ἀπαγορεύει μᾶλλον αὐτὸς τὰς κολάσεις ἐπάγων ἢ ὁ ἅγιος πρὸς τὴν τῶν ἐπαγομένων ὑπομονήν, τὸν διὰ πυρὸς αὐτοῦ καταψηφίζεται θάνατον, οὕτως εἰπών· «Θεόδωρον ἀπειθήσαντα μὲν τῷ κράτει τῶν καλλινίκων βασιλέων καὶ τῶν θεῶν, πιστεύσαντα δὲ τῷ ἐσταυρωμένῳ, πυρὶ παραδοθῆναι κελεύω.» Ὡς οὖν ἀπεφήνατο μόνον, θᾶττον ἢ ἐλέχθη τὸ ἔργον ἠνύετο· τῶν γὰρ δημίων ξύλα παραχρῆμα συνενεγκόντων, συλλαβόντες τὸν μακάριον οἱ πρὸς ταῦτα κελευσθέντες ὑπηρετεῖν, ἐπὶ τὸν τεταγμένον ἤγαγον τόπον.*

*Ἐπεὶ δὲ ἤδη καὶ τὸ πῦρ ἀνήφθη, εὐθὺς περιτιθέασιν αὐτῷ καὶ ὄργανα τὰ πρὸς τὴν πυρὰν ἐπιτήδεια. Μελλόντων δὲ καὶ προσηλοῦν, οὐκ ἀνίει· «Ἄφετέ με», λέγων· «ὁ γὰρ δοὺς οὐδὲν ἀγεννὲς πρὸς τὴν τοῦ πυρὸς ὑπομεῖναι θέαν, αὐτὸς δώσει πάντως καὶ τῆς τῶν ἥλων ἐκτὸς ἀσφαλείας τὴν τοῦ πυρὸς ὑποστῆναι καῦσιν.» Ταύτῃ τοι καὶ οὐ καθήλωσαν μέν, προσέδησαν δέ· καὶ ὃς τὴν σφραγῖδα τῷ μετώπῳ ἐπιβαλὼν ἡδύ τε ἰδὼν εἰς τὸν οὐρανόν· «Κύριε ὁ Θεός», εἶπεν, «ὁ παντοκράτωρ, ὁ τοῦ υἱοῦ τοῦ ἀγαπητοῦ σου πατήρ, δι οὗ τὴν ἐπίγνωσίν τε καὶ ἐπαγωγὴν τὴν εἰς σὲ ἐσχήκαμεν, Θεὲ τῶν δυνάμεων, Θεὲ πάσης κτίσεως καὶ παντὸς ἔθνους, οἳ ζῶσιν ἐνώπιόν σου, εὐλογῶ σε ὅτι με κατηξίωσας μερίδα σχεῖν μετὰ τῶν ἁγίων σου μαρτύρων ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ σου εἰς ἀνάστασιν ζωῆς αἰωνίου ψυχῆς τε καὶ σώματος· διὸ προσδεχθείην ἐνώπιόν σου σήμερον ἐν θυσίᾳ πίονι, καθὼς προητοίμασας καὶ ἐπλήρωσας ὁ ἀψευδὴς καὶ ἀληθινὸς Θεὸς ἡμῶν· δὸς δέ, Κύριε, καὶ τοὺς συγκατασχεθέντας μοι τήρωνας τῶν ἴσων ἐμοὶ κοινωνῆσαι βραβείων.» Οὕτως εὐξάμενος εἰς τὸ πλῆθος ἀπεῖδε· καὶ εὐθὺς Κλεόνικον τὸν συλληφθέντα αὐτῷ τήρωνα ἐπίλυπόν τε καὶ δεδακρυμένον ἰδών, μέγα ἐμβοήσας· «Κλεόνικε, περιμένω σέ»,*

*φησιν, «ἀκολούθει μοι, ἵν' ὥσπερ ἐπὶ ταύτης τῆς προσκαίρου ζωῆς οὐ διέστημεν, οὕτως δὴ καὶ τὴν αἰώνιον ζήσομεν ἀλλήλοις συνόντες.» Οὕτως εἰπὼν τῇ εὐχῇ πάλιν δίδωσι· «Κύριε», λέγων, «καὶ Θεὲ παντοκράτορ, ὁ τὸν ἀγῶνα τόνδε διὰ τοῦ μονογενοῦς σου υἱοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ, τῇ δυνάμει τῇ σῇ νικῆσαί με καταξιώσας, πρόσδεξαί μου τὴν ψυχὴν ἐν εἰρήνῃ, ὅτι σοι πρέπει δόξα σὺν τῷ υἱῷ καὶ τῷ παναγίῳ σου πνεύματι.» Διατελέσας δὲ τὴν εὐχὴν ἐφάλλεται τῇ πυρᾷ καὶ ὥσπερ οὐδενὸς αὐτὸν πιέζοντος λυπηροῦ, οὐ μόνον ἄνετός τε καὶ ἀτάραχος ἦν, ἀλλὰ καὶ ὕμνον ἐῴκει τινὰ ὑπᾴδειν τοῖς χείλεσι· καὶ οὕτως ἡσυχῇ τὸ πνεῦμα παρατίθησι τῷ Θεῷ.*

*Εὐσεβία δέ τις, ἡ φερωνύμως ζῶσα, αἰτησαμένη τὸ σῶμα τοῦ μάρτυρος καὶ λαβοῦσα, οἴνῳ τε καὶ μύροις ὑπαλείψασα καὶ κοσμήσασα, θήκῃ φιλοτίμῳ αὐτὸ κατατίθησι καὶ εἰς τὸν οἶκον αὐτῆς, ὃς ἐν χωρίῳ Εὐχαΐτα λεγομένῳ ἵδρυτο ὑπὸ τὴν τῶν Ἀμασέων μητρόπολιν, ὡς χρῆμά τι πολυτελὲς θησαυρίζει, μνήμην ἐτήσιον τῷ μάρτυρι ἐκτελοῦσα καὶ τὸ ἱερὸν λόγιον ὡς δυνατὸν αὐτῇ ἐκπληροῦν σπουδάζουσα· εἰς γὰρ μνημόσυνον αἰώνιόν, φησιν, ἔσται δίκαιος. Εἶχε μὲν οὖν οὕτως ἡ φιλόχριστος Εὐσεβία τὸ σῶμα τοῦ μάρτυρος θησαυρὸν ἄσυλον, πλοῦτον ἀδάπανον, αὐτῇ τε καὶ τοῖς μετ' αὐτῆς ἄγρυπνον φύλακα· πλὴν ἀλλὰ τὴν ἐπισκιάζουσαν τῷ σώματι δύναμιν οὐκ εἶχεν αὐτὴ μόνη, ἀλλὰ καὶ πᾶς ὅστις βοηθὸν ἐκεῖνον ἐπιβοώμενος ἦν· ἴσον γὰρ ἑαυτὸν οἶδε νέμειν ὁ ἅγιος τοῖς πλησίον ὁμοῦ καὶ τοῖς πόῤῥω καὶ ὁμοίας ἁπανταχοῦ τὰς τῶν θαυμάτων αὐγὰς ἐπιλάμπειν.*

*Ἀμέλει καὶ τὴν ἐν καλῷ τῆς Εὐρώπης κειμένην πόλιν πασῶν τε προκαθημένην καὶ βασιλεύουσαν, τὴν Κωνσταντίνου φημί, ἐμπεσεῖν ταῖς πάγαις τοῦ πονηροῦ κινδυνεύουσαν, βοηθὸς αὐτόκλητος ἐπιφθάσας ἀπαθῆ κακῶν διετήρησεν.*

*Ἐπεὶ μὲν γὰρ τῷ φθονερῷ δαίμονι τοῦτο ἔργον ἦν βασκαίνοντι τῆς σωτηρίας χριστιανοῖς, ὁ κατ᾽ αὐτῶν διωγμὸς καὶ οἱ πρὸς τοῦτο δὲ σπουδαίως ὑπηρετοῦντες αὐτῷ βασιλεῖς· πολλὴν γὰρ εἶχεν εὐκολίαν ἐφ᾽ οἷς ἐπεχείρει, τῇ δυνάμει τῆς ἀρχῆς καὶ τῷ κατ᾽ αὐτῶν φθόνῳ συνεργοῖς χρώμενος· ἀλλὰ καὶ οὕτω τὰ χριστιανῶν ἤνθει καὶ παρ᾽ ἐλπίδα πᾶσαν ἐκράτει καὶ τὰς αὐτοῦ κατήσχυνε προσβολὰς ἥ τε θεία πίστις ὥσπερ γῆ ἀγαθὴ τοῖς αἵμασι τῶν μαρτύρων ὑπαρδομένη πολύχουν ἐκαρποφόρει πανταχοῦ τὴν εὐσέβειαν· ἔπειτα δὲ καὶ βασιλεὺς ἀνίσταται τὰ χριστιανῶν πρεσβεύων, ὁ περιώνυμος δηλαδὴ Κωνσταντῖνος· ὃ καὶ καιριωτάτη γίνεται πληγὴ τῷ βασκάνῳ καὶ παῤῥησιάζεται μὲν ἡ ἀλήθεια, ἡ δὲ τῶν ψευδωνύμων θεῶν θρησκεία αἰσχύνῃ καλυψαμένη πόῤῥω που τῶν ῥωμαϊκῶν ὁρίων ἀπεπλανᾶτο· ἐπεὶ ταῦτα οὕτως ἀνθοῦντα ὁ πονηρὸς δαίμων ἑώρα, ἤσχαλλεν, ἠνιᾶτο, ἐδυσφόρει, τοῖς ὅλοις διαπορῶν ἦν, εἰς ἀνάῤῥουν αὐτῷ τὰ πράγματα χωροῦντα ὁρῶν· ἐπεζήτει τὸν ἐν δυνάμει πάλιν ὑπηρετήσοντα τοῖς θελήμασιν αὐτοῦ τοῖς πονηροτάτοις· καὶ ζητῶν, ὢ τῶν ἐμῶν κακῶν καὶ τῶν ἀδήλων τοῦ Θεοῦ κριμάτων, εὑρίσκει.*

*Κωνσταντίνου γάρ, οὗπερ ἄρτι μνήμην ἐθέμεθα, καὶ τῶν ἄλλων τῶν ἐπ᾽ εὐσεβείᾳ γνωριζομένων τὸν βίον μεταθεμένων, οὐ πολὺ τὸ ἐν μέσῳ καὶ βασιλεὺς ἀναδείκνυται, εἴ γε δεῖ βασιλέα καλεῖν ἐκεῖνον τὸν δραπέτην οἴμοι τῆς εὐσεβείας γενόμενον καὶ κακίας ὑπηρέτην πάσης καὶ ἀσεβείας παρ᾽ ὅντιναοῦν ἄλλον ἀναφανέντα καὶ τοῦ ἰδίου δεσπότου καὶ Θεοῦ καταφρυαξάμενον, τὸν θεομισῆ λέγω καὶ πάντολμον Ἰουλιανόν· ὃς τὴν ἀληθῆ χριστιανῶν πίστιν ἐξαρνησάμενος, ὥσπερ οὐδὲν κοινὸν πρὸς τοιαύτην ψυχὴν καὶ γνώμην ἔχουσαν, τῇ ματαίᾳ τῶν εἰδώλων προστίθεται πλάνῃ· ἣν εὖ κειμένην ἐκεῖνος κακῶς ἀνιστᾷ καὶ καλῶς παυθεῖσαν ἀνανεοῖ πάλιν μετὰ πολλοῦ τοῦ*

πόνου καὶ τῆς ἐπιμελείας, ὥσπερ ἀναπληρῶν αὐτῇ τὸ μεταξὺ τῶν χρόνων ὑστέρημα καὶ μαρᾶναι φιλονικῶν τὰ θεῖα τῆς εὐσεβείας νεόφυτα καὶ τὴν ἀρτιθαλῆ πίστιν τό γε εἰς αὐτὸν ἧκον ῥίζαις αὐταῖς ἐξελεῖν βουλόμενος· ταύτῃ τοι καὶ διωγμὸν ἐγείρει τῶν πώποτε μνημονευομένων ἀγριώτερον καὶ κακοτεχνότερον· ἐπεὶ δὲ πολλοὺς πολλαῖς τιμωρίαις ὑποβαλὼν ἥκιστα πειθομένους ἑώρα καὶ τοῖς αὐτοῦ θελήμασιν εἴκοντας, ἐπὶ τὸν δόλον καὶ τὰς τέχνας ἐχώρει καὶ τῆς λεοντῆς, ὃ λέγεται, μὴ ἐξικνουμένης, καὶ τὴν ἀλωπεκῆν προσετίθει· πολλὰ μὲν οὖν καὶ ἄλλα ἐπιτηδεύει, γονιμώτατός τε καὶ φιλοτιμότατος ὢν τοῖς τεχνάσμασιν, ἔπειτα δὲ καὶ τοιοῦτόν τι ἐπινοεῖ, ὃ καὶ μόνον πραχθὲν ἱκανὸν ἦν αὐτοῦ τὴν πανουργίαν ἀποδεῖξαι ἀμίμητον καὶ οἷόν τι γεῦμα γενέσθαι ψυχῆς οὐδὲν ἐλεύθερον ἐχούσης οὐδὲ γενναῖον· εἰδὼς γὰρ ὁ βδελυρὸς ἐκεῖνος, ἃς ἀφιεροῦσι θεῷ οἱ χριστιανοὶ τῶν νηστειῶν ἡμέρας ὅπως οἷόν τε καθαρὰς αὐτὰς διαφυλάττειν σπουδάζουσιν, οὐδενὸς τῶν περιττῶν ὅτι μὴ μόνον τῶν ἀναγκαίων ἀπογευόμενοι καὶ μάλιστα κατὰ τὴν πρώτην τῶν νηστειῶν τούτων ἑβδομάδα, καθ᾿ ἣν οἱ πλείους τῶν φιλαρέτων καὶ ἄσιτοι τὸ παράπαν διατελοῦσιν, ἐπεὶ καὶ πᾶς ἁπτόμενος πράγματος θερμότερον αὐτῷ τὴν ἀρχὴν προσβάλλει, τοῦτο ἐκεῖνος εἰδὼς τὸν τῆς πόλεως ἔπαρχον μετακαλεσάμενος, τῆς αὐτῆς αὐτῷ κοινωνοῦντα θρησκείας· «Ἐπεί», φησιν, «τά τε ἄλλα κακοδαιμονοῦντας Βυζαντίους καὶ εἰς τοὺς θεοὺς ἐξυβρίζοντας οὐδένα τρόπον αὐτοὺς μεταπείσειν οἷοί τε γεγόναμεν, οὔτε γὰρ ἀπειλαῖς ἐφοβήσαμεν, οὐ βασάνοις ἐνδοῦναι παρεσκευάσαμεν, οὐ τιμαῖς τε καὶ δωρεαῖς ἀποστῆσαι τῶν δεδογμένων ἰσχύσαμεν, οὐκ ἄλλο τι πρὸς θεραπείαν τῆς νόσου ταύτης ἐφευρεῖν ἠδυνήθημεν, εἰς νοῦν ἐπῆλθέ μοι νῦν, ὃ καὶ μὴ βουλομένους πείσει τῶν θυσιῶν ἀπογεύσασθαι· ἐπεὶ γὰρ αἱ ἀποτεταγμέναι τούτοις εἰς νηστείαν ἡμέραι πάρεισι,

*νῦν γενέσθω σοι σφόδρα ἐπιμελὲς μηδ᾽ ὁτιοῦν ἐφεῖναι μηδενὶ βρωτὸν ἢ ποτὸν ὤνιον εἰς τὴν ἀγορὰν προθεῖναι, ἀλλ᾽ ἐκεῖνα μὲν πάντα περιελεῖν, ἐκ δὲ τῶν εἰς θυσίαν ἡμῖν προσφερομένων ἐκθεῖναι καὶ εὐώνως ταῦτα λαμβάνειν τοὺς βουλομένους παρασκευάσαι· ὅπερ ὡς ἔφημεν γεγονός, ἀνάγκη πάντας ἢ τῶν θυσιῶν αὐτοὺς ἀπογεύσασθαι ἢ ἐπιγνόντας καὶ μὴ χρήσασθαι βουλομένους θήραμα τοῦ λιμοῦ γενέσθαι, μηδαμόθεν ἄλλοθεν ἐπισιτίσασθαι δυναμένους. Ταῦτα τὸν τοῦ παρανόμου βασιλέως παρανομώτερον ὑπηρέτην ἀκηκοότα φάναι λέγεται· «θεόθεν σοι, βασιλεῦ, καὶ οὐκ ἄλλοθεν ἀτεχνῶς τὸ ἐνθύμημα.»*

*Οὕτως οὖν κοινολογησάμενοι καὶ τὰ τῆς βουλῆς ὥσπερ εἶχον δεινότατα σκαιωρήσαντες, εὐέλπιδες ἦσαν αἱρήσειν χριστιανοὺς οἰόμενοι· ἀλλ᾽ οὐκ ἦν τοῦτο τῆς Χριστοῦ ἄκρας χρηστότητος οὐδὲ κηδεμονίας ἐκείνου τῆς πρὸς ἡμᾶς, τὸ παριδεῖν οὕτω τὴν ἀνομίαν ὑψῶσαι κεφαλὴν καθ᾽ ἡμῶν καὶ τῆς εὐσεβείας κατακαυχήσασθαι· διὰ ταῦτα κινδύνῳ περιπίπτουσιν ἡμῖν ἀφανεῖ τὸν λαμπρὸν ἐν μάρτυσιν ἐπιπέμπει, τὴν ἄμαχον προστασίαν, τὴν ὀξεῖαν βοήθειαν, τὸ Θεοῦ δῶρον, τὸν μέγαν Θεόδωρον· ὃς ἐπιστὰς τῷ τηνικαῦτα τῆς ἐκκλησίας ἀρχιερεῖ καὶ ἐπισκόπῳ, οὐκ ὄναρ ἀλλ᾽ ὕπαρ ἐπιφαινόμενος, «Ἰουλιανὸς ὁ μιαρός», ἔφη, «διετάξατο βασιλεὺς κατὰ τὴν πρώτην ἑβδομάδα τῶν νηστειῶν περιαιρεθῆναι μὲν τὴν κατὰ τὴν ἀγορὰν προβεβλημένην καθαρὰν βρῶσιν, προτεθῆναι δὲ μεμιασμένην αἵματι καὶ λύθρῳ τῶν ἐναγῶν θυσιῶν· ἀλλὰ σὺ τοῦτο εἰς νοῦν βαλόμενος διαμάρτυραι τῷ λαῷ μηδένα τῶν τῇ ἀγορᾷ προτεθέντων βρωμάτων ἢ πομάτων μηδ᾽ ὁτιοῦν ὠνήσασθαι.» Τοῦ δέ, «καὶ πῶς ἔσται δυνατόν», ἐρομένου, «τοῖς ἐνδεέσι καὶ μηδεμιᾶς ἡμέρας προαποτεθειμένην ἔχουσι τὴν τροφήν;» ὁ μάρτυς ἅμα μὲν τὴν ἀπορίαν ἰώμενος, ἅμα δὲ καὶ γνωρίσαι βουλόμενος, ὅστις εἴη, «κόλλυβά», φησιν, «αὐτοῖς παρασχόμενος, ταύτῃ τὴν ἔνδειαν*

*παραμυθήσασθαι σπούδασον.» Εἶτα τοῦ πατριάρχου πάλιν πυθομένου τί δ᾽ ἂν εἴη τὰ κόλλυβα ταῦτα, «οὐδὲ γὰρ ἔγνωσταί μοί», φησιν, «τὸ ὄνομα», ὁ ἅγιος· «Σῖτον ἑψήσας», ἔφη, «διάνειμαι τοῦτον εἰς βρῶσιν·» –οὕτω γὰρ ἐγχωρίως τὸν ἑφθὸν σῖτον ἐν Εὐχαΐτοις καλεῖν σύνηθες– «ἐμὲ δὲ εἶναι Θεόδωρον ἴσθι τὸν κατὰ τὴν Ἀμάσειαν τὴν πρὸς Πόντον ὑπὲρ Χριστοῦ μαρτυρήσαντα· ὑφ᾽ οὗ καὶ ἀπέσταλμαι νῦν σωτὴρ ὑμέτερος, τῆς τοῦ πονηροῦ ἐνέδρας καὶ μηχανῆς ῥυσόμενος.»*

*Ταῦτα τὸν ἀρχιερέα μαθόντα ἡδονῆς ἅμα καὶ θαύματος ἔμπλεω γενέσθαι καὶ τοὺς τὴν βασιλίδα ταύτην πόλιν οἰκοῦντας χριστιανοὺς μετακαλεσάμενον, τὰ τοῦ ἁγίου αὐτοῖς, ὡς ἤκουσεν, ἐπισκῆψαι· κἀκείνους ἀκριβῶς φυλάξαι τὰ κελευσθέντα. Πέρας οὖν ἤδη τῆς ἑβδομάδος ἐχούσης, ἐπεὶ ὁ τύραννος ἔγνω εἰς οὐδὲν τὰ τῆς ἐπινοίας χωρήσαντα, ἐξαιρεθῆναι μὲν τῆς ἀγορᾶς τὰ μεμιασμένα βρώματα, προτεθῆναι δὲ τὰ συνήθη πάλιν προστάττει, πολὺν ἐκεῖνος γέλωτα τῆς ἀποτυχίας ὀφλήσας, ὥσπερ ἄρα καὶ ἦν ἄξιον. Ἐκ τούτου τί συνέβαινεν; ἐκεῖνον μὲν ἀθυμίας πάσης πληρωθῆναι καὶ σκυθρωπότητος, τοὺς δὲ τῆς αὐτοῦ ἐνέδρας αἰσθομένους χριστιανοὺς καὶ κρείττους ὀφθέντας αὐτοὺς τῇ βοηθείᾳ τοῦ μάρτυρος, ὡς κηδεμόνι τὴν σωτηρίαν λογιζομένους πάνδημον αὐτῷ συστήσασθαι τὴν πανήγυριν· καὶ οὕτως ἐπικρατῆσαι ἄχρι καὶ τήμερον δι᾽ ἔτους ἡμᾶς τὴν καλὴν ταύτην ἑορτὴν ἐκτελεῖν οἷα σωτῆρι τῷ μάρτυρι κατὰ την ἕκτην ἡμέραν τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν, εὐχαριστήρια ἑορτάζοντας εἰς δόξαν τοῦ τοῖς αὐτοῦ μέλεσιν ἐνδοξασθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.»*

Τὰ μαρτύρια τῶν Ἁγίων τῆς Ἐκκλησίας ἀντιστοιχοῦσι πρὸς

τὰ μαρτύρια τῆς Παλαιᾶς Διαθήκης, καθ᾽ ἃ οἱ δοκιμαζόμενοι παραμένουσι πιστοὶ μέχρι θανάτου εἰς τὸν Θεὸν τῶν πατέρων αὐτῶν. Ὁμοίως οἱ Μάρτυρες τῆς Ἐκκλησίας παραμένουσι πιστοὶ μέχρι θανάτου εἰς τὸν Χριστόν. Ἡ Ἐκκλησία ᾠκοδομήθη διὰ τοῦ Πάθους τοῦ δομήτορος Χριστοῦ καὶ ἀνεδύθη ἐκ τοῦ αἵματος νέφους μαρτύρων, δεχομένων ἐν ἑαυτοῖς τὸ Πάθος Αὐτοῦ. Ὡς ἐν τῇ Παλαιᾷ Διαθήκῃ, οὕτω καὶ ἐν τῇ Ἐκκλησίᾳ, οἱ Μάρτυρες εἶναι οἰκεῖοι τῷ Θεῷ, ἀπευθύνονται πρὸς Αὐτόν, παρόντα, συγχρῶνται καὶ συνομιλοῦσι τοῖς ἀγγέλοις Αὐτοῦ, ζῶσιν ἐν τῷ ἐπέκεινα Αὐτοῦ, ἐν πνευματικῇ θεωρίᾳ καὶ ὑπερβατικῷ κόσμῳ θαύματος. Ἡ Ἐκκλησία ἐν τῇ μυστηριακῇ ζωῇ αὐτῆς διακατέχει τὸ Πάθος καὶ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ, ἀκατανόητα τῷ νοησιαρχουμένῳ κόσμῳ. Ἄνευ τοῦ Πάθους καὶ τῆς Ἀναστάσεως καὶ τῆς συμμετοχῆς διὰ τῆς Ἐκκλησίας εἰς τὰς ἀκτίστους ἐνεργείας τοῦ Θεοῦ, ὁ ἄνθρωπος ὑποβιβάζεται εἰς βιολογικὸν ὄν, ὑποκείμενον εἰς ὁριστικὸν θάνατον καὶ ἀφανισμόν.

Ἡ ἀναίρεσις τοῦ δράκοντος τὴν κατανίκησιν τοῦ Ἑωσφόρου ὑπὸ τοῦ Ἀρχαγγέλου Μιχαὴλ σημαίνει. Ἡ δρακοντοκτονία ἀποτελεῖ προοίμιον τοῦ μαρτυρίου τοῦ Ἁγίου. Σημαίνει τὴν ἔξοδον τοῦ Μάρτυρος εἰς τὴν ἔρημον. Ὡς ὁ Χριστὸς κατέβαλε τὸν διάβολον ἐν τῇ ἐρήμῳ πρὸ τοῦ Πάθους Αὐτοῦ, οὕτω καὶ ὁ Μάρτυς καταβάλλει τὸν δράκοντα πρὸ τοῦ μαρτυρίου αὐτοῦ.

Ἡ παρέμβασις τοῦ Μάρτυρος εἰς τὴν μάχην τὴν παρέμβασιν τοῦ Ἀρχαγγέλου Μιχαὴλ εἰς τὴν στάσιν τοῦ Ἑωσφόρου καὶ τῶν ἀγγέλων αὐτοῦ σημαίνει.

Ἡ ἀλείψασα καὶ κηδεύσασα τὸ σῶμα τοῦ Μάρτυρος Εὐσεβία τὰς Μυροφόρους τοῦ Χριστοῦ σημαίνει. Τὰ ἅγια λείψανα εὐωδιάζουσιν, ὡς πνευματικὸν μάννα, ἐπικεχυμένα τῇ χάριτι τοῦ Ἁγίου Πνεύματος.

www.tezaurliturgic.ro

Ἡ διατροφὴ τοῦ λαοῦ διὰ τῶν κολλύβων πρὸς ἀποφυγὴν τῆς μιαροφαγίας τὴν σωτηρίαν τῶν ψυχῶν σημαίνει. Ὁ σπειρόμενος καὶ καρποφορῶν κόκκος τοῦ σίτου τὸ Πάθος καὶ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ σημαίνει κατὰ τοὺς λόγους Αὐτοῦ:

*«Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ πολὺν καρπὸν φέρει»* (Ἰω ιβ΄ 24).

Τὰ κόλλυβα, προσφερόμενα ἐν τοῖς μνημοσύνοις τῶν νεκρῶν, τὴν ἀνάστασιν αὐτῶν σημαίνουσι. Τὸ θαῦμα τῶν κολλύβων, τελεσθὲν κατὰ τὸ Σάββατον τῆς πρώτης ἑβδομάδος τῶν Νηστειῶν, ὅτε ἄρχεται τὸ στάδιον τῶν ἀγώνων, τὴν συμμετοχὴν τῶν πιστῶν εἰς τὸ Πάθος καὶ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ σημαίνει.

Αἱ τρεῖς ἐξετάσεις τοῦ Μάρτυρος τοὺς τρεῖς πειρασμοὺς τοῦ Χριστοῦ ἐν τῇ ἐρήμῳ σημαίνουσι.



www.tezaurliturgic.ro

# ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΘΕΟΔΩΡΟΣ Ο ΣΤΡΑΤΗΛΑΤΗΣ

Ὁ Ἅγιος Μεγαλομάρτυς Θεόδωρος ὁ Στρατηλάτης ἐγεννήθη ἐν κώμῃ τοῦ Πόντου, καλουμένῃ Εὐχάινα, ἀλλὰ γινώσκεται ὡς Ἡρακλεώτης, ἅτε ζήσας καὶ μαρτυρήσας ἐν Ἡρακλείᾳ. Ὡς *Ἅγιος Θεόδωρος ὁ Εὐχαϊνιώτης* παρίσταται ἐν τοιχογραφίᾳ ναοῦ αὐτοῦ ἐν κώμῃ Κοφίνου τῆς Κύπρου. Κατετάγη ἐν τῷ ῥωμαϊκῷ στρατῷ, ἀναδειχθεὶς στρατηγός. Ὁμολογήσας αὐτοβούλως τὴν πίστιν αὐτοῦ εἰς τὸν Χριστόν, ἐμαρτύρησεν ἐν Ἡρακλείᾳ τοῦ Πόντου ἐπὶ αὐτοκράτορος Λικινίου. Κατὰ τὸ μαρτύριον αὐτοῦ ἐτύγχανε κυβερνήτης περιοχῆς τῆς Μικρᾶς Ἀσίας, περιλαμβανούσης τὴν Βιθυνίαν, τὸν Πόντον καὶ τὴν Παφλαγονίαν. Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ὀγδόῃ Φεβρουαρίου.

Ὁ Ἅγιος Θεόδωρος ὁ Στρατηλάτης καὶ ὁ Ἅγιος Θεόδωρος ὁ Τήρων συνήφθησαν εἰς κοινὴν ξυνωρίδα Ἁγίων Θεοδώρων, ὡς ὁμώνυμοι, συστρατιῶται καὶ συμπατριῶται. Αἱ πράξεις τοῦ Στρατηλάτου εἶχον ὡς πρότυπον τὰς πράξεις τοῦ Τήρωνος. Οὕτως ἡ δρακοντοκτονία τοῦ Τήρωνος, παρισταμένης τῆς εὐγενοῦς Εὐσεβίας, ἀποδίδεται καὶ τῷ Στρατηλάτῃ. Ἡ ἐμφάνισις μετὰ θάνατον Ἁγίου Θεοδώρου ἀποδίδεται, καὶ τῷ ἑνὶ καὶ τῷ ἑτέρῳ. Ὁμοίως ἐπικαλύπτεται καὶ ὁ τόπος ταφῆς

www.tezaurliturgic.ro

αὐτῶν. Ὁ Τήρων ἐτάφη ἐν κώμῃ *Εὐχάιτα* καὶ ὁ Στρατηλάτης ἐν κώμῃ *Εὐχάνεια*, συνεκδραμούσῃ εἰς *Εὐχάινα*. Ἔν τισι πράξεσι τοποθετοῦνται ἀμφότεροι ἐν κώμῃ Εὐχάιτα. Ὁ δῆθεν αὐτόπτης τοῦ μαρτυρίου τοῦ Ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου τοποθετεῖ τὸν τάφον αὐτοῦ ἐν κώμῃ Εὐχάιτα, ὁ Συμεὼν ὁ Μεταφράστης ἐν κώμῃ Εὐχάινᾳ, τὸ Συναξάριον Κωνσταντινουπόλεως ἐν κώμῃ Εὐχάινᾳ, παρὰ τὴν κώμην Εὐχάιτα, ὁ Ἰωάννης Σκυλίτζης παρὰ τὴν κώμην Εὐχάνεια.

Ὁ Βολλανδιστὴς πατὴρ Ἱππόλυτος Ντελεαὶ ὑπεστήριξεν ὅτι ὑπάρχει μόνον εἷς Ἅγιος Θεόδωρος, ὅστις ἕνεκα τῶν συσσωρευθεισῶν πολλῶν πλαστῶν καὶ φανταστικῶν προσθηκῶν εἰς τὰς πράξεις αὐτοῦ διεχωρίσθη εἰς δύο, Τήρωνα καὶ Στρατηλάτην. Ἀλλ᾽ ἡ παράδοσις ἀπ᾽ ἀρχῆς διακρίνει δύο Ἁγίους Θεοδώρους. Ὁ συγγραφεὺς τῆς σῳζομένης παλαιοτέρας βιογραφίας τοῦ Ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου διακρίνει τοῦτον τοῦ Ἁγίου Θεοδώρου τοῦ Τήρωνος.

Ὁ Ἅγιος Θεόδωρος ὁ Στρατηλάτης ἐγένετο δημοφιλὴς περὶ τὸ τέλος τοῦ δεκάτου αἰῶνος ἕνεκα τῆς αὐξανομένης ἀριστοκρατικοποιήσεως καὶ στρατιωτικοποιήσεως τῆς βυζαντινῆς κοινωνίας. Τὰς νέας κοινωνικὰς τάσεις ἐξυπηρέτει κάλλιον ὁ Στρατηλάτης Ἅγιος Θεόδωρος ἢ ὁ ἁπλοῦς στρατιώτης Τήρων Ἅγιος Θεόδωρος. Ὁ Ἰωάννης Σκυλίτζης ἀναφέρει ὅτι ὁ αὐτοκράτωρ Ἰωάννης Τσιμισκῆς ἐνίκησε τοὺς Ῥώσσους ἐν τῇ μάχῃ τοῦ Δορυστόλου τῷ 971 κατὰ τὴν δεκάτην ἑβδόμην Φεβρουαρίου, ἑορτὴν τοῦ Ἁγίου Θεοδώρου τοῦ Τήρωνος. Ὡς λέγει, εἰς βοήθειαν τοῦ βυζαντινοῦ στρατοῦ ἐνεφανίσθη εἷς τῶν νικητῶν μαρτύρων, ὀνομαζόμενος Θεόδωρος. Ὁ Ἰωάννης Τσιμισκῆς ἐταύτισε τὸν ἐμφανισθέντα, οὐχὶ πρὸς τὸν ἑορτάζοντα κατὰ τὴν ἡμέραν ἐκείνην Τήρωνα, ἀλλὰ πρὸς τὸν Στρατηλάτην, καί, εὐγνωμονῶν, ᾠκοδόμησε μέγαν καὶ ὡραῖον ναόν, ἐν

www.tezaurliturgic.ro

ᾧ ἐναπετέθησαν τὰ λείψανα τοῦ Ἁγίου, καὶ μετωνόμασε τὴν πόλιν Εὐχάνειαν πρὸς τιμὴν αὐτοῦ Θεοδωρούπολιν. Ἡ Εὐχάνεια μαρτυρεῖται ὡς ἀρχιεπισκοπὴ κατὰ τὸν δέκατον αἰῶνα καὶ ὡς μητρόπολις κατὰ τὸν ἑνδέκατον. Εἷς τῶν ποιμένων αὐτῆς ἔφερε τὴν μορφὴν τοῦ Ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου ἐν τῇ σφραγῖδι αὐτοῦ. Ὁ αὐτοκράτωρ Μανουὴλ ὁ Α΄ ὁ Κομνηνὸς εἰκόνισε τὸν Ἅγιον Θεόδωρον τὸν Στρατηλάτην ἔφιππον ἐπὶ τῶν νομισμάτων αὐτοῦ. Ὁ Θεόδωρος Πεδιάσιμος ἀναφέρει ὅτι ἀμφότεροι οἱ Ἅγιοι Θεόδωροι ἐνεφανίσθησαν κατὰ τὴν ἐπανάκτησιν τῆς πόλεως τοῦ Μελενίκου τῷ 1255 ὑπὸ τοῦ αὐτοκράτορος Θεοδώρου Β΄ τοῦ Λασκάρεως παρὰ Βουλγάρου στασιαστοῦ.

Οἱ δύο Ἅγιοι Θεόδωροι συχνάκις συνεικονίζονται. Πρὸς διάκρισιν ὁ μὲν Τήρων παρουσιάζεται μετ᾽ ὀξυλήκτου γενειάδος μέλανος χρώματος, ὁ δὲ Στρατηλάτης μετὰ διχαλωτῆς φαιοῦ χρώματος. Ἐνίοτε ὁ Στρατηλάτης συνεικονίζεται ἔφιππος μετὰ τοῦ Ἁγίου Γεωργίου, λογχίζων τὸν δράκοντα.

Αἱ πράξεις τοῦ Ἁγίου Θεοδώρου τοῦ Στρατηλάτου ἄρχονται διὰ τῆς δρακοντοκτονίας, δανείου ἐκ τῶν πράξεων τοῦ Ἁγίου Θεοδώρου τοῦ Τήρωνος.

Πυνθανόμενος ὁ αὐτοκράτωρ Λικίνιος περὶ τῶν προτερημάτων τοῦ Ἁγίου, ἀπέστειλε δύο ἐπισήμους μετὰ συνοδείας εἰς Ἡράκλειαν, ἵνα καλέσωσιν αὐτὸν εἰς Νικομήδειαν πρὸς γνωριμίαν καὶ εὐφρόσυνα. Ὁ Ἅγιος, ἔχων ἐν νῷ τὸ μαρτύριον καὶ ἐπιθυμῶν νὰ κοσμήσῃ τὴν Ἡράκλειαν διὰ τοῦ αἵματος αὐτοῦ, ἐδέχθη τοὺς ἀπεσταλμένους φιλοφρόνως. Βιαζόντων τούτων τὴν ἀναχώρησιν, κρατεῖ παρ᾽ αὐτῷ ὀλίγους καὶ τοὺς ἄλλους ἀποστέλλει μετὰ γραμμάτων πρὸς τὸν Λικίνιον. Ἀποῤῥίπτει εὐσχήμως τὴν πρόσκλησιν, προφασιζόμενος πράγματα καὶ διοικητικὰ καθήκοντα, κωλύοντα τὴν ἀναχώρησιν αὐτοῦ, ἀντ᾽

αὐτῆς δὲ προσκαλεῖ αὐτὸς τὸν Λικίνιον, ὅπως ἔλθῃ εἰς Ἡράκλειαν. Ζητεῖ, ὅπως οὗτος φέρῃ μεθ᾿ ἑαυτοῦ τοὺς ἐπισημοτέρους τῶν θεῶν, ἵνα ἐνώπιον αὐτοῦ τοῖς μεγάλοις μεγάλως θύσῃ. Ὁ Λικίνιος μετὰ στρατοῦ καὶ τῶν ἀγαλμάτων τῶν θεῶν ἐλαύνει εἰς Ἡράκλειαν.

Προσποιούμενος ὁ Ἅγιος, ἐζήτησε παρὰ τοῦ Λικινίου, ὅπως παραδῷ αὐτῷ τὰ ἀγάλματα τῶν θεῶν, ἵνα προσευχηθῇ καθ᾿ ἑαυτὸν καὶ ἐξιλεώσῃ θυσίαις ἰδιαζούσαις, καὶ εἶτα ἐνώπιον αὐτοῦ καὶ ὅλου τοῦ πλήθους θύσῃ. Λαβὼν οὕτω κατ᾿ οἶκον τοὺς ἐξ ἀργύρου καὶ χρυσοῦ θεούς, περὶ μέσας νύκτας διεῖλεν αὐτοὺς εἰς λεπτὰ μέρη, καθηγίασε τῷ Θεῷ καὶ διένειμε τοῖς πένησι. Τὸ πραχθὲν ἐμηνύθη τῷ Λικινίῳ ὑπὸ τοῦ κεντυρίωνος Μαξεντίου, ὅστις εἶδε τὴν κεφαλὴν τῆς Ἀρτέμιδος, κεκομμένην εἰς μέρη καὶ προκειμένην ἐν τῷ πρατηρίῳ. Ἔξαλλος ὁ Λικίνιος, διέταξεν, ὅπως ὁ Ἅγιος ὑποβληθῇ εἰς πάντα τὰ εἴδη τῶν βασανιστηρίων. Ὁ Ἅγιος προσηλώθη ἐπὶ σταυροῦ ἐν περιόπτῳ μέρει τῆς πόλεως καὶ ἐβάλλετο διὰ βελῶν ὑπὸ τῶν Ἑλλήνων. Ἐκ τῶν βελῶν κατέρρευσαν οἱ ὀφθαλμοὶ αὐτοῦ. Οἱ βασανισταὶ ἐνόμισαν ὅτι ἀπέθανε καὶ ἀπῆλθον, ἀφέντες τὸ λείψανον αὐτοῦ ἐπὶ τοῦ σταυροῦ πρὸς παραδειγματισμὸν τῶν χριστιανῶν. Ἄγγελος, καταπτάς, ἔλυσε τὸν Ἅγιον τοῦ σταυροῦ καὶ ἐπέστρεψε τὸ σῶμα αὐτοῦ ἀπαθές.

Διαναστὰς ὁ Λικίνιος, ἀπέστειλε δύο ἄνδρας, τὸν Ἀντίοχον καὶ τὸν Πατρίκιον, ὅπως φέρωσι, συρόμενον, τὸν Ἅγιον, ἵνα ἐπιχλευάσῃ αὐτῷ καὶ μετὰ θάνατον. Ἐσκόπει, ὅπως καταθῇ τὸ λείψανον αὐτοῦ ἐν μολυβδίνῃ θήκῃ καὶ ῥίψῃ εἰς τὴν θάλασσαν, ἵνα μὴ τυγχάνῃ τιμῆς παρὰ τῶν χριστιανῶν. Ἐλθόντες οἱ δύο ἄνδρες καὶ μὴ εὑρόντες τὸν Ἅγιον ἐπὶ τοῦ σταυροῦ, διελογίζοντο, μὴ οὗτος ἀνέστη, ὡς ὁ Χριστὸς τῶν χριστιανῶν. Διερευνήσαντες, εὗρον τοῦτον καθήμενόν που ἡσύχως καὶ

ἀπηλλαγμένον πάσης αἰκίας. Κινηθέντες οὗτοι, ἐπίστευσαν εἰς τὸν Χριστὸν καὶ σὺν τούτοις καὶ περὶ τοὺς ὀγδοήκοντα ἕτεροι διὰ τὸ γενόμενον θαῦμα. Μαθὼν ὁ Λικίνιος τὸ πρᾶγμα, ἔπεμψε Κέλσον τινὰ τῶν ἀνθυπάτων μετὰ στρατιωτῶν, ἵνα ἀναιρέσῃ διὰ ξίφους πάντας τοὺς τελεσθέντας χριστιανοὺς καὶ αὐτὸν τὸν τελεστήν. Ἀλλὰ καὶ ὁ Κέλσος, παραγενόμενος, προστίθεται τῷ θιάσῳ τῶν χριστιανῶν καὶ σὺν αὐτῷ καὶ οἱ στρατιῶται. Ἐκ τῶν τελουμένων τούτων συνήχθη πλῆθος. Οἱ μὲν χριστιανοὶ ἠρεθίζοντο κατὰ τοῦ Λικινίου, οἱ δὲ ματαιόφρονες κατὰ τοῦ Μάρτυρος καὶ τῆς μερίδος αὐτοῦ. Κατὰ τὸν ἐρεθισμὸν ἐδέχθη πληγὴν θανάτου ὁ Κέλσος, καταταγεὶς εἰς τοὺς Μάρτυρας.

Ἠπειλεῖτο στάσις κατὰ τὴν πόλιν, ἀλλ᾽ ὁ Μάρτυς Θεόδωρος συνεκράτησε τὸ πλῆθος, προβάλλων τὸ ὑπὲρ Χριστοῦ πάθος. Μετὰ τοῦτο ἐπορεύθη αὐτόκλητος εἰς τὴν φυλακήν. Διὰ λόγου μόνου αὐτοῦ ἤνοιξε τὴν φυλακὴν καὶ ἔλυσε τῶν πεδῶν τοὺς δεσμώτας, ἵνα μεταβῶσιν, ὅπου θέλουσι. Αὐτὸς δὲ περιήρχετο τὴν πόλιν καὶ δι᾽ εὐχῆς καὶ ἀφῆς ἰᾶτο τοὺς νοσοῦντας. Πολλοὶ ἐτύγχανον θεραπείας, ἁπτόμενοι τῶν ἱματίων ἢ τοῦ χρωτὸς αὐτοῦ.

Μὴ φέρων τὰ γενόμενα, ὁ Λικίνιος ἔπεμψεν ἑτέρους στρατιώτας, ἵνα ἀναιρέσωσι τὸν Ἅγιον. Τὸ πλῆθος ἦν ἕτοιμον πρὸς βίαν, ἀλλ᾽ ὁ Ἅγιος διὰ πολλῶν λόγων ἀπέτρεψεν αὐτό. Βλέπων τὸ τέλος ἐγγύς, διέθετο τῷ πιστοτάτῳ τῶν οἰκετῶν τὴν θέλησιν αὐτοῦ. Ἡ περιουσία αὐτοῦ πᾶσα νὰ διανεμηθῇ τοῖς πένησι, τὸ δὲ σῶμα αὐτοῦ νὰ κατατεθῇ ἐν Εὐχαΐνοις. Εἶτα, φαιδρῷ τῷ προσώπῳ ἑαυτὸν ὑποκατακλίνας, ἀποτέμνεται τὴν κεφαλήν. Τὸ σῶμα αὐτοῦ τῇ φροντίδι τῶν εὐσεβῶν, προπεμπόμενον λαμπάσι καὶ μύρων ὀδμαῖς, μετάγεται ἀπὸ τῆς Ἡρακλείας εἰς Εὐχάιναν, ἔνθα καὶ κατατίθεται.

Τὸ μαρτύριον τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου τρέχει οὕτω:

*«Λικινίου τοῦ δυσσεβοῦς ἄρτι παρὰ Μαξιμιανοῦ καὶ τὸ σκῆπτρον ὁμοῦ τῆς Ῥωμαίων ἀρχῆς καὶ τὴν περὶ τοὺς δαίμονας θεραπείαν τε καὶ σπουδὴν καὶ τὴν κατὰ χριστιανῶν διαδεξαμένου μανίαν, δεινὸς αὖθις κατὰ τῶν εὐσεβῶν δεινὸς καὶ τῶν προλαβόντων βαρύτερος συνεκροτεῖτο πόλεμος· γράμματα δὲ καὶ προθέματα κατὰ πᾶσαν τὴν ὑποτελῆ Ῥωμαίοις ἐφοίτα φόβου καὶ ἀπειλῆς τιμῆς τε ἅμα καὶ δωρεῶν καὶ τῶν ἄλλων ἀγαθῶν καὶ ἐπαγγελιῶν μεστά· ἔλεγε γοῦν τὰ προθέματα ὡς, ὅσοι τὸν βασιλέως μὲν αἰδοῦνται νόμον καὶ τοῖς ἑλληνικοῖς τελοῦνται θεοῖς, τοσούτῳ τιμῇ καὶ πλούτῳ καὶ τῇ διὰ πάντων εὐτυχίᾳ τῶν ἄλλων προέξουσιν, ὅσῳ καὶ τῇ περὶ ταῦτα σπουδῇ τε καὶ θεραπείᾳ διαφέρειν ἀλλήλων σπουδάζουσιν· ὅσοι δὲ τούτου μὲν καὶ τῶν τούτου νόμων τε καὶ θεῶν κατεῤῥαθυμήκασι, τὰ δὲ τῶν Γαλιλαίων ἀσπάζοιντο, τούτοις μεταμανθάνουσι μὲν τὴν δόξαν καὶ μετατιθεμένοις τὴν θεοσέβειαν ἀρχαί τε καὶ ἀξιωμάτων ὑπεροχαὶ καὶ πλούτου τι χρῆμα πρὸς βασιλέως ἔσται πολὺ καὶ τὰ πρῶτα τῶν αὐτοῦ φίλων εἶναι· ἔστι δὲ οἷς καὶ ἔθνος ἐπιτραπῆναι ὅλον καὶ τὸ λοιπὸν εὐδαίμονα ζῆσαι τὴν παρ᾽ αὐτοῖς καὶ πανολβίαν ζωήν· οἷς δὲ ὅ τε λογισμὸς ἔῤῥωται καὶ οὐδὲν ἧττον καὶ τούτων προτεινομένων ἐγκαρτεροῖεν τοῖς δόγμασι, πάντων ἠπείλει τὰ φρικωδέστατα, βάσανοι πολλαί τε καὶ χαλεπαὶ καὶ μελῶν ἐκκοπαὶ καὶ τὸ τελευταῖον θάνατος, μᾶλλον δὲ κέρδος μὲν οὐ σμικρὸν ὁ θάνατος. Ἐπεὶ οὖν Λικινίῳ τοὐναντίον ἢ κατὰ νοῦν ἐχώρει τὰ πράγματα καὶ καταγέλαστος ὡρᾶτο καὶ κολακεύων καὶ βιαζόμενος, ἑτέραν ὁ πονηρὸς ἐτράπετο. Τοῦ μὲν γὰρ πολλοῦ πλήθους τὸν τούτου πρόθυμον ὑπουργὸν βασιλέα πέπεικε φείδεσθαι τοὺς δ᾽ ἕκαστα πανταχοῦ προέχοντας ἔν τε στρατιωτικοῖς καὶ πολιτικοῖς καταλόγοις ὥσπερ τινὰς τῶν ἀσταχύων προεστηκότας ἐκτέμνειν ἤγουν μεταπείθειν κατὰ πᾶσαν ὑποτίθησι μηχανήν· ὡς λίαν*

www.tezaurliturgic.ro

τοῦτο δεινῶς ὁ δόλιος· ἢ γὰρ μεγάλους νικᾶν ἢ ὑπὸ μεγάλων ἡττᾶσθαι, ἄλλως τε καὶ τούτων ἐκ μέσου καθ᾽ ὄντιναοῦν τρόπον καθισταμένων, οὕτω πάντως ῥᾳδίως καὶ τὸ λοιπὸν εὐχείρωτον ἔσεσθαι. Οὕτως ὁ γενναῖος χορὸς ἐν Σεβαστείᾳ ἀνήρπαστο τῶν τεσσαράκοντα, οὕτως οἱ ἑβδομήκοντα, καὶ πάλιν οἱ τριακόσιοι ἐν Μακεδονίᾳ.

Διὰ σπουδῆς οὖν οὔ τι μικρᾶς ἀεὶ τιθεμένων τῶν αὐτῷ ταῦτα προθύμως ὑπηρετουμένων –βασιλέως οὗτοι κέκληντο ὀφθαλμοὶ τῷ τι τῶν τοιούτων ἰδεῖν ἢ καὶ ἰδόντας μαθεῖν– δῆλος τῷ βασιλεῖ καὶ ὁ ἐμὸς αὐτίκα Θεόδωρος ὁ περικαλλὴς τῶν μαρτύρων ἀστὴρ καθίστατο Θεόδωρος, οὗ δὴ καὶ μόνη κλῆσις ἡδονῆς τε ἅμα καὶ θαύματος τὰς ψυχὰς ἀναμιμνήσκει καὶ ἀναπίμπλησι. Οὗτος ἦν τὰ μὲν ἐκ φύσεως τὴν ὥραν τε κάλλιστος, τὴν γλῶτταν δὲ ἄμαχος, τὸ γένος ἐπιφανέστατος, τὴν ἡλικίαν νεώτατος, καὶ ταῖς χερσὶν ἀήττητος· ἃ δὴ τὸ μὲν αὐτὸν ἡ ῥώμη τῶν λόγων ἐν τοῖς βασιλικοῖς σχολαστικοῖς ἐνέγραφε, τὸ δ᾽ ἡ ἀνδρεία τῶν ἔργων στρατηλάτην ἐν ταῖς μεγίσταις τῶν ῥωμαϊκῶν ἐδείκνυ δυνάμεσι· καὶ τὰ μὲν ἐς ὄψιν τε καὶ τέχνην καὶ γένος καὶ ῥώμην τοιοῦτος, ψυχὴ δὲ σωφρονεστάτη καὶ παμφορωτάτη τὴν ἀρετήν· ὑπὲρ ὧν δὴ καὶ τοῖς καλλίστοις τῶν πλεονεκτημάτων ὑπὲρ τῶν καλλίστων ἐφαίνετο χρώμενος. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν, ἐξ ὧν ἕν τι τῶν ἐκείνου παραλαβόντας, ὃ καὶ τῆς ἀνδρείας οὐκ ἀφανὲς αὐτῷ γνώρισμα καὶ τῆς ὁμολογίας ἀφορμὴ γέγονε καὶ ὑπόθεσις, ἐκ τούτου ἔστι καὶ περὶ τῶν ἄλλων εἰκάζειν.

Δράκων ἦν ἐν Εὐχαΐταις, θηρίον μεγέθει μέγιστον καὶ τὴν ἀλκὴν ἀνυπόστατον· φλὸξ μὲν τὰ ὄμματα, ἰὸς δὲ τὸ στόμα καὶ ἰὸς ἄμαχος· θρέμμα τῆς γῆς παράλογον καὶ τέρας τοῖς θεωμένοις ἀλλόκοτον. Οὗτός τε διεκινεῖτο τοῦ φωλεοῦ, συνεκινεῖτο μὲν καὶ ἡ πέριξ αὐτῷ γῆ, συνεδονεῖτο δὲ πᾶσα ἡ ὕλη,

www.tezaurliturgic.ro

*συνεθλᾶτο δὲ δένδρα καὶ θάμνοι καὶ λίθοι καὶ δι᾽ ὅσων ἐκεῖνος εἷρπε. Τοῖς οὖν προσοίκοις οὔ τι καλὸς ἔμελλε γείτων οὗτος ὁ δράκων εἶναι, ποίμνια μὲν ὅλα διαλαφύσσων, λήια δὲ κατασύρων καὶ αὐτοὺς δὲ τοὺς συναντήσαντας. Τί οὖν πρὸς ταῦτα τοὺς ἀθλίους οἰκήτορας πάσχειν εἰκὸς ἢ πάντως τῶν αἰχμαλώτων τρόπον τῶν ἐνθένδε μεταναστῆναι καὶ τὴν φύσιν ἐκβιασθῆναι καὶ τὸ φίλον καὶ ἡδὺ τῆς πατρίδος ἔδαφος ἐχθράν τε καὶ πολεμίαν ἐπιβλαβῆ νομίσαντας; Ταῦτα οὖν τὰ οὕτω φρικτὰ καὶ Θεοδώρῳ φανερὰ γενόμενα οὐκ ἀποθέσθαι μᾶλλον ἀλλὰ καί τι προσθέσθαι πείθει τῆς εὐψυχίας· ᾤετο γὰρ τοσούτῳ μὲν μᾶλλον δικαιότερον παρατάττεσθαι, ὅσῳ καὶ παντὸς χαλεπώτερον πολεμίου τοῖς περιοίκοις ἐκεῖνο καθίστατο· τοσούτῳ δὲ καὶ θαῤῥαλεώτερον, ὅσῳ τῷ περιόντι τῶν φοβερῶν τὸ περιὸν εἶχε καὶ αὐτὸς τῆς ἀνδρείας καὶ ἀρετῆς ἐνδείξασθαι· τὸ δέ γε πλέον, καὶ τεκμήριον αὐτῷ τῆς ὁμολογίας τῆς ὑπὲρ Χριστοῦ καὶ σύμβολον οὐ μικρὸν τῆς κατὰ τοῦ νοητοῦ θηρὸς συμπλοκῆς τὴν κατὰ τοῦ αἰσθητοῦ ποιήσασθαι. Οὕτως οὖν ἔχων καὶ τούτοις τοῖς λογισμοῖς τὸν νοῦν ἐπιῤῥώσας ἐκ μέσου τοῦ στρατοπέδου μηδενὶ τὸ βούλημα κοινωσάμενος ἐχώρει θαῤῥῶν, ὥσπερ πρὸς ἤδη τεθνηκὸς τὸ θηρίον ὁρμῶν· ὅπλα δὲ αὐτῷ τὸ μὲν κράτιστον ὁ σταυρὸς –οὗτος γὰρ ἦν ὁ καὶ τοῖς ἔξω τὸ κρατεῖν παρέχων– καὶ τἆλλα δὲ ὅσα ἂν στρατιώτης ἀγαθὸς κατά τε ψυχὴν καὶ χεῖρα κατὰ τοιούτου πολεμίου φέρει.*

*Ἐπεὶ δὲ καὶ πλησίον τοῦ τόπου ἐγεγόνει καὶ τὸ πολὺ τῆς ὕλης διῄει τὸν θῆρα διερευνώμενος, κατάκοπος ἤδη τῷ τε βάρει τῶν ὅπλων τῷ τε μήκει τοῦ πόνου καὶ τῷ λασίῳ τῆς ὕλης γενόμενος, ὀλίγον τι παρεκκλίνας καὶ μαλακὴν αὐτόθι που πόαν ἰδὼν καὶ οἵαν οὐκ ἀτερπῆ παρασχεῖν αὐτῷ κλίσιν, τοῦ ἵππου τε ἀποβαίνει καὶ κατακλιθεὶς ἀναπαύεται· τυχὸν δὲ οὕτω, καίτοι τοῦ ζεφύρου προσπίπτοντος, μετρία τις αὖρα τήν τε πόαν ἐκίνει*

www.tezaurliturgic.ro

*καὶ εἰς ὕπνον αὐτὸν ἡδὺν ἤπειγε· καὶ ὁ μὲν ἀφύπνωττε. Γυνὴ δέ τις τοὔνομα μὲν Εὐσεβία καὶ τὸν τρόπον δὲ ἄλλως εὐσεβὴς καὶ κοσμία, τῶν βορειοτέρων ἄρτι τοῦ τόπου μερῶν ὑπεράρασα καὶ πόῤῥωθεν ἀφ᾽ ὑψηλοῦ τοῦτον ἰδοῦσα πρὸς αὐτῷ μὲν ἤδη τῷ δεινῷ γεγονότα, ἀφροντίστως δὲ οὕτω βαθὺν ὑπνώττοντα, τῆς συμφορᾶς αὐτὸν κατοικτίρασα καὶ τῷ περὶ αὐτὸν οἴκτῳ τὸν περὶ τοῦ θηρὸς φόβον λύσασα, περιδεής τε καὶ ὑπότρομος παραγίνεται· καὶ παραστᾶσα τῆς δὲ δεξιᾶς αὐτὸν ἐκτινάσσει καὶ ἀφυπνίζει λέγουσα· «Θᾶττον, ὦ ἄνερ, θᾶττον ἀνάστα καὶ τὴν σεαυτοῦ πορεύου σῳζόμενος· οὐδὲ γάρ μοι δοκεῖς εἰδέναι, ποῖος ὁ ἐνταῦθα κρυπτόμενος ὄλεθρος, ὃν μηδ᾽ ἴδοι τις, σῶτερ Χριστέ· ἀλλ᾽ ἀναστὰς σπουδῇ πάσῃ σῷζε σαυτόν.» Ὁ δὲ καὶ ἤδη συνεὶς ὅμως ἑκὼν ἠρώτα, τίς τε ὁ φόβος καὶ δι᾽ ἃ μετ᾽ ἐκπλήξεως αὐτὸν τῶν ὕπνων ἐγείρει· κἀκείνη τόν τε θῆρα λέγει καὶ τὴν ἀλκὴν καὶ τὸ μέγεθος. Ἐπεὶ δὲ καὶ περὶ τοῦ τόπου ἐπύθετο, δείκνυσιν αὐτῷ καὶ τὸν τόπον καὶ ὅθεν ἑρπύζειν εἴθιστο· καὶ οἷόν ἐστι, προστίθησι, τοῖς ὁδοιπόροις συνάντημα καὶ γειτόνημα τοῖς προσοίκοις. «Ἀλλὰ σύ μοί», φησιν, «θανάτου ἐρᾶν δοκεῖς, ἄνθρωπε, μένων τε αὐτὸς ἔτι κἀμὲ ταῖς ἐρωτήσεσιν ἀναγκάζων.» Ὁ δέ· «Πορεύου», φησίν, «ὦ γύναι, καὶ μακρόθεν τοῦ τόπου ἐν ἀκινδύνῳ στᾶσα μένε, καὶ εἴσῃ τὴν τοῦ ἐμοῦ Χριστοῦ δύναμιν.» Ἡ μὲν οὖν περιαλγὴς γενομένη λίαν, φιλοίκτιστος γὰρ γυνή, ἡ δὲ καὶ ἄλλως πρὸς ἔλεόν τε καὶ φόβον ὁμοίως ἐπιῤῥεπῶς ἔχουσα, δεδακρυμένη καὶ πολλὰ τοῦτον προμαρτυρομένη τῆς τόλμης ἀπέστη· ἔστη δὲ πόῤῥωθεν καὶ ὥσπερ ἤδη τεθνηκότα κατολοφυρομένη τοῦ μόνου δυνατοῦ καὶ νεκροὺς ζωοποιεῖν Θεοῦ ἐξελεῖν καὶ αὐτὸν τοῦ παρακειμένου δεινοῦ ἐδέετο.*

*Ὁ δὲ τῇ ἐκείνης εὐχῇ τὴν ψυχὴν ἔτι μᾶλλον ῥωσθείς, ἤδη δὲ καὶ τῆς ἄνωθεν ἐμπνευσθείσης αὐτῷ δυνάμεως τοῖς μέλεσιν*

*ἐπαισθόμενος, τὸ πρῶτον ὅπλον πρῶτον δὴ καὶ προβαλλόμενος, τὸν σταυρὸν λέγω, καὶ τούτῳ σφραγισάμενος ἢ μᾶλλον εἰπεῖν φραξάμενος, τὸ δεύτερον μετὰ τοῦτον τὴν εὐχὴν λαμβάνει· καὶ ἄρας εἰς οὐρανὸν καὶ αὐτὸς χεῖράς τε ἅμα καὶ ὄμματα καὶ ψυχήν, τύψας τε τὸ στῆθος καὶ δάκρυσι διαβρόχους δείξας τὰς παρειάς, τὴν νίκην ἄνωθεν ᾔτει· «Ὁ ἐν πολέμοις», λέγων, «καὶ πολλοῖς ἄλλοις πολέμων χαλεπωτέροις κινδύνοις ἀεί μοι παριστάμενος καὶ μὴ μόνον ἄτρωτον ἀλλὰ καὶ καλλίνικόν με ἀπεργαζόμενος καὶ νῦν αὐτὸς εἶ, Κύριε· σὺ οὖν μοι καὶ κατὰ τοῦ θηρὸς τούτου πρόστηθι· τὰς μὲν γὰρ χεῖρας ὁ κινῶν ἐγώ, σὺ δὲ ὁ διὰ τούτων μὲν ἐνεργῶν, τὴν δὲ νίκην καὶ τὴν ἀπὸ τῆς νίκης δόξαν ἐμοὶ τῷ δούλῳ σου χαριζόμενος.» Ταῦτα εἶπε, καὶ τῷ ἵππῳ φωνῆς ἀνθρωπίνης οἷα συνιέντι ἐγκελευσάμενος· «Σπεῦδε καὶ σύ», φησιν, «τοῦ Κυρίου ἐνδυναμοῦντός σε.» Ὁ μὲν οὖν ἀκούσας οὐκ ἔψευσε τὸν δεσπότην· καὶ οὕτω δυναμωθεὶς ἀλλὰ θυμοῦ πλησθείς, δεδόσθω γὰρ καί τι μικρὸν ἐντρυφῆσαι τῷ διηγήματι, ἵστατο εὐτρεπής, ἔκοπτε τοὔδαφος ταῖς ὁπλαῖς, ἐβέβλητο τοὺς ὀδόντας ἀφρῷ διήσθιέ τε τα χαλινὰ καὶ τὸ οὖς διανίστη, ἔπνει θυμόν, ἔβλεπε φονικόν, δῆλος ἦν ὅλως τὸν ἀνταγωνιστὴν μένων καὶ ὅλῃ τῇ ἀλκῇ μαχούμενος.*

*Οὕτως οὖν τοῦ τε ἵππου πολλῷ μᾶλλον καὶ τοῦ ἱππέως εὐθαρσῶς ἔχοντος, ἤδη δὲ καὶ τοῦ θηρὸς διακεκινημένου καὶ τῷ ψόφῳ φανεροῦ γινομένου, ὁ μὲν αὐτῷ καθὰ καὶ θεράποντι ἐπιτάττει καὶ τὸ δεσποτικὸν εἰπὼν ὄνομα τῆς ὕλης αὐτὸν εἰς τοὐμφανὲς ἕλκει· τοῦ δὲ καὶ δὴ πλησιέστερον γενομένου, καινά τινα, μᾶλλον δὲ καινὸν μὲν οὐδέν, τὰ εἰωθότα δὲ καὶ τότε ὡρᾶτό τε καὶ ἠκούετο, τῆς μὲν γῆς διαδονουμένης, τῶν δὲ λίθων συντριβομένων δεινόν τε ἐκείνου συρίττοντος καὶ ἀνυπόστατον παριστῶντος καὶ ὅραμά τε καὶ ἄκουσμα. Ταῦτα δ᾽ ὅμως οὐκ ἔσβεσε τὴν ὁρμὴν οὔτε τῷ ἵππῳ οὔτε τῷ τούτου*

*δεσπότη, ἀλλ᾽ εἰς ἀφορμὴν ἔτι μᾶλλον τοῦ θάρσους τῇ θέᾳ καταχρησάμενοι, ὁ μὲν πάνυ γενναῖόν τι καὶ μανικὸν ἅλλεται καὶ τοῖς τέσσαρσιν ὅλοις ἐπιβὰς ποσὶ τὸν δράκοντα συναράττει, ὁ δὲ γενναιότατος Θεόδωρος καὶ ἀήττητος ἀνδρείᾳ καὶ ψυχῇ καὶ χειρί, δόρατι τὴν κεφαλὴν τοῦ θηρὸς διαπερονήσας –τῆς σῆς ἔργον τοῦτο, Χριστὲ βασιλεῦ, δυνάμεως– μιᾷ πληγῇ νεκρὸν δεικνύει τὸν θῆρα, ὃν οὐδ᾽ ἂν μυρίανδρος φάλαγξ ἀδεεὶ καὶ μόνον ἂν προσιδεῖν ἐθάῤῥησεν. Ἀλλ᾽ οὗτος μὲν οὕτως οὐκ ἄνευ φόβου καὶ τεθνηκὼς ἔκειτο τοῖς ὁρῶσι θέαμα. Καὶ ταύτην δὲ τὴν νίκην ταῖς ἄλλαις ὁ καλλίνικος οὗτος συνάψας καὶ ὡσπερεὶ σφραγῖδά τινα ἐπιθεὶς τρόπαιόν τε στήσας ἀκίνητον, χώρας ὅλης ἐλευθερίαν, ἅμα δὲ καὶ σύμβολον ὥσπερ ἔφην ἱκανὸν λαβὼν τὸ κατὰ τοῦ αἰσθητοῦ κράτος τῆς κατὰ τοῦ νοητοῦ πάλης καὶ νίκης, ἐπὶ τὴν Ἡρακλέους χαίρων ἐχώρει, ἐξ ἧς δὴ καὶ ὥρμητο καὶ ἧς τὴν ἀρχὴν ἐπεπίστευτο. Τοῦτο τῶν ἐκείνου τροπαίων ἓν ἐκ πολλῶν καὶ ἀντὶ πολλῶν· τοῦτο τῶν ἔξωθεν ἀνδραγαθημάτων ἐκείνου τὸ τέλος καὶ αὕτη τῶν μεγίστων ἀγώνων ὁμοῦ ἡ ἀρχή· πῶς καὶ τίνα τρόπον, ὁ λόγος ἔνθεν ἐρεῖ· τὸ μὲν ἐντεῦθεν οὐκέτι τῶν νύκτωρ κεκρυμμένων οὐδὲ τῶν νυκτερινῶν μαθητῶν τοῦ Χριστοῦ Θεόδωρος, ἀλλ᾽ ὅλως ζήλου τε καὶ φρονήματος τοῦ κατὰ Θεὸν ἀνάπλεως ἀναφανδόν τε τὴν εὐσέβειαν παῤῥησιαζόμενος· καὶ χαλεπὸς πανταχόθεν τῷ πονηρῷ πόλεμος· πολλοὶ γὰρ ὁσημέραι τῶν αὐτοῦ λόγων οἱ μὲν τοῖς λόγοις οἱ δὲ καὶ τοῖς ἔργοις πειθόμενοι –ἐπαγωγὸν γὰρ εἰς πειθὼ λόγος, ὅταν καὶ ὁ τρόπος αὐτῷ σύμφωνος ᾖ– τὴν μὲν ἑλληνικὴν λατρείαν ἐξώμνυτο, τῷ Θεοδώρῳ δὲ καὶ διὰ Θεοδώρου τῷ Χριστῷ προσετίθεντο.*

*Λικινίῳ τοίνυν καὶ αὐτῷ ταῦτα πολλὰ καὶ παρὰ πολλῶν ἀκούοντι τὰ μὲν τῶν ἀδραγαθημάτων οὐκ ἀηδὲς ἀλλὰ καὶ λίαν ἐπιτερπὲς διήγημα καὶ γλώττης ἐντρύφημα ἦν, τὰ δὲ τῆς ὁμο-*

λογίας τε καὶ παῤῥησίας καὶ πάνυ φόβου μεστὸν καὶ μερίμνης ὅτι πλεῖστον ἄξιον ἄκουσμα· δι᾽ ἄμφω δὲ ταῦτα καὶ μέγα τούτῳ λοιπὸν ἐδόκει θήραμα τὸ τὸν ἄνδρα ἑλεῖν· καὶ πέμπονται παραυτίκα τῆς Νικομήδους, ἔνθα δὴ καὶ τότε διατρίβων ὁ βασιλεὺς ἐτύγχανε, κατὰ τὴν Ἡράκλειαν ἄνδρες δύο μήτε τὴν γνώμην μήτε τὴν τύχην τὸ δοκεῖν καταφρονητέοι, ἀλλ᾽ οὓς καὶ αὐτὸς ᾔδει Θεόδωρος ἐν τοῖς μάλιστα τιμωμένους, τῶν προτικτόρων οἱ περιφανέστεροι· προείρητο δὲ αὐτοὺς καὶ πολλοὺς ἐπάγεσθαι δορυφόρους καὶ πρὸς τὸ μηδὲν ἀηδὲς πράττοντας καὶ προπεμπόμενόν τε διὰ τῆς ὁδοῦ καὶ τιμώμενον ἄγειν. Οὗτοι μὲν δὴ τὴν Ἡρακλέους καταλαβόντες ἐποίουν τὰ προσταττόμενα πάνυ φιλίως αὐτῷ προσφερόμενοι καὶ μακαρίζοντες τοῦ τε κάλλους καὶ τῆς ἰσχύος καὶ τῆς ἐν λόγοις δεινότητος. Τὸ δὲ πλέον οἰκειότητος τῆς πρὸς βασιλέα, τά τε ἄλλα διεξιόντες καὶ οἷον αὐτοῦ ἐκεῖνος ἐρᾷ τὸν ἔρωτα. Ὁ δὲ πολλὰ βασιλέως καὶ τῶν αὐτοῦ θεραπόντων καταμωκώμενος καὶ τοῦ μὲν μαρτυρίου λογισμοῖς ἤδη γλιχόμενος, τὴν δὲ πατρίδα τῷ αἵματι πρὸ τῶν ἄλλων κοσμεῖν βουλόμενος, πρῶτα μὲν αὐτοὺς παράγων ἐδεξιοῦτο μεγαλοψύχως· ἔπειτα δὲ ὡς ἠνώχλουν ἔχεσθαι τῆς ὁδοῦ, ὀλίγους μὲν αὐτόθι παρακατέχει, τοὺς δὲ λοιποὺς ἐκπέμπει καὶ γράμμασιν ὅπως εἶχεν εὐσυνετώτατα τὴν ἐς Νικομήδειαν ἄφιξιν διακρούεται· σημαίνει γὰρ βασιλεῖ, καὶ αὐτὸν μὲν δριμύν τινα ἐρᾶν ἔρωτα κατ᾽ ὄψιν αὐτῷ παραστῆναι καὶ τῆς βασιλικῆς ἀπολαῦσαι μορφῆς καὶ φωνῆς, ἑτοίμως δὲ ἔχειν καὶ τὴν εὐσέβειαν μεταθέσθαι καὶ τὸν ὑπὲρ Χριστοῦ ζῆλον εἰς τὸ δοκοῦν ἐκείνῳ μετενεγκεῖν, δημοσίων δὲ πραγμάτων ἕνεκα κἀκείνῳ αὐτῷ συμφερόντων μὴ δεῖν εἶναι κρῖναι τὴν Ἡρακλέους καταλιπεῖν, ἀλλ᾽ εἰ μὴ καὶ τολμηρὸν εἰπεῖν, ὡς ἐκεῖνος γράφων φησίν, εἴπερ ἡ βασιλικὴ δοκιμάζει κρίσις, αὐτὸν μᾶλλον ἐκεῖνον ἐπὶ τὴν Ἡρακλέους ἐλθεῖν, τοῦτο μὲν τὰ ἐκεῖσε καλῶς ἐποψό-

*μενον, δεῖσθαι γὰρ βασιλέως ὀφθαλμῶν τὰ πράγματα, τοῦτο δὲ καὶ τὴν πόλιν τῇ παρόδῳ κοσμήσοντα, πρὸς δὲ καὶ ἄλλως καλῶς ἔχον ὡσπερεὶ τροφεῖα ταῦτα τὰς εἰς θεοὺς αὐτὸν θυσίας τῇ πατρίδι χαρίσασθαι· καὶ ἅμα τοῖς πολλοῖς οὕτω, φησίν, ἔσται κατάδηλον, εἰ ἐνταῦθα τὸν ἑλληνισμὸν ἀνομολογῶν ὀφθείην, ἔνθα δὴ καὶ τὸν χριστιανισμὸν ἀνακηρύττων πολὺς ἦν. Ἐγέγραπτο ταῦτα, πρὸς δὲ καὶ τὸ τοὺς ἐπισημοτέρους ἄγειν αὐτῷ τῶν θεῶν, «ἵν᾽ οὕτω τοῖς μεγάλοις», φησί, «μεγάλως ἐπὶ σοῦ θύσω»· ταύτην ὡς ἐπῆλθε τὴν ἐπιστολὴν ὁ Λικίνιος, οὐκέτι κατέχειν οἷός τε ἦν, ἀλλὰ χαρά τε αὐτὸν ἄλογος ᾕρει καὶ ὥσπερ ὑφ᾽ ἡδονῆς ἐκβεβάκχευτο· δεῖγμα τοῦ πρὸς Θεόδωρον πόθου αὐτίκα τὸν ὄγκον τῆς βασιλείας καὶ τὴν φίλην ἀλαζονείαν παρ᾽ οὐδὲν θέμενος, πλῆθος στρατιᾶς συλλεξάμενος καὶ τοὺς δορυφόρους ὅτι μάλιστα φιλοτίμους ἐνσκευασάμενος, ἐπὶ τὸν ἐρώμενον τρέχων εὐθὺ τῆς Ἡρακλείας ἤλαυνε· κατ᾽ αὐτὴν δὲ τὴν νύκτα καὶ θεία τις ὄψις ἐφειστήκει τῷ Θεοδώρῳ· τὴν οἰκίαν, ἐν ᾗπερ ἐτύγχανεν, ἐδόκει τὴν μὲν στέγην διαῤῥαγῆναι, φωτὸς δὲ θείου πλήρη φανῆναι, βολίδας τε ἐξ οὐρανοῦ πυρὸς φέρεσθαι καὶ φωνὴν πρὸς αὐτὸν ἅμα λέγουσαν· «Θάρσει, Θεόδωρε· μετὰ σοῦ γάρ εἰμι.» Οὗτος, ὡς τὰ μὲν εἶδε τὰ δὲ ἤκουσε, χαρᾷ τε καὶ ἐκπλήξει συμμιγεὶς ἀνίστατο εὐχῇ τε καὶ εὐχαριστίᾳ σπουδαίως ἐκέχρητο καὶ ὅλως ἐστομοῦτο πρὸς τὴν εὐσέβειαν.*

*Μαθὼν δὲ καὶ δὴ προάγοντα τὸν Λικίνιον, οἷον ἐποιεῖτο τῆς ὁμολογίας καὶ τὸ προοίμιον, εὐχαὶ μὲν αὖθις αὐτῷ καὶ δάκρυα πρῶτα τὴν ψυχὴν ἐῤῥώννυον, ἔπειτα δὲ καὶ τὸ πρόσωπον λαμπρὸν ὅτι μάλιστα δείξας καὶ τὴν ὅρασιν ἀγαθύνας στολάς τε χρυσοϋφάντους καὶ χιτῶνας ἐνδὺς βυσσίνους ἵππου τε ἐπιβὰς εὐφυεστάτου καὶ τὴν ὄψιν εὐγενεστάτου καὶ ἁπλῶς ἑαυτὸν εἴπερ ποτὲ πᾶσι καταλαμπρύνας, ἐξῄει τῷ βασιλεῖ πρὸς ὑπάντησιν καὶ τῆς στολῆς καὶ τῆς μορφῆς ἥδιστον ἀποστίλβων καὶ*

ὡραιότατον. Ὡς δ᾽ ἀλλήλοις ἐς ὄψιν ἤρχοντο, περιπλοκαί τε συνήρχοντο καὶ ἀσπασμοὶ μεθ᾽ ὅσης ἂν εἴποις ἡδονῆς ἐγίνοντο, θαῦμα δὲ πάντας τοὺς θεωμένους ἐλάμβανε καὶ αὐτὸν δὲ τὸν Λικίνιον, τῷ τε κάλλει καταστραπτόμενον, ἄλλως τε καὶ τὸ ἦθος αὐτῷ θεῖόν τι καὶ τὸ λίαν εὐγενές τε καὶ ἐλευθέριον φρόνημα καὶ παράστημα ψυχῆς ἐδόκει μεστῆς ἀρετῆς· καὶ ὡς ὑπὲρ ἄνθρωπον αὐτὸν ὁρῶν δῆλος ἦν. Ἐπεὶ δὲ καὶ εἴσω τῆς πόλεως ὁ βασιλεὺς γένοιτο, κρότος μὲν εὐθὺς τῶν πολιτῶν ἤρετο καὶ χορεῖαι καὶ σκιρτήματα πανταχοῦ παιζόντων καὶ ἡδομένων καὶ ἑορτὴν ποιουμένων τὴν βασιλέως εἴσοδον· οἷς ἡσυχάζειν σημήνας ὁ βασιλεὺς αὐτὸς λόγων τῶν πρὸς αὐτοὺς καὶ ὁμιλίας ἤρχετο· «Πολλὰ μὲν ὑμῖν», λέγων, «ὦ ἄνδρες πολῖται, καὶ πάντα χαρίεντα, κάλλος τῆς πόλεως τουτὶ καὶ μέγεθος εὐσέβειά τε πρὸς τοὺς θεοὺς καὶ πρὸς ἡμᾶς εὐπείθεια ἀνδρείᾳ τε ἐν πολέμοις νόμων τε φυλακὴ καὶ λόγων ἰσχὺς καὶ παιδείας τῆς ἄλλης ἅμιλλα· ἀλλ᾽ ἐπ᾽ οὐδενὶ τούτων τὴν ψυχὴν ἥδομαι ἢ Θεόδωρον τουτονὶ τῆς ὑμετέρας βλέπων ἀνθήσαντα γῆς, ἐφ᾽ ᾧ καὶ τὴν ὄψιν ἐπιβάλλων τέρπομαι καὶ τὴν ἡμέραν ταύτην πασῶν ἡδίστην ὑπολαμβάνω καὶ τὸν φίλον ἐμοὶ ἐπιλάμψαι Ἀπόλλωνα, καθ᾽ ἣν Θεόδωρον ἴδοιμι.» Καὶ ταῦτα λέγων, ἅμα τε τὸν ἅγιον περιέβαλλε καὶ κοινωνὸν τοῦ θρόνου ποιούμενος· «Ἀλλά γέ», φησιν, «φίλτατέ μου Θεόδωρε, λέγε καὶ τὴν Κυρίαν, ἐν ᾗ τοὺς θεοὺς τὰ εἰκότα τιμήσεις· ὃ καὶ καλῶς ἔχον πρότερον ἀποδόντας, εἶθ᾽ οὕτω καὶ περὶ τῶν κοινῇ συμφερόντων εὐθύμως ὡς ὁμοδόξοις συνδιασκέπτεσθαι.» Καὶ ὁ Θεόδωρος· «Ἀλλ᾽ εἴ μοι, βασιλεῦ», ἔφη, «πρότερον δοίης κατ᾽ ἐμαυτὸν προσεύξασθαι καὶ θυσίαις ἰδιαζούσαις ἐξιλεώσασθαι, εἶθ᾽ οὕτως φιλοτίμως καὶ ἐπὶ σοῦ καὶ ἐπὶ τοῦ πλήθους παντὸς θύσω.» Ἤρεσκε ταῦτα τῷ βασιλεῖ· καὶ παραλαβὼν Θεόδωρος τοὺς ἀργύρου τε καὶ χρυσοῦ πεποιημένους θεοὺς οὐκ ἄλλην

*τινὰ τούτοις ἀλλὰ τούτους αὐτοὺς ἐποιεῖτο θυσίαν τρόπον τινὰ τοὺς ἐναγεῖς ἁγνοτάτην· περὶ γὰρ μέσας που νύκτας εἰς λεπτὰ διελὼν τῷ οὐρανίῳ καὶ ἁγίῳ Θεῷ καθηγίασε διανείμας πένησι.*

*Δύο παρῆλθον ἡμέραι καὶ μετάκλητον αὐτὸν ὁ Λικίνιος ποιησάμενος· «Δεῦρό μοί», φησιν, «ἄριστε φίλων Θεόδωρε, καὶ ἡμεῖς κοινῇ σὺν σοὶ τοῖς φίλοις θεοῖς σπείσωμεν.» Ὑπολαβὼν δὲ ὁ Θεόδωρος· «Εἰ γάρ», ἔφη, «κράτιστε βασιλέων, οὕτω καὶ σὺ λαμπρῶς.» Καὶ ὃς μὴ συνεὶς τὸ λεγόμενον· «Ἀλλ' οὐ καὶ ταῦτά γε κρατήσεις ἡμῶν, Θεόδωρε», ἔφη, «μηδὲ γὰρ ἐλάττους τινὸς ὀφθῆναι μηδ' ἡμᾶς πάντα τὸν χρόνον· χαίρω δ' ὅμως ὁρῶν ταύτην σε τὴν νίκην φιλοτιμούμενον.» Σιωπὴ πρὸς ταῦτα τῷ μάρτυρι καὶ ἠρέμα μειδίαμα τὴν τοῦ τυράννου ἄνοιαν διαπαίζοντι. Καὶ ὁ βασιλεύς· «Τί μέλλεις;» ἔφη, «τί τὸν χρόνον παρέλκεις, Θεόδωρε; τί μὴ τάχος καὶ ἡμῶν τὴν πεῖραν λαμβάνεις;» Τοῦ δὲ καὶ πρὸς ταῦτα τῆς μὲν γλώττης ὁμοίως διακρατοῦντος τὰ δὲ χείλη πρὸς γέλωτα μᾶλλον ὑποκινοῦντος, τῶν τις τῷ τυράννῳ παρεστηκότων, Μαξέντιος τοὔνομα, κεντυρίων δὲ τὸ ἀξίωμα, τὰ τῷ μάρτυρι πρὸς τοὺς θεοὺς πραχθέντα φωράσας, παρελθὼν εἰς μέσους· «Ἀλλ' ἔγωγέ», φησιν, «ὦ βασιλεῦ, ὃ τεθέαμαι, σιγῇ καλύπτειν οὐ δύναμαι.» Καὶ ὁ Λικίνιος κινήματι κεφαλῆς τὴν ἀπορίαν ὑποσημήνας, τί δὲ καὶ ὅλως δέδρακεν, ἤρετο· πάντων οὖν πρὸς αὐτόν, ὅ,τι καὶ λέξει, ἀτενεῖ βλέμματι θεωμένων, ὁ κεντυρίων· «Τί μὴ φανερῶς», ἔφη, «λέγω τὸ πεπραγμένον ἐγώ; τῆς μεγίστης θεᾶς Ἀρτέμιδος τὴν κεφαλὴν χθὲς ἑώρακα εἰς μέρη τε συχνὰ κεκομμένην καὶ προκειμένην εἰς τὸ πρατήριον· ὁ συγκόψας δὲ οὗτος καὶ ἡ πάντολμος δεξιά.» Εἶπε ταῦτα Μαξέντιος, συνεῖπε καὶ ὁ Θεόδωρος θᾶττον ἢ ἐκεῖνος ἐβούλετο.*

*Καὶ ὁ Λικίνιος ἅμα τὴν γνώμην καὶ τὴν χροιὰν αὐτίκα μεταβαλών, ἀφόρητον γὰρ εἰς ὀργὴν ἀποτραπεῖσα πρὸς τοὔναν-*

τίον ἐλπίς, ὅταν καὶ βεβαία καὶ περὶ τῶν μεγάλων καὶ δι᾽ ἀπάτης ἀποσφαλεῖσα μάλιστα ᾖ. Ὁ δὲ μὴ μόνον ὀργῆς ἀλλὰ καὶ λύπης ὑποπλησθείς, οὐκ ἔφερε γὰρ καὶ τοὺς θεοὺς αὐτοῦ περιυβρισμένους καὶ ζημιούμενον τὸν Θεόδωρον καθορᾶν, ἄγαν δριμύ τι καὶ περιπαθὲς τῷ μάρτυρι ἐνιδὼν τῇ χειρί τε τὸν μηρὸν πατάξας καὶ θυμοῦ τι πλῆρες καὶ ἀθυμίας ἀναστενάξας· «Ὢ τῆς συμφορᾶς», ἔφη, «ἢ μᾶλλον εἰπεῖν, ὢ τῆς παραφορᾶς, οἵῳ προσέχων καὶ οἷα παρέχων οἵων ἐτύγχανον.» Εἶτα τοῖς προτέροις ἐξ ἐναντίας παλινῳδίαν ᾖδεν ἑαυτόν τε καὶ τοὺς ἑαυτοῦ θεοὺς ἀπωδύρετο· «Οἴμοι», λέγων, «ἠσεβήκαμεν, ἐξυβρίκαμεν, οἵαις μιαραῖς χερσὶν οἵους τῶν καθαρῶν θεῶν πεπιστεύκαμεν.» Ταῦτα μὲν ἐν τῷ φανερῷ· εἶτα καὶ πρὸς ἑαυτόν· «Οἴμοι τίς γένωμαι; ποῖ τράπωμαι; ἠτίμωμαι, καταβέβλημαι, ὁ νεύματι μόνῳ πλήθη φοβῶν καὶ τοσαῦτα τῶν πολεμίων ἐγείρας τρόπαια νῦν ὑφ᾽ ἑνὸς τούτου μιαροῦ καταπέπαιγμαι· ἀλλ᾽ οὐχ οὕτως, ὡς οἴει, οὐ μὰ τοὺς ἀηττήτους θεοὺς χαιρήσεις, Θεόδωρε, οὐχ οὕτω προῖκα καὶ θεῶν καὶ ἡμῶν καταπαίξεις», ἔφη καὶ πρὸς τοὺς παρεστῶτας δημίους ἐπιστραφείς· «Τί μέλλετε, κάκιστοι στρατιωτῶν;» εἶπε, «τί μὴ τὰς κολάσεις κομίζετε; παρίτω βάσανος, παρίτω πῦρ, ξίφη, στρέβλαι, σφαῖραι, πάσαις ποιναῖς ὑποκείσθω, πᾶσι τοῖς μέλεσι ξεέσθω ὁ ἀλιτήριος.» Καὶ ταῦτα ἔλεγε πῦρ ἅμα βλέπων καὶ τοὺς ὀφθαλμοὺς διαστρέφων καὶ τετριγὼς τοὺς ὀδόντας καὶ ὥσπερ αὐτῶν τῶν σαρκῶν ἁπτόμενος.

Ἀλλὰ ταῦτα μὲν εἰς τάχος ἐπράττετο καὶ διεμερίζετο τὸ σῶμα τῷ μάρτυρι· τοῦτο μὲν ἐκ τεσσάρων ἐτανύετο καὶ τὸν νῶτον μὲν τοῖς βουνεύροις τὴν δὲ κοιλίαν μάστιξι κατεξαίνετο, τοῦτο δὲ καὶ τὸν τένοντα σφαίραις κατῃκίζετο μολυβδίναις. Ταῦτα δὲ τοῦ ἁγίου πάσχοντος, ὠμῶς τε καὶ ἐπιπολὺ διεσπῶντο μέλη, διελύετο νεῦρα, ἐξηρθροῦντο χεῖρες, συνεθλῶντο ὀστᾶ

ταῖς τῶν σφαιρῶν βαρείαις καταφοραῖς. Ἐπεὶ δὲ κεκμήκει καὶ μικρὸν ὑπέπνει καὶ ἡ ψυχὴ ἠπείλει τὴν ἔξοδον, ἐμφορηθεὶς ὅσον ἐβούλετο μόλις ἵστατο καὶ ὁ ῥέων θυμὸς τῷ τυράννῳ· ἀλλὰ καὶ οὕτω μικρόν τι τῆς μανίας ὑφείς, ἐπεὶ καὶ αὖθις ἀνενεγκόντα τὸν ἅγιον εἶδε καὶ τὴν πνοὴν ὥσπερ παλινδρομήσασαν, ἔπνει καὶ αὐτὸς αὖθις τῷ φίλῳ θυμῷ καὶ βασάνων οὔτε λόγῳ ῥητῶν οὔτε ἔργῳ φορητῶν αὐτῷ πλῆθος ἐπῆγε καὶ τούτοις ἀγρίου θηρὸς δίκην τοῦ ἀθλητοῦ τὴν σάρκα πάντοθεν καὶ κατὰ ταὐτὸ σχεδὸν ὥσπερ ὀδοῦσι κατεμασᾶτο, πυρὶ φλέγων, ὄνυξι ξέων τὰ τῶν μελῶν ἔτι περιλειπόμενα. Ἀλλ᾽ οἱ μὲν ὄνυχες ὅσα περὶ τὰς πλευρὰς ἀπέξεον, αἱ δὲ τοῦ πυρὸς λαμπάδες τὰ τῶν τραυμάτων ἕλκη κατέφλεγον πρὸς δὲ τούτοις καὶ λίθων ὀξύτητες· ὢ ἀνήμερος φύσις καὶ θηρίων ὠμότεροι ἄνθρωποι· τὰ ξεσθέντα τε καὶ φλεχθέντα κατέτεμνόν τε καὶ προσεπέξαινον. Ὁ δὲ καὶ οὕτω διασπαρασσόμενος καὶ κατακρεουργούμενος ἵστατο ἀτρεμής, οὐκ ἐφθέγξατό τι τῶν ἀγεννῶν, οὐ προσέβλεψε μαλακόν, οὐκ ἀφῆκε δάκρυον, οὐκ ἔπεμψε στεναγμόν, οὐκ ἠλλοίωσέ τι τοῦ χρώματος, οὐδὲν ἀγεννές, οὐδὲν περιπαθὲς τοῦ σχήματος ἐνεδείξατο· πῶς δὲ καὶ ἄλλως, ἐφ᾽ οἷς καὶ τῶν μὴ πασχόντων οἱ πολλοὶ κατεκλῶντο καὶ ἠλλοιοῦντο καὶ πάντοθεν τῶν φιλανθρωποτέρων ὀφθαλμῶν ἔρρει δάκρυα, εἰ μή τί γε πολλῆς ἦν ἀπολαύων τῆς ἄνωθεν συμμαχίας τὰς ἀλγηδόνας αὐτῷ ἐπελαφρυνούσης;

Ὡς οὖν πάντα μὲν ὁμοῦ κεκίνητο, πάντα δὲ τῆς ἐκείνου ψυχῆς ἥττητο, θυμὸς τυράννου, πυρὸς ἰσχύς, πληγαὶ βασάνων, ἀκμαὶ σιδήρων, λίθων ὀξύτητες, οὐδ᾽ οὕτω κόρον λαβὼν ὁ παμμίαρος, τότε μὲν αὐτὸν τῇ εἱρκτῇ δίδωσιν· ἵνα δὲ μηδ᾽ οὕτως ἄνετος αὐτὸν διαφύγῃ, καὶ τοὺς πόδας κεντήμασι παραδίδωσι καὶ φύλακας δὲ αὐτῷ τοὺς πολλὴν ἐκ πολλῶν πεῖράν τε καὶ τέχνην τῶν λόγων ἀθροίσαντας ἐπιστήσας, παντοίᾳ τὸν

*μάρτυρα λόγων ὁμιλίᾳ περιελεῖν ἐπειρᾶτο. Ὡς δ᾽ αὐτὸ τὸ τοῦ λόγου λέοντα ξυρᾶν ἐπεχείρουν καὶ οὐ μᾶλλον εἶχον ἐκεῖνον τῆς ὁμολογίας διασαλεύειν ἤπερ αὐτοὶ πρὸς τὴν οἰκείαν διεσείοντο πίστιν, ἀκίνητα κινεῖν πείρᾳ μαθὼν καὶ τὸ πείθειν ὅλως ἢ βιάζεσθαι ἀπογνούς, πικρὸν αὐτῷ καὶ μακρὸν ὁμοῦ κατὰ τὸ δοκοῦν ἀποφαίνεται θάνατον. Κελεύει γοῦν ἐν περιόπτῳ τῆς πόλεως σταυρόν τε καταπαγῆναι καὶ ἀχθέντα προσηλωθῆναι· «εἶτά», φησιν, «καὶ τῆς πόλεως ἡ νεότης καὶ πᾶν ὅσον ἑλληνικὸν καὶ ἡμέτερον ἕλκειν τε τόξον χερσὶν ἱκανὸν καὶ τὸν κατάρατον καὶ θεοῖς ἐχθρὸν πόῤῥωθεν βαλλέτωσαν τοῖς τοξεύμασιν· ὃς δ᾽ ἂν καὶ καινότερον εἰς ὀδύνην εἶδος ἐπινοήσειε καὶ μᾶλλόν τι καθικέσθαι τῆς ἀμειλίκτου ταύτης ψυχῆς δυνάμενον, οὗτος ἐμοὶ χαριεῖται τὰ μέγιστα καὶ θυμηρέστατα», εἴρητο καὶ σὺν τάχει ταῦτα τοῖς ἐκείνου θεραπευταῖς μετὰ πολλῆς ἅμα περιουσίας ἐπράττετο.*

*Ἐξήγετο γοῦν τῆς εἱρκτῆς ὁ ἅγιος, τί μὲν οὐ πάσχων καὶ πρὸ τοῦ σταυροῦ τῶν τοῦ Χριστοῦ παθημάτων, τί δὲ οὐ καὶ μετὰ τοῦτον λέγων κατὰ Χριστὸν καὶ τῶν ταῦτα τολμώντων ὑπερευχόμενος; ἐπεὶ δὲ καὶ ὁ σταυρὸς ἐπήγνυτο καὶ ὁ μάρτυς προσήλωτό τε καὶ διετάττετο, ἐνταῦθά μοι σκόπει περιουσίαν ὠμότητος· αὐτοί τε γὰρ καὶ παῖδας δὲ αὐτῷ περιστήσαντες καὶ ὥσπερ εἰς θήραν ἀρτιμαθεῖς τόξων διερεθίζοντες ἐφ᾽ ἕνα τοῦτον σκοπὸν τὸ τοῦ μάρτυρος σῶμα πολλὰ καὶ συχνὰ τὰ βέλη ἀφιέναι παρεκελεύοντο. Καὶ κατεξαίνετο μὲν τὸ σῶμα, κατέῤῥει δὲ τὸ αἷμα καὶ σάρκες δὲ ὁμοῦ κατετέμνοντο. Καὶ ὅρα μοι τιμωρίας ὑπερβολήν· ἐγγύτερον προσιόντες καὶ ὀφθαλμοῖς ὀφθαλμοὺς εὐστόχως ὅτι μάλιστα ἐπιβάλλοντες τάς τε κόρας ἀπέσπων καὶ σὺν τοῖς βέλεσιν οἱ ὀφθαλμοὶ κατέῤῥεον. Πῶς ἤνεγκαν δρᾶν, πῶς ὑπέμειναν ὁρᾶν οἱ ἀνηλεεῖς, πῶς οὐχὶ καὶ αὐτοὶ τὰς ὄψεις ἀποβαλεῖν ὑπὲρ τοῦ μὴ τοιαῦτά ποτε ἰδεῖν*

*εὔξαντο; οἱ δὲ τίνα καὶ προστιθοῦσι, τίνα τολμῶσιν οἱ ὠμότατοι καὶ ἀναισχυντότατοι; λύουσι τὸ ἐπὶ τῆς ὀσφύος περίζωμα τοῦ ἁγίου, τὰ κρύφια κρατοῦσι τοῦ σώματος μέλη καὶ ταῦτα μαχαιρίδας λαβόντες ἀνακαρσίως τέμνουσιν. Οἶδ᾽ ὅτι καθίκετο καὶ τῶν ἀκουόντων ἡ τῆς ὀδύνης δριμύτης· πλὴν ἀλλ᾽ ἔχει γέ τινα ἔτι προσθήκην τὸ πάθος· οἷα γὰρ καὶ πρὸς τούτοις ἐπινοοῦσιν, οἷα δρῶσι τὰ τοῦ πονηροῦ πλάσματα, τὰ τῶν δαιμόνων ὡς ἀληθῶς παιδεύματα; ἧλόν τινα σιδηροῦν λαμβάνουσι, τοῦ τῆς αἰδοῦς ἅπτονται μορίου καὶ ὢ χειρῶν μιαρῶν, ὢ ψυχῆς ἰταμωτάτης καὶ ὠμοτάτης, τὴν ἀκμὴν ὅσηπερ ἦν τοῦ σιδήρου διὰ τοῦ ἐν τῷ μορίῳ διελαύνουσι πόρου καὶ οὕτω διαπερονήσαντες συνεχῶς εἰσεῖλκόν τε καὶ ἐξεῖλκον, ὡς ἐπ᾽ αὐτῷ λίαν οἰκείως ἔχειν τὸ τοῦ Δαυῒδ· κίνδυνοι ᾄδου εὕροσάν με, σίδηρος διῆλθέ μου τὴν ψυχήν.*

*Καὶ οὕτω δριμεῖάν τινα τὴν ὀδύνην ὁ μάρτυς δεξάμενος καὶ μηδὲ ζῆν ὅλως ὑπ᾽ αὐτῶν πιστευόμενος, ὅμως ἔτι Θεοῦ τὴν ἰσχὺν ἐνιέντος τὸ πνεῦμά τε συνεῖχε καὶ μόνα τὰ χείλη διασαλεύων ἀκουστὰ τῷ Θεῷ προσηύχετο· «Ἵνα τί», λέγων, «Κύριε, ἀφέστηκας ἀπ᾽ ἐμοῦ; ἵνα τί μοι προεῖπας ὡς πάντοτε μετ᾽ ἐμοῦ ἔσῃ καὶ οὐδὲν ἐμοῦ περιέσται; ἴδε, Κύριε, ἴδε· διὰ σὲ ἄγριοί με θῆρες διεμερίσαντο, καὶ ὅπερ ἔπλασας σῶμα πικροὶ διενείμαντο λύκοι, ἐξεκόπησαν οἱ ὀφθαλμοί, σάρκες καὶ μάστιξι καὶ πυρὶ καὶ ξίφεσι διελύθησαν, τρίχες χαμαὶ κατέῤῥευσαν, ὀδόντες τοῖς βέλεσιν ἐξεκρούσθησαν, τὸ πρόσωπον πᾶν ἀνάλωται, οὐδὲν ἔτι τοῦ σώματος, οὐδὲν τοῦ δέρματος περιλείπεται, ὀστᾶ δὲ μόνα ξηρὰ τῷ πνεύματι συγκροτούμενα τῷ σταυρῷ κυμαίνεται· καθήλωσον ἐν ῥομφαίᾳ μου τὴν ψυχήν, δέξαι μου λοιπὸν εἰς χεῖρας τὸ πνεῦμα.» Ταῦτα εἰπὼν οὐκέτι λοιπὸν ἐφθέγξατο. Κἀκεῖνοι νομίσαντες ἤδη τεθνηκέναι τὸν μάρτυρα, τὸ λείψανον*

*εἰς παράδειγμα τοῖς ὁρῶσι τῶν φιλοχρίστων ἐπὶ τοῦ σταυροῦ λιπόντες ᾤχοντο.*

*Περὶ δὲ πρώτην φυλακὴν τῆς νυκτός, θεία τις οὐρανόθεν αὐτῷ δύναμις ἐπεφοίτα καὶ λύει μὲν αὐτὸν ὁ ἄγγελος τοῦ σταυροῦ, τὸ σῶμα δὲ αὐτοῦ πᾶν ἐπιστρέψας ἀπαθές τε καὶ ἄτρωτον ἀποδείξας, εἶθ᾽ οὕτως καὶ καθὰ φίλος φίλον κατησπάζετο λέγων· «Χαίροις, ὁ γενναῖος τοῦ Χριστοῦ ἀθλητής· ἐδόξασάς σου τοῖς μέλεσι τὸν διὰ σὲ σταυρόν τε καὶ θάνατον ὑπομείναντα· ὃς ἀεὶ καὶ νῦν σοι πάρεστι· καὶ ἵνα τί σὺ λέγεις, ἀφέστηκας ἀπ᾽ ἐμοῦ; σπεῦσον δὲ διὰ τέλους δραμεῖν τὸν σὸν δρόμον καὶ ἐλεύσῃ πρὸς Κύριον τὸν τῆς ἀθανασίας στέφανον κομιζόμενος.» Οὕτως εἶπε καὶ εὐθὺς ἀπέπτη· συναπέπτη δὲ τῇ φωνῇ καὶ εἴ τις οὐλὴ καὶ εἴ τις μώλωψ καὶ εἴ τις ὀδύνη καὶ τῶν λυπηρῶν εἴ τις αἴσθησις, ἀντεισήγετο δὲ χαρά τις ἄληκτος καὶ ἡδονὴ θεϊκὴ καὶ ὅλος εὐθυμίας, ὅλος χάριτος, ὅλος ἵστατο ἀγαλλιάσεως, ὅλος τὴν ψυχὴν εὐφροσύνης καὶ τὸν λογισμὸν μετέωρος καὶ τὴν καρδίαν σκιρτῶν καὶ τὰς χεῖρας ὑψῶν· «Ὑψώσω σέ», φησιν, «ὁ βασιλεύς μου καὶ ὁ Θεός μου, ὅτι μοι τὸ ἑσπέρας ηὐλίσθη κλαυθμὸς καὶ τὸ πρωὶ ἀγαλλίασις.» Καὶ οὕτως ἦν παρ᾽ ὅλην τὴν νύκτα ὅλῳ νοῒ καὶ στόματι ὁμιλῶν τῷ Θεῷ καὶ τῷ αὐτοῦ κάλλει ἐναγαλλόμενος.*

*Λικίνιος δὲ τῶν ὕπνων διαναστὰς ἐπεὶ μὴ κατὰ πάρεργον ἐτίθετο τὰ τοῦ μάρτυρος, ἡμέρας ἐπιφαινούσης, ἄνδρας ἀποστέλλει δύο, τῷ μὲν Ἀντίοχος τῷ δὲ Πατρίκιος τὰ ὀνόματα. Τούτοις ἐνετέλλετο τὸ κακόθνητον, ὡς ὠνόμαζεν ἐκεῖνος, Θεοδώρου σῶμα –ποῦ γὰρ καὶ ὅλως ζῆν αὐτὸν ὑπελάμβανε πλῆρες πληγῶν, πλῆρες ὕβρεων;– ἑλκόμενον πρὸς αὐτὸν ἀγαγεῖν, ἵν᾽ ἐπικερτομήσῃ πάντως καὶ χλευάσῃ καὶ μετὰ θάνατον· εἶθ᾽ οὕτω μολυβδίνῃ τε καταθεῖναι θήκῃ καὶ κατὰ τῆς θαλάσσης ῥιφῆναι, ἐκεῖνόν τε ἅμα τῆς προσηκούσης ὁσίας*

*ἀποστερῶν ταφῆς καὶ τοῖς ζῶσι τῶν εὐσεβῶν τοῦ μεγάλου τούτου θησαυροῦ φθονῶν. Ἐχόμενα τοίνυν τοῦ τόπου γινόμενοι, ἔνθα δὴ καὶ τὸν ἅγιον ἀνασκολοπίσαντες ἦσαν, ἐνταῦθα δὲ ὡς τὸ μὲν ξύλον ἀτενίσαντες εἶδον, αὐτὸν δὲ πανταχόθεν περιαθρήσαντες οὐχ ἑώρων, ἐντεῦθεν καὶ ἀνάμνησίς τις αὐτοῖς ὑπέθραττε τῆς ἐκ νεκρῶν Χριστοῦ ἀναστάσεως, θορύβου τε μεστοὶ τὰς ψυχὰς ἐγίνοντο καὶ ὅλως περὶ τὴν ἑλληνικὴν δόξαν διασέσειστο αὐτοῖς ἡ καρδία. Ἐν ᾧ δὲ ταῦτα πρὸς ἑαυτοὺς ἔλεγόν τε καὶ ἐλογίζοντο, κύκλῳ τοὺς ὀφθαλμοὺς διαδόντες, αὐτοῦ που καθεζόμενον τὸν ἀθλητὴν ὁρῶσι Θεόδωρον. Ὡς οὖν περιόντα τε καὶ ἀπαθῆ κακῶν ὄντα καὶ ἄτρωτον ἐθεάσαντο, θάμβους γεμίζονται τὰς ψυχάς· καὶ μέγα ἀνακραγόντες· «Εἷς Θεὸς ἀληθῶς μόνος, εἷς ὁ τῶν Χριστιανῶν Θεός», ἐξεβόησαν. Ταῦτα εἶπον καὶ ἅμα τοῖς γόνασι τοῦ μάρτυρος προσπεσόντες, τοῦ θείου τῆς πίστεως συμβόλου τυχεῖν ἐδέοντο, καλὸν καὶ τοῖς ἄλλοις γεγονότες παράδειγμα. Τῆς φήμης γοῦν τῆς περὶ αὐτοὺς καὶ τοῦ θαύματος ἁπανταχόσε διαφοιτώντων, καὶ ἕτεροι προσετίθεντο ἄνδρες εὐγενεῖς τὰς ψυχὰς καὶ συνέσει διαπρεπεῖς, οὐκ ὀλίγῳ πλέον ἢ ὀγδοήκοντα.*

*Ταῦτα μαθὼν ὁ Λικίνιος τὴν πολλὴν φέρειν οὐκ εἶχε τοῦ θυμοῦ κάμινον καὶ πέμπει Κέλσον τινὰ τῶν ἀνθυπάτων, συχνὴν αὐτῷ χεῖρα καὶ στρατιώτας παρασχόμενος, πάντας τοὺς τὰ χριστιανῶν τελεσθέντας καὶ αὐτὸν δὲ τὸν τελεστὴν Θεόδωρον τῷ διὰ ξίφους τελειῶσαι θανάτῳ. Ἀλλὰ ταῦτα μὲν ὁ τὴν ἄνοιαν, μᾶλλον δὲ τὴν ἀπόνοιαν πολὺς Λικίνιος. Ὁ δέ γε Κέλσος ἀπελθών τε καὶ θεασάμενος ἀναθεωρήσεών τε πλησθεὶς τὴν καρδίαν, ἅτε δὴ καὶ θειοτέρας αὐτὸν τινος ἀκτῖνος περιλαμψάσης, μαθητὴς καὶ αὐτὸς εἷς τοῦ προλαβόντος θιάσου γίνεται, ἅμα δὲ καὶ ὁ σὺν αὐτῷ στρατιωτῶν χορὸς εἷς τοῦ ἑνὸς ἐχόμενοι καὶ χορείαν ὥσπερ ἑλίττοντες, «εἷς», ἐπιβοῶντες, «Χριστέ, ὁ*

*Θεός, εἷς· ἀκουσάτω ταῦτα καὶ βασιλεὺς καὶ βουλὴ καὶ δῆμος ὁ σὺν αὐτῷ μαινόμενος.» Τί δὲ καὶ ἐκ τούτων συμβαίνει; τὸ πλῆθος, ὅσον τι ἐνταῦθα συνείλκετο καὶ τὰ τελούμενα ἐθεῶντο, οἱ μὲν κατὰ Λικινίου καὶ τῶν αὐτοῦ θεῶν ὥρμων καὶ λίθων ἥπτοντο, οἱ δ᾽ ἔτι ματαιόφρονες κατὰ τοῦ μάρτυρος καὶ τῆς τούτου μερίδος ἀνηρεθίζοντο· καί τις ξιφήρης τῶν βασιλέως ὑπασπιστῶν ὡς πλήξων ὅλῳ θυμῷ κατὰ τοῦ μάρτυρος ἐφορμήσας ἐπλήγη παρὰ τοῦ Κέλσου, πράως οὐκ ἐνεγκόντος τὸ κατὰ τοῦ ἁγίου τόλμημα. Τοῦτον δὲ τὸν Κέλσον ἕτερος πλήττει καὶ τῇ πληγῇ θάνατος, μᾶλλον δὲ ἡ ἀληθῶς ζωὴ τῷ διὰ μαρτυρίου τέλει ἐπηκολούθησε. Καὶ ὁ μὲν οὕτως ἔκειτο καλῶς τε ἀνελὼν καὶ πεσὼν κάλλιον.*

*Τὸ δὲ ξίφος μικροῦ καὶ διὰ πάσης ἐχώρησεν ἂν τῆς πόλεως, εἰ μὴ φθάσας ὁ τοῦ Χριστοῦ μάρτυς Θεόδωρος τὸ μὲν πλῆθος τοῖς λόγοις κατέσχε, πάντα φέρειν πείσας μεγαλοψύχως, μᾶλλον δὲ καὶ ἡδέως ὑπὲρ Χριστοῦ· ᾧ δὴ καὶ πεισθέντες προθύμως ἑαυτοὺς εἰς σφαγὴν ἀνῆκαν, αὐτόθυτα θύματα τῷ ὑπὲρ ἡμῶν ἐθελουσίως τυθέντι Χριστῷ γενόμενοι· αὐτὸς δὲ τὴν ἐπὶ φυλακὴν αὐτόκλητος ᾔει κἀκεῖσε παραγενόμενος λόγῳ μόνῳ τὴν φυλακὴν ἑαυτῷ διανοίγει καὶ τοῖς δεσμώταις τὰς πέδας διασαλεύει καὶ τοὺς μὲν ἀφίησι χωρεῖν οἷ βούλοιντο, ὁ δὲ καὶ διὰ τῆς ἄλλης ἰὼν πόλεως εὐχῇ τε καὶ ἀφῇ τοὺς νοσοῦντας καὶ δαιμονῶντας ἰᾶτο. Εἰσὶ δὲ οἳ καὶ τῶν ἱματίων ἢ τοῦ χρωτὸς ἁπτόμενοι τῆς θεραπείας ἐτύγχανον· ταῦτα πῶς γὰρ ἂν καὶ φέρειν ἠδύνατο ὁ Λικίνιος; κελεύει στρατιώτας ἑτέρους, οἷς γε μάλιστα πεποιθὼς ἦν, ἀφικέσθαι καὶ πᾶν μὲν δρᾶσαι πᾶν δὲ παθεῖν ὑπὲρ τοῦ τὸν ἅγιον ἀνελεῖν· τούτων ἐπὶ τούτῳ πεμφθέντων, εἰς στάσιν καὶ αὖθις τὸ πλῆθος ἑώρα καὶ ἅπαν εἰς σφαγὴν ἕτοιμον ἦν. Τότε οὖν ὁ γενναῖος πολλαῖς τῶν λόγων νιφάσι τὸ πλῆθος ἅπαν συναρμοσάμενος καὶ τῆς*

www.tezaurliturgic.ro

*ὁρμῆς ἐπισχών, ἰδίᾳ τῶν τινα στρατιωτῶν ἐν τῷ λεληθότι ἀπολαβὼν καὶ τῷ πιστοτάτῳ τῶν οἰκετῶν κατὰ σπουδὴν περὶ τῶν αὐτοῦ πάντων ἐπισκήψας πραγμάτων, τὴν μὲν κτῆσιν πᾶσαν πένησι διανεμηθῆναι, τὸ δὲ σῶμα κατατεθῆναι ἐν Εὐχαΐνοις, φαιδρῷ καὶ χαρίεντι τῷ προσώπῳ ἑαυτὸν ὑποκατακλίνας τὴν ἱερὰν ἐκείνην καὶ γενναίαν καὶ μυριόστεφον ἀποτέμνεται κεφαλήν· μελῆσαν δὲ τοῖς θερμοτέροις τῶν εὐσεβῶν, τιμώμενον τὸ λείψανον καὶ προπεμπόμενον λαμπάσι τε πολλαῖς καὶ μύρων ὀδμαῖς ἀπὸ τῆς Ἡρακλείας μετάγεται εἰς Εὐχάιναν, ἔνθα καὶ κατατίθεται, θησαυρὸς ἄσυλος, ἰάσεων χορηγός, ἀγαθῶν σωρός· οὗ δὴ καὶ εἰς ἔτι πολυανθρωποτάτη τῶν ἐπὶ γῆς τελεῖται πανήγυρις, πάντων σχεδὸν τῶν ὑπὸ τὸ Ῥωμαϊκὸν σκῆπτρον ἐφ᾽ ἕνα τοῦτον τόπον κατὰ καιρὸν συῤῥεόντων, εἰς δόξαν τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.»*

Αἱ πράξεις τῶν Μαρτύρων ἔχουσιν ὡρισμένην θεματολογίαν, βαίνουσαν, ὡς ἀκολούθως:

Ὁ Μάρτυς ἐλευθέρως καὶ αὐτοβούλως ἐπιθυμεῖ, ὅπως μαρτυρήσῃ ὑπὲρ τοῦ Χριστοῦ, ἀκολουθῶν τῷ Πάθει Αὐτοῦ.

Τὸ μαρτύριον ἄρχεται διὰ προετοιμασίας. Ὡς ὁ Χριστός, ἀρχόμενος τοῦ ἔργου, μετὰ τὴν Βάπτισιν Αὐτοῦ ἀνήχθη εἰς τὴν ἔρημον καὶ ἐπειράσθη ὑπὸ τοῦ διαβόλου καὶ κατενίκησεν αὐτόν, οὕτω καὶ ὁ Μάρτυς πρὸ τοῦ σταδίου αὐτοῦ ἀναιρεῖ τὸν δράκοντα, ἢ καταστρέφει τοὺς βωμοὺς καὶ τὰ εἴδωλα, ἢ φεύγει που, ἢ ὁμολογεῖ ἐνώπιον τῶν διωκτῶν τὴν πίστιν αὐτοῦ εἰς τὸν Χριστόν, ἕτοιμος, ὅπως ἀποθάνῃ ὑπὲρ Αὐτοῦ. Ὁ Ἅγιος Γεώργιος καὶ ὁ Ἅγιος Θεόδωρος ὁ Τήρων ἀναιροῦσι τὸν δράκοντα, σύμβολον ἀναιρέσεως καὶ τοῦ νοητοῦ δράκοντος, ὁ Ἅγιος Ἱερομάρτυς Θεόδωρος, ἐπίσκοπος Κυρήνης, συλεῖ τὸν βωμὸν

τῆς εἰδωλολατρίας, ὁ Ἅγιος Θεόδωρος ὁ Τήρων πυρπολεῖ τὸν ναὸν τῆς Ῥέας, ὁ Ἅγιος Θεόδωρος ὁ Στρατηλάτης κατακόπτει εἰς μικρὰ μέρη τὰ ἀγάλματα τῶν θεῶν, ὁ Ἅγιος Μηνᾶς φεύγει εἰς ὄρος, ἵνα καθάρῃ ἑαυτὸν νηστείαις καὶ προσευχαῖς, ὁ Ἅγιος Γεώργιος προσέρχεται αὐτοβούλως τοῖς διώκταις καὶ ὁμολογεῖ τὴν πίστιν αὐτοῦ εἰς τὸν Χριστόν, ἐπιβεβαιῶν αὐτὴν διὰ τοῦ ἀκολουθοῦντος μαρτυρίου.

Ὁ διώκτης ἐν ἀρχῇ καλεῖ τὸν Μάρτυρα, ὅπως ἐγκαταλείψῃ τὴν πίστιν αὐτοῦ καὶ θύσῃ τοῖς θεοῖς. Ὁ Μάρτυς παραμένει ἀκλόνητος. Ἄρχονται τὰ μαρτύρια, αὐξανόμενα ἀπὸ τῶν ἀπηνῶν εἰς τὰ ἀπηνέστερα, ἀλλ᾽ εἰς μάτην. Ἀκολουθοῦσι δελεασμοὶ καὶ τούτοις πάλιν μαρτύρια. Ὁ Μάρτυς προσηλοῦται καὶ ἐπὶ ξύλου. Κατὰ τὸ μαρτύριον τελοῦνται θαύματα. Ἄγγελος παρουσιάζεται τῷ Μάρτυρι, κρατύνων καὶ ἰώμενος αὐτόν. Διῶκται καὶ θεαταὶ εἰδωλολάτραι, θαυμάζοντες τὴν πίστιν τοῦ Μάρτυρος καὶ θεώμενοι τὰ τελούμενα θαύματα, ὁμολογοῦσι πίστιν τῷ Χριστῷ καὶ δέχονται τὸ ὑπὲρ Αὐτοῦ μαρτύριον.

Ἐν τέλει ὁ Μάρτυς τελειοῦται ξίφει ἢ ἀποτέμνεται τὴν κεφαλήν. Εὐσεβεῖς κηδεύουσι τὸ σῶμα αὐτοῦ καὶ τιμῶσι πανηγύρει τὸν Μάρτυρα, ὡς ἔχοντα παῤῥησίαν παρὰ τῷ Θεῷ.

Ὁ τάφος τοῦ Μάρτυρος εὐωδιάζει, βρύων πνευματικὰ μύρα πρὸς εὐλογίαν τῶν πίστει προστρεχόντων.

Οἱ στρατιωτικοὶ Ἅγιοι εἶναι τῇ ἀληθείᾳ στρατιῶται τοῦ Οὐρανίου Βασιλέως, οὐχὶ κατὰ τὸ φαινόμενον τῶν ἐπιγείων ἀρχόντων.

Ἡ τήρησις τῆς πτέρνας τοῦ σπέρματος τῆς γυναικὸς ὑπὸ τοῦ ὄφεως τὴν Σταύρωσιν τοῦ Χριστοῦ σημαίνει.

Ἡ τήρησις τῆς κεφαλῆς τοῦ ὄφεως ὑπὸ τοῦ σπέρματος τῆς γυναικὸς τὴν νίκην τοῦ Χριστοῦ κατὰ τοῦ ἄρχοντος τοῦ κόσμου τούτου διαβόλου σημαίνει.

Τὸ μαρτύριον τῶν Ἁγίων τὸ Πάθος τοῦ Χριστοῦ σημαίνει.

Ἡ προσήλωσις ἐπὶ σταυροῦ τῶν Ἁγίων τὴν Σταύρωσιν τοῦ Χριστοῦ σημαίνει.

Ἡ δρακοντοκτονία τὴν κατανίκησιν τοῦ βυθίου δράκοντος ὑπὸ τοῦ Ἀρχαγγέλου Μιχαὴλ σημαίνει.

Ἡ φυλακὴ τοῦ Ἁγίου τὸν τάφον τοῦ Χριστοῦ σημαίνει.

Ἡ λύσις τῶν δεσμωτῶν τὴν ἐν Χριστῷ ἀνάστασιν σημαίνει.

Ἡ ἴασις τῶν ἀσθενειῶν τὴν ἀποκατάστασιν ἐν τῇ οὐρανίῳ βασιλείᾳ τοῦ Χριστοῦ σημαίνει.

Οἱ Ἅγιοι διὰ τοῦ πάθους αὐτῶν νικῶσι τὸν κόσμον, καθὰ εἶπεν ὁ Χριστός:

*«Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον»* (Ἰω ιστ΄ 33).

Ἐβεβαίωσεν ὁ Χριστὸς ὅτι ὁ ἀναγεγεννημένος ἐκ τοῦ Θεοῦ νικᾷ τὸν ἀντιτιθέμενον κόσμον διὰ τῆς πίστεως:

*«Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν»* (1Ἰω ε΄ 4).

www.tezaurliturgic.ro



# ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΠΡΟΚΟΠΙΟΣ

Ὁ Ἅγιος Μεγαλομάρτυς Προκόπιος ὡρμᾶτο ἀπὸ τῆς πόλεως Αἰλίας, ὡς ὠνομάσθη ἡ Ἱερουσαλὴμ ἐκ τῆς οἰκογενείας τοῦ αὐτοκράτορος Ἀδριανοῦ μετὰ τὸν δεύτερον ἰουδαϊκὸν πόλεμον. Ἐμαρτύρησεν ἐν Καισαρείᾳ τῆς Παλαιστίνης, τῇ ἐπιλεγομένῃ Παραλίῳ, ἐπὶ αὐτοκράτορος Διοκλητιανοῦ. Ἡ μνήμη αὐτοῦ τιμᾶται τῇ ὀγδόῃ Ἰουλίου.

Κατὰ τὸν ἐπίσκοπον Καισαρείας Εὐσέβιον, συγγράψαντα τὸ μαρτύριον τοῦ Ἁγίου Προκοπίου, οὗτος ὑπῆρξεν ὁ πρῶτος μάρτυς τῆς Παλαιστίνης. Διάφοροι πράξεις περὶ αὐτοῦ παραδίδουσι ποικίλα στοιχεῖα. Ἐθνικὸς κατὰ τὴν νεότητα αὐτοῦ, ἐπίστευσεν εἰς τὸν Χριστόν, τιμηθεὶς ἐν Σκυθοπόλει, πόλει ἐν τῇ βορείῳ Παλαιστίνῃ, ὡς ἀναγνώστης καὶ ἐπορκιστής. Ἀνεγίνωσκε τὰς βίβλους τῶν Προφητῶν καὶ τῶν Ἀποστόλων. Διηρμήνευεν ἐν τῇ Συριακῇ γλώσσῃ. Ὀχυρώσας ἑαυτὸν νηστείᾳ καὶ προσευχῇ, ἐπεκράτει πάντοτε τῶν παθῶν. Διὰ τῆς σφραγῖδος τοῦ Θεοῦ καὶ τοῦ λόγου αὐτοῦ ἰᾶτο δαιμονιῶντας καὶ προσετίθει πλήθη τῷ Χριστῷ. Ὁ ἐπίσκοπος Κύριλλος Σκυθοπόλεως καὶ τὸ Πασχάλιον Χρονικὸν μαρτυροῦσι τὴν τιμὴν τοῦ Ἁγίου Προκοπίου ἐν Σκυθοπόλει καὶ Καισαρείᾳ.

Κατὰ τὰς ποικίλας πράξεις αὐτοῦ ὁ Ἅγιος Προκόπιος ἐμφα-

νίζεται ὡς ἀσκητής, ὡς στρατιώτης καὶ ὡς Μάρτυς. Ἐχρημάτισε δοὺξ Ἀλεξανδρείας, διορισθεὶς ὑπὸ τοῦ αὐτοκράτορος. Κατὰ τὰς συζητήσεις αὐτοῦ πρὸς τὸν δικαστὴν Φλαβιανὸν ἀποδεικνύεται εἰδήμων τῆς θύραθεν γραμματείας, ὑποστηρίζων τὰς θέσεις αὐτοῦ περὶ Θεοῦ δι᾽ ἀναφορᾶς τοῦ Ἑρμοῦ τοῦ Τρισμεγίστου, τοῦ Ὁμήρου, τοῦ Πλάτωνος, τοῦ Ἀριστοτέλους, τοῦ Σωκράτους, τοῦ Γαληνοῦ καὶ τοῦ Σκαμάνδρου.

Ὁ Ἅγιος Προκόπιος ἐστάλη μετὰ συντρόφων αὐτοῦ ἐκ Σκυθοπόλεως εἰς Καισάρειαν. Παρελθὼν τὰς πύλας τῆς πόλεως, εὑρέθη πρὸ τοῦ ἐπάρχου τῆς πόλεως Φλαβιανοῦ, ἐποπτεύοντος ἀνεγειρόμενον εἰδωλολατρικὸν ναόν. Ἐκλήθη, ὅπως προσφέρῃ θυσίαν τοῖς θεοῖς, ἀλλ᾽ οὗτος ἠρνήσατο, ὁμολογήσας ὅτι εἶναι χριστιανός. Ὡδηγήθη ἐπὶ δικαστηρίῳ, προκαθίσαντος τοῦ Φλαβιανοῦ. Ὁ ὄχλος ἐμαίνετο κατ᾽ αὐτοῦ, κράζων: «*Οὗτός ἐστιν ὁ ἀνατρέπων τὰς τῶν θεῶν θυσίας καὶ τῶν ἡμετέρων θεῶν καθαιρέτης.*» Ἤρξατο τότε εἷς διάλογος μεταξὺ τοῦ εἰδωλολάτρου ἄρχοντος καὶ τοῦ χριστιανοῦ Μάρτυρος. Ὁ πεπαιδευμένος συντάκτης τῶν πράξεων τοῦ Ἁγίου Προκοπίου εὑρίσκει εὐκαιρίαν, ὅπως διὰ τῶν λόγων αὐτοῦ ἐκφράσῃ τὴν Θεολογίαν καὶ τὴν Ἀπολογητικὴν τῆς Ἐκκλησίας. Διακηρύσσει ὁ Μάρτυς:

«*Θεὸς γὰρ ἀληθῶς ὁ Χριστός, ἐπειδὴ ἐκ τοῦ πατρὸς οὗτος μονογενὴς γνήσιος υἱὸς ὑπάρχει· τὸν υἱὸν τοίνυν τοῦ Θεοῦ ἐπιγνόντες ἐν τῇ τοῦ πατρὸς θεότητι ὁμοούσιον ἀιδίως συμβασιλεύοντα, θρησκεύομεν ἀπαραλλάκτως.*»

Πληρῶν τὴν θεματολογίαν τῶν μαρτυρίων, ὁ Φλαβιανὸς ἄρχεται τῶν συμβουλῶν καὶ τῶν ἀπειλῶν:

«*Πρὶν οὖν τῶν κατὰ σοῦ βασάνων ἄρξωμαι, συμβουλεύω σοι παύσασθαι μὲν τῆς ἀσεβοῦς θρησκείας, ἀρνήσασθαι δὲ ἐπαισχυνθέντα τὴν ἀλογωτάτην φρόνησιν τῶν ἀνόμων χριστιανῶν,*

*φιλοσοφεῖν δὲ τοῦ λοιποῦ τὸν ἑλληνικὸν βίον καὶ ἀπολαύειν τῶν αὐτοῦ ἀρετῶν, καλλίστων οὐσῶν τοῦ παντὸς βίου, πεισθῆναι δὲ καὶ βασιλεῦσι, τὰ ἐξ ἐκείνων μεγάλα δῶρα ἀπεκδεχόμενον. Εἰ δὲ παρακοῦσαι θελήσεις τῆσδε ἡμῶν τῆς παραινέσεως, πᾶσαν στρέβλωσιν ὑπομείνας ἐπὶ τέλει πληρώσεις τὰ προσταττόμενα.»*

Ὁ Μάρτυς ἀπήντησε τῷ τυράννῳ γενναιοφρόνως:

*«Ὅσοι δὲ ἐν καθαρῷ καρδίας ὄμματι τῇ τοῦ Θεοῦ δυνάμει πεπιστεύκασιν, οὗτοι τὰς βασάνους διὰ τὸν Χριστὸν ὡς ἐν ἀλλοτρίῳ σώματι ἐδέξαντο. Ἐπεὶ οὖν τὸν ὄντως ὄντα Θεὸν ἠγνόηκας, σὺ μὲν θῦε καὶ μαγείρευε, λυττώντων κυνῶν δίκην, τὰ τῶν ἀνθρώπων σώματα καταξαίνων.»*

Ὁ διάλογος Φλαβιανοῦ καὶ Ἁγίου Προκοπίου συνεχίζεται, ὡς ἐν ἀρχῇ, καὶ ἄρχεται τὸ στάδιον τῶν μαρτυρίων. Πολλὰ ὑπομείνας ὁ Μάρτυς, ἀναρτᾶται καὶ ἐπὶ ξύλου, κεντώμενος τὰς πλευράς. Μετὰ ταῦτα ὁ Φλαβιανὸς προστάσσει τῷ σπεκουλάτορι Ἀρχελάῳ, ὅπως διαχειρισθῇ τὸν Μάρτυρα διὰ ξίφους. Ὁ σπασάμενος τὸ ξίφος στρατιώτης παρέλυσε τὴν χεῖρα καί, πεσὼν ἐπὶ τὴν γῆν, ἐξέψυξε. Ὁ Φλαβιανὸς ἐνέκλεισε τὸν Μάρτυρα εἰς φυλακήν, ἐλπίζων εἰς πειθὼ τούτου τοῖς κελεύσμασι. Ὁ Μάρτυς ἐν τῇ φυλακῇ προσηύχετο, θεολογῶν, ὡς ἐν τοῖς διαλόγοις αὐτοῦ.

Μετὰ τρεῖς ἡμέρας ἀπὸ τῆς φυλακίσεως τοῦ Μάρτυρος, προκαθίσας ὁ Φλαβιανός, ἐκέλευσεν, ὅπως προσαχθῇ οὗτος ἐπὶ δικαστηρίῳ, ἵνα μάθῃ ἂν ἐμάλαξαν τοῦτον αἱ βάσανοι, ὥστε νὰ θύσῃ τοῖς θεοῖς. Ὁ Μάρτυς παρέμεινεν ἀκλόνητος, καὶ τὰ ἀπηνῆ βασανιστήρια ἐσυνεχίσθησαν.

Ὁ Φλαβιανὸς ἀπεφάσισεν, ὅπως ὑποχρεώσῃ τὸν Μάρτυρα, ἵνα προσφέρῃ θυσίαν τοῖς θεοῖς, καὶ ἄκων. Ἐκέλευσεν, ὅπως προσαχθῇ βωμὸς καὶ ἁπλωθῇ ἡ δεξιὰ χεὶρ τοῦ Μάρτυρος ὑπεράνω αὐτοῦ. Ἡ παλάμη ἐπληρώθη ἀνημμένων ἀνθράκων καὶ

ἐπὶ τοῦ πυρὸς ἐπετέθη λίβανος. Ἐὰν ἔστρεφε τὴν χεῖρα καὶ ἔῤῥιπτε τὸν λίβανον ἐπὶ τοῦ βωμοῦ, θὰ ἐθεωρεῖτο ὅτι προσέφερε σπονδὴν τοῖς θεοῖς. Ἀλλ᾿ ὁ Μάρτυς γενναίως ἔφερεν, ἐπιλαθόμενος ὅτι εἶχε χεῖρα. Τὸ μαρτύριον τῶν ἀνημμένων ἀνθράκων ἐν τῇ παλάμῃ ὑπέμειναν ὁ Ἀντιοχεὺς Ἅγιος Βαρλαὰμ καὶ αἱ Κυρηναῖαι Ἁγίαι Λουκία καὶ Κυπρίλλα.

Ἐν τέλει ὁ Φλαβιανὸς ἀπεφήνατο κεφαλικὴν τιμωρίαν κατὰ τοῦ Ἁγίου Προκοπίου. Οἱ πρὸς τοῦτο ἐντεταλμένοι ἐξήγαγον τὸν Ἅγιον ἔξω τῆς πόλεως. Οὗτος προσηύξατο ὑπὲρ τοῦ κόσμου τῷ Θεῷ καί, προτείνας τὸν τράχηλον, ἀπετμήθη τὴν καφαλήν. Ἐλθόντες οἱ Χριστιανοί, παρέλαβον τὸ σῶμα τοῦ Μάρτυρος καὶ κατέθεντο ἐν τόπῳ σεμνῷ.

Ὁ Μάρτυς Προκόπιος εἰκονίζεται ἀγένειος νέος μετὰ μελαίνης βοστρυχωτῆς περὶ τὰ ὦτα κόμης, φέρων πλήρη ὁπλισμὸν καὶ φορῶν περὶ τὸν λαιμὸν μανιάκιον, ἤτοι περιαυχένιον.

Τὸ μαρτύριον τοῦ Ἁγίου Μάρτυρος Προκοπίου τρέχει οὕτω:

*«Εἰ τὰ παλαιὰ τῆς πίστεως δόγματα δόξαν Θεοῦ φανεροῦντα καὶ οἰκοδομὴν ἀνθρώποις ἀποτελοῦντα πεφανέρωται, πολλῷ μᾶλλον τὰ νῦν πραχθέντα διὰ τῶν ἁγίων μαρτύρων· γενήσεται γὰρ τοῖς μεθ᾿ ἡμᾶς καὶ ἀναγκαῖα καὶ τίμια. Ποικίλαι μὲν γὰρ τοῦ διαβόλου μηχαναὶ κατὰ τῶν τοῦ Χριστοῦ δούλων ἐκινοῦντο, ποικιλωτέρα δὲ καὶ μείζων ἡ τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ εἰς τοὺς ἰδίους δούλους ῥοπή. Ὁ μὲν γὰρ οὐχ αἷμα καὶ σάρκα τοῖς φύσει χριστιανοῖς ἀνθίστησιν, ἀλλὰ πνευματικὰς πονηρίας, ἡ δὲ τοῦ Θεοῦ βοήθεια ἰσχυροτέρους τοὺς ἑαυτοῦ ἀθλητὰς ἀποδείκνυσιν πιστούς τε καὶ δυνατοὺς ἐκ τῆς τῶν γενναίων μαρτύρων ὑπομονῆς, τοῦ μὲν διαβόλου πλατυτέραν τὴν λύσσαν κατὰ τῆς εὐσεβείας ἐκτείναντος, τοῦ δὲ σωτῆρος Χριστοῦ τοῖς γνησίοις ἀθληταῖς τὰς ἐπηγγελμένας παρ᾿ αὐτοῦ χάριτας*

*ἐφαπλώσαντος· ὅπερ πεποίηκεν ὁ Θεὸς καὶ ἐπὶ τοῦ μακαρίου Προκοπίου· τὰ γὰρ πολύτροπα τῶν δαιμόνων μηχανήματα... ἰσχυροτέρους τοὺς λογισμοὺς ἐποίησεν τῆς τῶν ἀπειλούντων μανίας.*

*Βασιλεύοντος τοίνυν Διοκλητιανοῦ τοῦ τυράννου καὶ τῇ λαγνείᾳ τῶν εἰδώλων ἐκβακχεύοντος καὶ λυμαινομένου τὰς τοῦ Χριστοῦ ἐκκλησίας, δόγμα ἐκτίθεται κατὰ πάσης τῆς οἰκουμένης κατὰ τοῦ γένους τῶν χριστιανῶν. Ἐν εἰρήνῃ γοῦν ἔτι τῶν ἐκκλησιῶν διαγουσῶν καὶ τῶν θεσμῶν συνήθως ἐπιτελουμένων ἀρχήν τε λαβόντος τοῦ διωγμοῦ γραμμάτων τε καὶ συνθεμάτων Διοκλητιανοῦ τοῦ βασιλέως φοιτησάντων εἰς τὴν οἰκουμένην, θαῤῥοῦν τῇ τῶν κρατούντων ἀρχόντων δεινότητι φθάνει καὶ ἕως κατὰ τῆς Παλαιστίνης τὸ τοῦ βασιλέως δόγμα, περιέχον τὴν κέλευσιν ταύτην.*

*«Βασιλεὺς μέγας αὐτοκράτωρ Διοκλητιανός, παντὸς λαοῦ καὶ ἔθνους, ἀνθρώπων, φυλῶν καὶ γλωσσῶν δεσπότης, πᾶσι τοῖς εὐνοϊκῶς διακειμένοις περὶ τοὺς ἀηττήτους θεοὺς χαίρειν. Διὰ παντὸς πᾶσαν σπουδὴν χρήσασθε εἰς τὴν τῶν μεγίστων θεῶν θεραπείαν καὶ εἰς εὐεργεσίαν τοῦ ἐμοῦ κράτους ἀνεγείρειν τοὺς τῶν θεῶν ναοὺς καὶ τὰς θυσίας αὐτῶν καὶ τὰς ἑορτὰς μετ᾽ εὐφροσύνης ἐμφανῶς ἐκτελεῖν· ἐμηνύθη γὰρ περί τινων ἀνθρώπων ἑτεροδιδασκαλούντων καὶ ξένα ἤθη εἰσαγόντων εἰς τὰς ἀκοὰς τῶν ἐμῶν οἰκετῶν ἄφνω ἀναφανέντων τῇ οἰκουμένῃ παρὰ τὸν θεσμὸν τῶν μεγίστων θεῶν καὶ τὰ μὲν ἱερὰ διδασκόντων καταλύεσθαι, ἅπερ οἱ πρόγονοι ἤγειραν, τὰς δὲ ἐπιφανεῖς καὶ λαμπρὰς ἑορτὰς ἀπαγορευόντων. Ἐπεὶ οὖν τινες τῶν ἡμετέρων τρόπον ἀθεότητος κεκορεσμένοι καὶ μανίαν εἰς ἑαυτοὺς ἔχοντες ἐν ἀσεβείᾳ τὰς ἑαυτῶν ψυχὰς ἐκδεδώκασιν καὶ κρίσει ἀνεκδιηγήτῳ ἄνθρωπον βιοθανῆ, οὐκ οἶδα πῶς, ἐπιφημίζουσι Θεὸν εἶναι καὶ οὐ μόνον ἑαυτοὺς δελεάζουσιν ἀλλ᾽ ὅλον ἤδη τὸν κόσμον*

*μέλος αὐτοῖς ἐπᾴδοντες καταγοητεύουσι καὶ ἀθρόως πολλοὺς εἰς ἀπώλειαν ἐφέλκονται καὶ τὴν ἐκείνου μοῖραν ἑκάστῳ αὐτῶν ἐπὶ ποθητὺν ἄγουσιν, θρασύνονται δὲ κατὰ τῶν ἡμετέρων καὶ τοὺς θεοὺς βλασφημοῦσιν καὶ τοὺς ἀκεραιοτέρους ἡμῶν ἐξ ἀπατηλῶν λόγων μεταπείθουσιν εἰς τὴν ἰδίαν αὐτῶν δυσσέβειαν καὶ μυθολογίᾳ γαυρούμενοι ἀσυνθετοῦσι τοὺς ἡμετέρους νόμους καὶ τὴν τῶν θεῶν προσκύνησιν ἀποστρέφονται· μυστικὰ γὰρ ἔχουσίν τινα γράμματα, ἅπερ εὐαγγέλια προσαγορεύουσιν· καὶ δι᾿ αὐτῶν ἐκ γυναικὸς γεγεννημένον τινὰ κακουργὸν ὡς Θεὸν παρεισφέρουσιν ἀνατρέποντες ἡμῶν τὰς θυσίας καὶ τὰς τελετάς, ὡς ἀδυνατούσης τῆς βασιλείας μου πρὸς ἄμυναν τῶν κακῶν, καὶ κατὰ πάντα δυστροπεύονται πρὸς καθαίρεσιν τῶν θεῶν καὶ τῆς βασιλείας μου καὶ βούλονται δεῖξαι τὴν ἡμετέραν εἰς πάντας ἀνθρώπους πραότητα ὡς ἀδυνατοῦσαν καὶ νωθράν, εἰς ἐκδίκησιν τῶν ἡμετέρων θεῶν ἀσθενεστέρους ἡμᾶς ἐπιδεικνύντες, προδοσίᾳ τινὶ καθ᾿ ἡμῶν ἀγωνιζόμενοι· διὰ ταῦτα ἐκτίθημι δόγμα, ἐν παντὶ τόπῳ τῆς βασιλείας μου μιᾶς θρησκείας ὄντας ἅπαντας ἐξευμενίζειν τὸ θεῖον αὐτοῖς τε καὶ ἡμῖν· εἰ δέ τινες μὴ βούλοιντο ταῦτα φρονεῖν, τῇ ταχίστῃ τιμωρίᾳ ὡς ἀποστατοῦντας ἀφ᾿ ἡμῶν δημοσίῳ ξίφει ἀπαλλάττεσθαι αὐτοὺς τοῦ ζῆν κελεύω, τοὺς δὲ πειθομένους τῷ νεύματι τοῦ κράτους μου πέντε μυριάδας ἀργυρίου προστάττω λαμβάνειν ἐκ τοῦ ἐμοῦ παλατίου τιμῆς τῆς εἰς τοὺς θεοὺς ἕνεκα καὶ εὐσχημονοῦντας ἀζήμιον τὸν πάντα χρόνον διατελεῖν· ἐῤῥωμένους ὑμᾶς τοῖς θεοῖς εὔχομαι.»*

*Δεξάμενοι οὖν οἱ κατὰ τόπον ἄρχοντες τὸ πρόσταγμα ὥσπερ τινὲς θῆρες συναρπάζοντες τοὺς τῆς εὐσεβείας ἐραστὰς ἔφερον πρὸς τὴν τῆς εἰδωλολατρίας ἀπάτην. Ἐπεδήμησεν δὲ καὶ ἐν τῇ Καισαρέων πόλει δεινός τις ἄρχων τοὔνομα Φλαβιανός, τὴν μὲν ψυχὴν ἀνηλεής, τὸν δὲ τρόπον ἀνήμερος, ὑπερβολῇ δὲ κακίας πολιτευόμενος, πάσῃ ὠμότητι τὴν ἐν ἀνθρώποις*

*πονηρίαν ὑπερβάλλων, ὡς μηδὲ λογίζεσθαι αὐτὸν τῆς αὐτῆς φύσεως πάντας ὑπάρχειν.*

*Ὁ δὲ μακάριος Προκόπιος ἀπὸ τῆς Αἰλίων πόλεως ὡρμᾶτο, ἐκ τῶν τόπων τοῦ πανσεβασμιωτάτου σταυροῦ ἀναφυείς, τῇ τῶν ἀναγνωστῶν ἅμα καὶ ἐπορκιστῶν χάριτι τετιμημένος διὰ τὸν ἀγγελικὸν αὐτοῦ βίον, θεοφόρος τὴν γνῶσιν δι᾽ ὧν ἀνεγίνωσκεν τὰς τῶν προφητῶν καὶ ἀποστόλων βίβλους καὶ τὴν τῶν πιστευόντων ἀκοὴν βεβαιοτέραν εἰργάζετο· ἦν γὰρ καὶ τῷ λόγῳ μελίῤῥυτος, ὡς πάντας τοὺς ἀκούοντας αὐτοῦ θέλγεσθαι τῆς ἐκ τῶν λόγων αὐτοῦ ἀποσταζούσης γλυκύτητος· νηστείᾳ τε καὶ προσευχῇ οὕτως ὠχύρωτο, ὡς μηδὲ χρείαν ἐπερωτᾶν, τί τὸ τῆς ψυχῆς ἐπιτήδευμα, ἀλλὰ πάντας γινώσκειν Χριστὸν Θεὸν τὸν ὑπ᾽ αὐτοῦ κηρυττόμενον εἶναι. Οὗτος ὡς ἀληθῶς φερώνυμος πίστει καὶ εὐσεβείᾳ κεκοσμημένος οὐκ ἠρνεῖτο τοῖς ἔργοις τὸ ὄνομα οὐδὲ ἐψεύδετο τῇ προσηγορίᾳ τὰ ἔργα, ἀλλ᾽ ἦν Προκόπιος ἐν προκοπῇ· προέκοπτεν οὖν ζήλῳ καὶ ἀνδρείᾳ, τοῖς οὐρανίοις περιπολῶν, ῥήματι Χριστοῦ τὴν ἑαυτοῦ διάνοιαν καθοπλίσας, ὑπ᾽ οὐδενὸς πονηροῦ διοχλούμενος, ἀεὶ πάθους ἐπικρατεῖν δυνάμενος, πᾶσαν ὥραν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ διάγων, δεόμενος τοῦ Κυρίου τὴν τῆς δυσσεβείας ἀνομίαν σταλῆναι. Ἦν δὲ ὁ ἅγιος τοιοῦτος, ὡς πολλάκις καὶ δαιμονῶντας ἀνθρώπους ῥήματι γυμνῷ καὶ σφραγῖδι τοῦ σωτῆρος Θεοῦ ἐπορκίζων, ἀναχωρεῖν τοῦ πλάσματος ἐκέλευεν. Οἱ οὖν δαίμονες τοῖς προσταχθεῖσιν ὑπήκουον μετ᾽ ἀνάγκης, ἀναβοῶντες τὸν διὰ τοῦ ἁγίου Προκοπίου τοιαῦτα κατ᾽ αὐτῶν δυνάμενον Θεόν, δεόμενοι ἱλεωθῆναι τῆς κατ᾽ αὐτῶν τιμωρίας· ἐπέτατττε γοῦν τοῖς δαίμοσιν ὡς ἀλόγοις ζῴοις· πολλὰ τοίνυν πλήθη προσετίθετο τῇ τοῦ Κυρίου πίστει. Ταῦτα δὲ πάντα οὐκ ἐλάνθανε τὸν Φλαβιανόν, ὥς τινα πηγὴν τῶν χριστιανῶν εἶναι τὸν μακάριον Προκόπιον. Ἐκέλευσε τοίνυν συλληφθῆναι αὐτὸν καὶ προσα-*

*ναχθῆναι αὐτῷ. Οἱ δὲ συλλαβόμενοι τὸν ἀθλητὴν τοῦ Χριστοῦ ἦλθον πρὸ τῶν πυλῶν Καισαρείας, ἔνθα ἦν ὁ Φλαβιανός, ἐποπτεύων τὴν οἰκοδομὴν τοῦ ναοῦ.*

*Προκαθίσαντος δὲ αὐτοῦ, εἰσήχθη ὁ μακάριος. Θεασάμενον δὲ αὐτὸν τὸ πλῆθος τῆς πόλεως τῷ τῶν εἰδώλων παραπληξίᾳ μεθύον ἐπλανᾶτο. Οἱ μὲν γὰρ τῶν πλουσίων ὄχλοι, παραπλησίως δὲ καὶ ὁ δῆμος ἐμαίνετο· καὶ τῷ μὲν λόγῳ ἦσαν κτηνωδέστεροι, τῷ δὲ ἔργῳ ἀσεβέστεροι, θηριώδεις τε τῇ ψυχῇ καὶ τῇ θεωρίᾳ μανιώδεις, κράζοντες ἔμπροσθεν τοῦ Φλαβιανοῦ· «Οὗτός ἐστιν ὁ ἀνατρέπων τὰς τῶν θεῶν θυσίας καὶ τῶν ἡμετέρων ἐθῶν καθαιρέτης, ὡς καὶ ἐν χλεύῃ διασῦραι τὸ βασιλικὸν πρόσταγμα.» Ταῦτα ἀκούσας ὁ Φλαβιανὸς ὥσπερ ὑπὸ πνεύματος πονηροῦ τὴν ψυχὴν ἀγριωθεὶς καὶ διατρέψας τὰς ὄψεις λέγει πρὸς τὸν μακάριον· «Τίς λέγῃ;» Ὁ δὲ ἔφη· «Ἐγὼ χριστιανός εἰμι, καλοῦμαι δὲ Προκόπιος.» Καὶ ὁ Φλαβιανὸς ἔφη· «Σὺ μόνος ἠγνόηκας τὰς θείας νομοθεσίας, ὡς κελεύουσιν οἱ ἄχραντοι αὐτῶν νόμοι θύειν ὑμᾶς τοῖς θεοῖς ἢ ἐν δειναῖς τιμωρίαις ἐξεταζομένους τοῦ ζῆν ἀπαλλάττεσθαι; θαυμάζω δέ, πῶς ἐν τοσαύτῃ ἡλικίᾳ ἐληλακὼς παραπαίειν ἀνέχῃ, πῶς δὲ καὶ ἄλλους διδάσκων αὐτὸς τὸ φρονεῖν ἀπεστέρησαι. Ταῦτα δέ σοι παραινῶ ἀποστῆναι τῆς ἀπιθάνου θρησκείας· Θεὸν γὰρ ἐκ γυναικὸς γεγεννῆσθαι καὶ τοῦτον ἐσταυρῶσθαι γελοῖόν μοι εἶναι δοκεῖ. Σπεῖσον οὖν θεοῖς καὶ προσκύνησον τῇ εἰκόνι τοῦ βασιλέως, ἢ παρακούσας ἐν ποικίλαις κολάσεσιν ἐξετασθήσῃ, τοῦ βίου κακῶς ἀπαλλάξας. Σωφρονιζέτω δέ σε καὶ τὰ τῶν προλαβόντων πάθη.»*

*Τούτων τῶν ῥημάτων ἐπακούσας ὁ μακάριος, καθαρῷ τῷ λογισμῷ τὴν πίστιν περιζωσάμενος καὶ διπλασιάσας τὴν ἐν Χριστῷ ἐπιθυμίαν, ἔφη· «Εἴθε μοι τοσοῦτον χάριτος ὁ Θεὸς ὁ τὰ πάντα διὰ Χριστὸν δωρούμενος ἐπεμέτρησεν, ὡς ἐξισχῦσαί*

www.tezaurliturgic.ro

με ἀποστῆσαί σε καὶ τὸν βασιλέα σου ἀπὸ τῆς ἀλόγου ταύτης καὶ ἀθεμίτου μανίας. Ἐπειδὴ δὲ ἀνιάτως ἔχετε πάλαι τῇ ματαιότητι κακῶς προτετυγμένοι· ἐχρῆν μὲν γάρ σε τὸν δημιουργὸν καὶ βασιλέα οὐρανοῦ καὶ γῆς ἐπιγινώσκειν εὐσεβῶς καὶ εἰς τὸν αἴτιον τῶν ἀγαθῶν πιστεύειν, ὅτι ἀληθὴς Θεὸς φύσει θείᾳ ἀκατάληπτός ἐστιν σωτηρίας ἡμῖν αἰτία καὶ τοῦ παντὸς κόσμου, καὶ τοῦτον εἶναι ἄτρεπτον ἐν ἀμεταλλάκτῳ φύσει ἑαυτὸν εἰδότα μόνον· εἰ δὲ βούλει μαθεῖν ἐκ τῶν τοῦ κόσμου φιλοσόφων, ἐν τούτοις μάλιστα ἡττᾶσθαι ὑμᾶς πέπεισμαι. Εὑρήσεις γὰρ Ἑρμῆν τὸν παρ᾽ ὑμῖν Τρισμέγιστον, Ὅμηρόν τε, Πλάτωνα, Ἀριστοτέλην καὶ Σωκράτην, Γαληνόν τε καὶ Σκάμανδρον ἕνα ἓν κηρύξαντας· τοὺς δὲ ἐξ ἀνθρώπων γινομένους θεοὺς ἢ ὀνομασθέντας τούτους εἰς τὰ σφαλερὰ καὶ κινδυνώδη φέρεσθαι ἐτραγῴδησαν· ὧν μάλιστα ὁ κορυφαιότατος τῶν ποιητῶν Ὅμηρος αἰσχύνην ἀνηγόρευσεν. Ἐπειδὴ δὲ εἴρηκας τὸν Χριστὸν ἐκ γυναικὸς γεγεννῆσθαι καὶ ἐσταυρῶσθαι, ἔστι τις ἀπόῤῥητος ἀγαθότης, ἣν πολλοὶ ἀγνοήσαντες οὐκ ἐπέγνωσαν τὸ ἀληθὲς πρὶν ἢ πιστεῦσαι αὐτούς. Θεὸς γὰρ ἀληθῶς ὁ Χριστός, ἐπειδὴ ἐκ τοῦ πατρὸς οὗτος μονογενὴς γνήσιος υἱὸς ὑπάρχει· τὸν υἱὸν τοίνυν τοῦ Θεοῦ ἐπιγνόντες ἐν τῇ τοῦ πατρὸς θεότητι ὁμοούσιον ἀιδίως συμβασιλεύοντα, θρησκεύομεν ἀπαραλλάκτως· εἰ δὲ βούλει περὶ θεοσεβείας ἀκοῦσαι, δὸς ἡμέραν καὶ ἄκουσον. Ἐγὼ τοίνυν χριστιανός εἰμι, διὰ τῆς ἐπικλήσεως τοῦ σωτῆρος Χριστοῦ δαίμονας, οὓς ὑμεῖς προσκυνεῖτε, φυγαδεύων.»

Ὁ δὲ Φλαβιανὸς διασῦραι τὰ ὑπὸ τοῦ ἁγίου ῥηθέντα βουλόμενος ἔφη· «Καλῶς ἡμῖν πεφανέρωκας περὶ θεοσεβείας, ὁ τὰς κλεῖς τῶν οὐρανῶν καὶ τὰς τοῦ Θεοῦ σφραγῖδας ἐπικομιζόμενος· πρὶν οὖν τῶν κατὰ σοῦ βασάνων ἄρξομαι, συμβουλεύω σοι παύσασθαι μὲν τῆς ἀσεβοῦς θρησκείας, ἀρνήσασθαι δὲ ἐπαισχυνθέντα τὴν ἀλογωτάτην φρόνησιν τῶν ἀνόμων χριστιανῶν, φιλοσοφεῖν δὲ

www.tezaurliturgic.ro

*τοῦ λοιποῦ τὸν ἑλληνικὸν βίον καὶ ἀπολαύειν τῶν αὐτοῦ ἀρετῶν, καλλίστων οὐσῶν τοῦ παντὸς βίου, πεισθῆναι δὲ καὶ βασιλεῦσι, τὰ ἐξ ἐκείνων μεγάλα δῶρα ἀπεκδεχόμενον. Εἰ δὲ παρακοῦσαι θελήσεις τῆσδε ἡμῶν τῆς παραινέσεως, πᾶσαν στρέβλωσιν ὑπομείνας ἐπὶ τέλει πληρώσεις τὰ προστατόμενα.»*

*Προκόπιος λέγει· «Οἷς τὸ ἀληθὲς τῆς εὐσεβείας φῶς οὐ κατοπτεύθη, δισταζόντων τῇ διανοίᾳ, τούτων αἱ σύμμαχοι τῆς πλάνης βάσανοι κατεκράτησαν· ὅσοι δὲ ἐν καθαρῷ καρδίας ὄμματι τῇ τοῦ Θεοῦ δυνάμει πεπιστεύκασιν, οὗτοι τὰς βασάνους διὰ τὸν Χριστὸν ὡς ἐν ἀλλοτρίῳ σώματι ἐδέξαντο. Ἐπεὶ οὖν τὸν ὄντως ὄντα Θεὸν ἠγνόηκας, σὺ μὲν θῦε καὶ μαγείρευε, λυττώντων κυνῶν δίκην τὰ τῶν ἀνθρώπων σώματα καταξαίνων· καὶ οὐκ αἰσθάνῃ θεομαχῶν, λιθοειδεῖ ἀνθρώπῳ μεμορφωμένῳ τράπεζαν καὶ σπονδὴν ἐπιφέρων. Εἰ μὲν γὰρ καλὸς ὁ λίθος καὶ ὡς θεὸς παρ᾽ ὑμῖν τιμᾶται, μὴ τέμνε τοῦτον καὶ χώριζε εἰς πολλὰς μοίρας ἀπομερίζων πέτραν· καὶ λαβὼν τῷ μὲν ὡς Θεῷ προσεκύνησας καὶ λιβάνῳ καὶ θυσίαις ἐδόξασας, τὸ δὲ ἕτερον οὐκ εἰς οἰκοδομὴν οἰκίας μόνον ἀλλὰ καὶ τὸν ἐκκρινόμενον παρ᾽ ὑμῖν κέχρησαι πολλάκις. Μὴ οὖν τοσαύτῃ ἀγνοίᾳ ἐπισκότιζε τὴν σὴν διάνοιαν, ὡς τὸν ποιητὴν τοῦ οὐρανοῦ καὶ τῆς γῆς καταλείψαντα καὶ λίθον εὐτελέστατον χαμαισυρτεῖν.*

*Πρότερον γοῦν λίθον ἐγείρας θεραπεύεις ὡς εὐεργέτην, ἀλλὰ καὶ χρυσῷ πολλάκις θυσίαν καὶ λίβανον προσήνεγκας καὶ ὡς Θεῷ θυμιῶν ἐδόξασας· ἤδη δὲ παρὰ σοὶ καὶ ξύλον ὡς Θεὸς νενόμισται· ποίας οὖν σοφίας ἐστὶν τῷ λίθῳ καὶ τῷ ξύλῳ προσφέρειν θυσίαν καὶ κατακαίειν τὸ σέβασμα καὶ ἀναφέρειν ὡς ἀφθάρτῳ θεῷ τῷ ξύλῳ καὶ φθείρειν πυρὶ τὸν νομιζόμενον Θεὸν καὶ ζωὴν καὶ σωτηρίαν αἰτεῖν παρὰ τοῦ σαθροῦ ξύλου; Διόπερ ἦν εὐλογώτερον σιδήρῳ προσφέρειν τὴν θυσίαν τῷ καὶ κρατοῦντι ξύλου. Ὁρᾷς δὲ ὅτι καὶ αὐτὸς ὁ σίδηρος τῷ πυρὶ μα-*

*λαττόμενος ἐλαττοῦται τῆς οἰκείας δυνάμεως; οὐκοῦν ἀνάγκη ὑμᾶς τὸ πῦρ ἡγεῖσθαι Θεόν, ὅπερ δίκαιον νενόμισται παρ᾽ ὑμῖν μετὰ τῆς λοιπῆς περιττολογίας· ἀναπτούσης δὲ καὶ ξύλων ὕλης τὸ πῦρ, ὕδωρ ἐπικρατεῖ καὶ καταπαύει τὴν φλόγα. Πῶς οὖν τὰς ὕλας θεοὺς νομιστέον, τὰ δι᾽ ἀλλήλων εἰς φθορὰν ὁρῶντα καὶ μείωσιν; οὐ γὰρ οἷόν τε τοὺς αὐτοὺς θεοὺς ὕλης ποιητὰς καὶ θυσίας ὀνομάζεσθαι.*

*Ἀλλ᾽ ἐρεῖς· οὐ τὸν λίθον θεραπεύω τήμερον, ἀλλὰ πρὸς μίμημα τῶν λεγομένων θεῶν. Ταῦτα λέγεις μαχόμενος τῇ ἀληθείᾳ· εἰ γὰρ πᾶσιν ὡμολόγηται τὸν Θεὸν ἀπερινόητον εἶναι, ἀκατάληπτον, ἀσώματον, δημιουργόν τε καὶ κτίστην τῶν ὅλων ὑπάρχειν, πῶς εἶδος ἀνθρώπου καὶ σχήματα καὶ πάθη διάφορα τούτῳ περιτιθέναι σπουδάζετε, δέον ἀφέντας τὸ τῆς ἐρεσχελίας ἄτονον καὶ τὴν ἄπειρον ταύτην φιλονικίαν, καθαρᾷ τῇ πράξει καὶ μόνῃ προσευχῇ τὸν ἀεὶ ὄντως ὄντα Θεὸν θεραπεύειν; Οὔτε γὰρ πυρὸς χρεία οὔτε ξύλου εἰς καῦσιν οὔτε ζῷον ἄγεσθαι πρὸς βίαν εἰς σφαγήν· ἀπροσδεὴς γὰρ ἡ τοῦ παντοκράτορος δύναμις. Ταῦτα μὲν γὰρ παρ᾽ ὑμῖν σεμνὰ διηγήματα καὶ πράξεις ἀνεπίληπτοι καὶ σοφία εἶναι νενόμισται. Ὁ δὲ Θεὸς τῶν ὅλων ὁ τοσαύτης φιλανθρωπίας θησαυροὺς εἰς ἡμᾶς ἐφαπλώσας μισεῖ τὸν θάνατον καὶ τὰ τούτου κέντρα λέλυκε διὰ τῆς τοῦ Χριστοῦ ἐπιδημίας, ἀνάστασιν δὲ διὰ τῆς ἀναστάσεως αὐτοῦ προεκήρυξεν, ἵνα τοὺς δι᾽ αὐτοῦ πιστεύοντας εἰς τὸν πατρικὸν τῆς ἀθανασίας νοῦν καταστήσῃ τοῦ θανάτου ἡμᾶς ἐλευθερώσας. Διόπερ εἰ φίλον σοί ἐστιν, ἔπαγε τὸ ξίφος, εἴ γε τοῦτό μοι παρὰ σοῦ πρόκειται μὴ θύοντί σου τοῖς θεοῖς· οὐ γὰρ τοσοῦτον μετέχω τῆς σῆς ἀτοπίας, τύραννε, ἐπειδὴ τῆς τοῦ Χριστοῦ χάριτος γέγονα μέτοχος. Οὐ βούλομαι οὖν μικρᾶς ἡδονῆς μέρος ἀπολαύσας οὐρανίου δωρεᾶς ἀνταλλάξαι.»*

*Ταῦτα τοῦ μακαρίου δὲ λαμπρᾷ τῇ φωνῇ πρός τε τὸν ἄρχον-*

τα καὶ τοὺς περιεστῶτας εἰπόντος, θάνατον εὐθέως καὶ ξίφος ἠπείλησεν καὶ τῷ ξύλῳ ἀναρτήσας τὸν ἀγωνιστὴν ἅπτεσθαι αὐτοῦ τοὺς δημίους προστάττει καὶ κατὰ τῶν πλευρῶν αὐτοῦ πληγὰς ἀνηκέστους ἐπιφέρειν. Ὡς δὲ ἀπέκαμον οἱ δήμιοι ξέοντες αὐτὸν κατὰ πᾶν μέλος τριχῶν ὑφάσμασιν, ἅλας προσθέντας ἐκέλευσεν ἀναξαίνειν τὰ τραύματα καὶ χερσὶν σιδηραῖς τὰς ὄψεις αὐτοῦ καθαιρεῖσθαι, ὡς καὶ αἱμάτων ἔκχυσιν γίνεσθαι καὶ λοιπὸν μὴ ὁρᾶσθαι πρόσωπον ἀνθρώπου· καὶ ταῖς μολιβίσι τοὺς αὐτοῦ τένοντας πλήξας τὰ ὀστέα αὐτοῦ συνέτριψεν.

Καὶ μετὰ ταῦτα προστάττει τινὶ Ἀρχελάῳ σπεκουλάτορι σπασαμένῳ ξίφος διαχειρίσασθαι τὸν μακάριον. Τοῦ δὲ μακαρίου μετὰ πολλῆς χαρᾶς ἑλκυσθέντος πρὸς τὸ πέρας τοῦ ξίφους, τῆς χειρὸς τοῦ δημίου παραλυθείσης, καταπεσὼν ὁ στρατιώτης ἐπὶ τὴν γῆν μετὰ τοῦ ξίφους εὐθέως διεφώνησεν. Ταῦτα ὁρῶν ὁ Φλαβιανὸς καὶ ὥσπερ ἐν ἐκστάσει γενόμενος ἔφη· «Σιδηρώσαντες τὸν τράχηλον αὐτοῦ καὶ χεῖρας καὶ πόδας, φυλάττετε ἐν τῷ δεσμωτηρίῳ, μὴ ἐῶντες αὐτὸν ἐπιμελείας τινὸς τυχεῖν, ἵνα τῶν πληγῶν συνοζουσῶν τῇ τῶν βασάνων φθορᾷ τραυματίας γενάμενος ὅλος ἐπαλγεστέρων πόνων πειραθεὶς μεταπείσῃ τὴν ἑαυτοῦ ὠμότητα εὐσεβῆσαι τοῖς θεοῖς, μηδενὶ τῶν αὐτοῦ συγχωροῦντες αὐτὸν θεωρεῖν, ἵνα καὶ ταύτης τῆς παραμυθίας στερούμενος ἐκτελέσῃ τῶν θείων διατάξεων τὸ κελευσθέν.»

Ὁ δὲ μακάριος Προκόπιος καρτερικῶς ὑπομείνας τὰς ἀφορήτους βασάνους, πεφορτωμένος τοῖς σιδήροις ἐφυλάττετο ἐν τῷ δεσμωτηρίῳ· καὶ κατακείμενος εἰς τὸ ἔδαφος, προσηύξατο λέγων· «Ὁ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ φωτίσας τὰ ἐσκοτισμένα τὸ πρίν, ὁ τάξας ἐξ ἀστάτου φύσεως τὴν ὁρωμένην σύστασιν, ὁ ἁρμοσάμενος τέχνῃ τῇ σῇ τὴν φαινομένην ἁρμονίαν, ὁ τὴν ἄῤῥυθμον καὶ ἐναντίαν φύσιν ῥυθμῷ βιαίῳ πεδήσας, ὁ λύσας δεσμῷ τῷ σῷ τὰ λυθῆναι ὑφ᾽ ἑτέρου μὴ δυνάμενα, ὁ

τὸ κεκρυμμένον μυστήριον τοῦ Χριστοῦ σου πρὸς φιλανθρωπίαν δωρησάμενος καὶ τὰ σὰ πλάσματα πρὸς ἑαυτὸν ἐπιστρέψας, ὁ μὴ ἐάσας ἡμᾶς ἐν τῇ ἀφροσύνῃ καὶ ἀγνωσίᾳ τέλεον ἀποθανεῖν, εὐχαριστοῦμέν σοι καὶ τῇ ἁγίᾳ σου δυνάμει, τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, ὅτι ἡμᾶς ἐξ οὐκ ὄντων ἐποίησας δι᾽ αὐτοῦ, πεσόντας ἐξανέστησας, ἁμαρτήσασιν συνέγνως, πλανηθέντας ἐπανήγαγες, αἰχμαλωτισθέντας ἐλυτρώσω, κειμένους ἀνήγειρας, τεθνηκότας ἐζωοποίησας· σοὶ χάρις, δέσποτα, τῷ οὕτως ἡμᾶς ὑπὲρ ἀξίαν ἀγαπήσαντι καὶ τοῦ Χριστοῦ σου τὸ ἔργον τῆς ἀγάπης εἰς ἡμᾶς ἀναπληρώσαντι, τῷ διδόντι τὸ πνεῦμα τὸ ἅγιον εἰς ἀνακαίνισιν τῶν παλαιωθέντων, εἰς μόρφωσιν νέαν τῶν παραφθαρέντων, εἰς σωτηρίαν μὲν ἀνθρώπων, ἐλευθέρωσιν δὲ κτίσεως τῆς δουλωθείσης τῇ φθορᾷ, εἰς κατάλυσιν δὲ διαβολικῆς ἐνεργείας τῆς ἐν ἀποστασίᾳ ἀνθρώπων καταδυναστευούσης· εὐχαριστοῦμέν σοι, ὅτι καὶ προσάγεις ἡμᾶς καὶ προσκαλεῖ πρὸς ἑαυτόν, στερεῶν ἐν πίστει, βεβαιῶν ἐν ἐλπίδι, προσάγων εἰς ἀγάπην, φωτίζων ἐν γνώσει, παριστάμενος ἐν δυσκολίαις, λόγῳ δηλῶν καὶ ἔργῳ πληρῶν τὰς εὐεργεσίας, οὐ κατὰ ἁμαρτίας κολάζων ἀλλὰ κατὰ χρηστότητα χαριζόμενος, εὐσπλαγχνίᾳ καὶ ἀνοχῇ τὴν κρίσιν ὑπερτιθέμενος καὶ διὰ τῆς μακροθυμίας ἐπὶ τὸ βέλτιον ἡμᾶς ὁδηγῶν, Δέσποτα Χριστέ, ἐπάκουσόν μου καὶ τελείωσόν μου τὸν δρόμον, βεβαιῶν τὴν διαθήκην σου ἐν ἐμοὶ τῷ ἀναξίῳ, ἣν διέθου πρὸς ἀνθρώπους ἐν τῷ ἁγίῳ σου ὀνόματι διὰ τὸ ἐπικληθὲν ἐπ᾽ ἐμοί· ἐξελοῦ με ἐκ τῆς ἐπηρείας τοῦ διαβόλου, διάλυσον αὐτοῦ τὰς καθ᾽ ἡμῶν μηχανὰς καὶ τὰς βίας τῆς ἐπαναστάσεως, τῷ ἁγίῳ σου πνεύματι φυλάττων ἡμᾶς ἀνεξαπατήτους ἀπὸ τοῦ πονηροῦ ἄρχοντος, καὶ δίδαξον ἡμᾶς τὰ σὰ βουλεύματα καὶ τὰς ἁγίας ὁδοὺς τῆς σοφίας σου· καὶ τὰς παραμυθίας σου μὴ ἀφέλῃς ἀφ᾽ ἡμῶν μηδὲ βαρυτέρας τῆς ἡμετέρας δυνάμεως τὰς παιδείας ἐπαγάγῃς· ἡμεῖς γὰρ οὐχ ἱκανοὶ πρὸς τὸ νικᾶν τὰ ἀντιπίπτοντα,

*σὺ δὲ δυνατὸς πρὸς τὸ σῴζειν ἐκ πάντων τῶν ἐπανισταμένων, διαφυλάσσων ἡμᾶς εἰς τὴν αἰώνιον καὶ μακαρίαν ζωήν, τὴν ἐν πληρώσει πνεύματος ἁγίου καὶ ἀφθαρσίᾳ καὶ βασιλείᾳ τῆς σῆς θεότητος, ἵν᾽ οἰκεῖοι καὶ μέτοχοι καὶ κληρονόμοι εὑρεθῶμεν τῶν ἐπαγγελιῶν σου, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἁγίῳ σου καὶ ζωοποιῷ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.» Προσευξαμένου δὲ αὐτοῦ, ἐφάνη αὐτῷ ὁ Κύριος ἐν σχήματι ἀγγέλου καὶ ἐπιθεὶς τὰ χεῖρας αὐτοῦ ἐπ᾽ αὐτὸν ἰάσατο αὐτὸν λέγων· «Ἡ χάρις μου ἔστω μετὰ σοῦ.»*

*Τῇ δὲ τρίτῃ ἡμέρᾳ προκαθίσας ὁ Φλαβιανὸς ἐκέλευσε προσαχθῆναι τὸν μακάριον καὶ λέγει πρὸς αὐτόν· «Τὸ τῆς ἀνοίας εὔτονον τοῦ λογισμοῦ σου ἐμάλαξαν αἱ βάσανοι δυσωπήσασαι θῦσαι τοῖς θεοῖς; ἢ ἀνόνητον ἡγῇ μετὰ τὰς βασάνους ἐπιγνῶναι τὸ ἀληθές; οὐκ οἶμαι δέ σε τοῦτο πάσχειν ὄντα σοφὸν ἀμνημονεῖν τῶν ὄπισθεν βασάνων· ὥσπερ γάρ τινές εἰσιν ὁδηγοὶ πρὸς τὴν σοφίαν ἐπιστρέφοντες τοὺς νηπιάζοντας, τούτοις ἐοίκασιν αἱ τῶν ἀρχόντων βάσανοι· ἀπολογήσομαι δέ σοι περὶ τούτων ὀφειλόντως τῶν ἤδη φθασασῶν ὕβρεων, εἴπερ ἡττήσῃς τὸ τῆς αἰσχύνης πάθος· καὶ σὺ μὲν φανήσῃ βελτίων νῦν ἢ πρότερον ὡς εὔνοιαν φυλάξας πατροπαραδότῳ θρησκείᾳ τῇ καὶ ἀνοήτῳ, ἀμειψάμενος δὲ τῷ κρείττονι τὸ ἔλαττον, λογισμοῖς καλλίστοις μαθητευθεὶς ἐμοὶ χαριῇ τὰ μέγιστα, οὐκ ἀνονήτους μοι τοὺς εἰς σὲ κόπους ποιῶν.»*

*Ὁ δὲ γενναῖος ἀθλητὴς τῆς τοῦ Χριστοῦ χάριτος πεπληρωμένος ἔφη· «Εἰ μὲν ὡς ἐν ὀνείρατι φαίνομαί σοι βασανισθεὶς καὶ οὐχὶ θαύματι περιεχόμενος καὶ ἐν ἀποίῳ λογισμῷ τὴν τοῦ ἐμοῦ σώματος κατανοεῖς ἴασιν, μὴ παύσῃ ἀναγκάζων με βλασφημεῖν· εἰ δὲ σὺ αἰσχύνῃ ἐφ᾽ οἷς ἀγαθοῖς παρ᾽ ἐλπίδας τὰς σὰς ὁρᾷς εἰς ἐμέ, οὐκ ἔδει τὸν ἐν χερσί με τὰ θαύματα ἔχοντα προτρεπομένου σου ὅμοιόν σοι γενέσθαι, τῆς αἰσχίστης ἀνοίας τὸν*

*αὐτὸν λογισμὸν οἰόμενος ἔχειν με, ἢ μὴ καὶ κρεῖττον μετὰ τὰς βασάνους, ὡς πλειόνων θαυμάτων πεῖραν λαβόντα. Ὡς βούλει τὸ σῶμά μου αἴκιζε, ὑπὲρ τῶν ὁμοίων σου δαιμόνων ἀγωνιζόμενος· ἐμοὶ γὰρ εἷς φιλοσοφίας ὅρος, τὸ ἑαυτοῦ προκρίνειν τὴν εὐσέβειαν.» Καὶ ὁ Φλαβιανὸς ἔφη· «Οὐ παροξύνεις με τοῖς λόγοις σου, ἵνα σύντομον τὴν ἐπαξίαν ἀπενέγκοις κόλασιν, ἀλλὰ ἀνεχόμενον ἕξεις τῆς προπετείας σου, τρισκατάρατε, μιμούμενον, ὥς φατε, τὸν ἐλεήμονα ὑμῶν Χριστόν, εἰ καὶ τῇ μαγείᾳ σου τὸ ξίφος ἀπέτρεψας καὶ τὸν σπεκουλάτορα ἐθανάτωσας καὶ ἡμᾶς ἅπαντας ἠμαύρωσας καὶ τὰς ἀποῤῥήτους βασάνους ἀφανεῖς πεποίηκας· οὐ παύσομαι δὲ κατὰ πᾶν μέλος αἰκιζόμενός σε, ἕως ἂν πράξῃς τὰ κελευόμενα, καὶ παύσω σε τῆς μανιώδους προπετείας. Τείναντες οὖν αὐτὸν ἱμᾶσι λεπτοῖς ἐκ τεσσάρων κρεμαστὸν ἀπὸ τῆς γῆς, νεύροις ὠμοῖς τὰς σάρκας αὐτοῦ καταξάνατε καὶ ἀνθρακιὰν ζῶσαν τὸν νῶτον αὐτοῦ πληρώσατε· ὄνησις γὰρ προπετείας ἀφρόνων μάστιγες ἀνίατοι.»*

*Ταῦτα δὲ πάσχων ὁ γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ εἶπεν· «Ὦ πάσης ἀδικίας ἐργάτα καὶ πυρὸς αἰωνίου κατάβρωμα, περὶ τὸ ἀληθὲς ἀστοχῶν ὡς ἀφρονοῦντά με τιμωρεῖς· ἐγὼ μὲν ὑπὲρ εὐσεβείας ἀγωνιζόμενος ἡδέως πάντα πόνον γενναίως ὑπομένω διὰ τὰς ἀμοιβὰς τῶν αἰωνίων ἀγαθῶν, ὑπερβαινόντων πάντα νοῦν ἀνθρώπων· καὶ μακάριον ἑαυτὸν ἥγημαι, ἐὰν ἕκαστον τῶν μελῶν μου τοῦ σώματος τοῖς τραύμασι μαρτυρήσῃ ὑπὲρ εὐσεβείας· σὺ δὲ διὰ τὸν ὠμότατόν σου καὶ ἀπάνθρωπον λογισμὸν ἐκδέξῃ τὰς τῆς θείας δίκης ὀργάς.» Καὶ ὁ Φλαβιανὸς ἔφη· «Οὐ φείσομαί σου παρανομοῦντος, μιαρώτατε πάντων ἀνθρώπων.» Ὁ δὲ Προκόπιος ἔφη· «Οὐδὲ ἐγὼ παύσομαι μαρτυρῶν τῇ ἀληθείᾳ, παρανομώτατε καὶ τῆς οὐρανίου δίκης ἐχθρέ, δαιμόνων συνήγορε καὶ δυσσεβῶν βασιλέων ὑπέρμαχε.» Ὁ ἄρχων εἶπεν· «Πυρώσαντες ὀβελίσκους τὰ τραύματα αὐτοῦ καταφλέξατε,*

*ἅμα καὶ διακεντοῦντες αὐτόν, ὅπως ἐκ τῆς τιμωρίας νήψας παύσηται δυσφημῶν τοὺς θεοὺς καὶ τοὺς σεβαστούς.» Ὁ δὲ μακάριος καυτηριαζόμενος ἔλεγεν· «Θηριωδέστατε καὶ πάσης ἀνοίας μεστέ, ἣν νομίζεις τιμωρίαν, ταύτῃ προσέχων ἡττῶ σε, βασανίζω σε τῇ ὑπομονῇ· αὕτη γὰρ μόνη φιλοσοφία τοῦ βίου ὑψηλοτάτη, τὸ ὑπερφρονεῖν τοῦ σώματος διὰ τὸν Θεόν.» Ὁ ἄρχων εἶπεν ὅτι· «Πυρώσαντες τοὺς ὀβελίσκους κατὰ τῶν ἤδη καυτηριασθέντων μελῶν αὐτοῦ πρόσθετε, ἵνα τῶν παθῶν ἐπικινηθέντων καὶ τῆς ψυχῆς τοῖς ἐπαλγεστέροις πόνοις λιποτακτησάσης, παύσηται βλασφημῶν τοὺς θεούς, οὓς οἱ βασιλεῖς ὑπὲρ κοινῆς λυσιτελείας θεραπεύουσιν ἐμμελῶς.»*

*Ὁ δὲ ὅσιος ἀθλητὴς τοῦ Χριστοῦ κατακεντούμενος τοὺς μώλωπας τῶν τραυμάτων, ἔφη· «Λυσιτέλειαν λέγεις τὴν λύμην, ἣν ἐπήγαγον τῇ ἀνθρωπότητι οἱ αἱμοβόροι βασιλεῖς, τὸ κράτος τῶν δαιμόνων αὐξήσαντες, οὓς ὁ Θεὸς διὰ τάχους ἀμείψεται φειδόμενος τῆς ἀνθρωπότητος.» Ὁ δὲ Φλαβιανὸς θυμομαχήσας ἐπενόει ξένην τε καὶ ἀπάνθρωπον τιμωρίαν· ἐκέλευσέν τε βωμὸν εἰσαχθῆναι καὶ ἐξαπλώσαντας τὴν δεξιὰν χεῖρα τοῦ δικαίου, ἄνθρακας ἐκκεκαυμένους πληρῶσαι τὴν χεῖρα τοῦ μάρτυρος καὶ λίβανον ἐπιτεθῆναι ἐπάνω τῶν ἀνθράκων τοῦ πυρός. Καὶ εἶπεν πρὸς αὐτόν· «Μὰ τοὺς θεοὺς ἅπαντας, ἐὰν στρέψας τὴν χεῖρα ῥίψῃς τὸν λίβανον ἐπάνω τοῦ βωμοῦ, συγκατέθου τοῖς θεοῖς καὶ τὴν σπονδὴν ἐτέλεσας.» Καὶ ὁ μὲν βωμὸς ὑπέκειτο, ἡ δὲ χεὶρ ἥπλωτο, ὁ δὲ λίβανος μετὰ πυρὸς ὑπέκειτο καὶ ὁ ἀθλητὴς τοῦ Χριστοῦ γενναίως ἔφερεν ἐπὶ διωρίαν ἱστάμενος. Ἐπελάθετο δὲ ὅτι εἶχε χεῖρα· ἡ γὰρ διάνοια αὐτοῦ ἦν πρὸς τὸν Θεόν, τῇ πίστει στηριζομένη, τῇ ἀγάπῃ Χριστοῦ φαιδρυνομένη, τῇ εὐσεβείᾳ εἰς οὐρανοὺς ἀνιπταμένη· ὁ ἀγωνοθέτης ἔχαιρεν, Θεὸς ἐδοξάζετο, Χριστὸς ἐκηρύττετο, δαίμονες κατῃσχύνοντο, ἔκειτο μάτην βωμός, προσεῖχεν*

*ὁ ἄρχων, ἐξεπλήσσοντο οἱ περιεστῶτες. Ὁ δὲ μακάριος εἰς τὸν ἑαυτοῦ σταδιάρχην ἀπέβλεπεν καὶ στενάζων ἔλεγεν· «Ἡ δεξιά σου, Κύριε, δεξόξασται ἐν ἰσχύι, ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς· δεξιὰ Κυρίου ὕψωσέν με.»*

*Ὁ δὲ Φλαβιανὸς ἐκ πάντων ἀστοχήσας εἶπεν· «Ἀνοσιώτατε, εἰ λέγεις ἀπαθῶς διακεῖσθαι ἐπὶ τὰς βασάνους, διὰ τί κλαίων στενάζεις;» Προκόπιος ἔφη· «Μή σοι καλῶς, ἀφρονέστατε, ἵνα ἐγὼ κλαύσω τῇ ψυχῇ· τοῦτο γὰρ τὸ σῶμα πηλός ἐστιν, πηλὸς δὲ πυρὶ προσομιλῶν πάντως τὸ ὑγρὸν ἀποστάζει· ἅμα δὲ κλαίω τὴν σὴν ψυχήν, ὅτι ὑπηρέτης γέγονας δυσσεβῶν βασιλέων, σὺν τοῖς δαίμοσι πίνων αἵματα ἀνθρώπων.» Ὁ δὲ Φλαβιανὸς ἀπεφήνατο κατὰ τοῦ ἁγίου κεφαλικὴν τιμωρίαν, δεδιώς, μὴ χεῖρόν τι φθέγξηται κατὰ τῶν θεῶν καὶ τῶν βασιλέων· ἀπέκαμεν γὰρ καὶ αὐτὸς καὶ οἱ δήμιοι κολάζοντες τὸ ἅγιον σῶμα· καὶ ἐξήγαγον αὐτὸν ἔξω τῆς πόλεως οἱ εἰς τοῦτο τεταγμένοι.*

*Παρεκάλεσέν τε ἐνδοθῆναι αὐτῷ ὥραν μίαν, καὶ προσηύξατο λέγων· «Ὁ δοξαζόμενος ἐν βουλαῖς ἁγίων Θεός, ὁ πρὸ αἰώνων ἐκ κόλπων ἁγίων σου ἀνεκφράστως καὶ ἀνεκδιηγήτως τὸν σωτῆρα Θεὸν γεννήσας καὶ ἐπ᾿ ἐσχάτου τῶν ἡμερῶν ἐκ παρθένου μητρὸς προελθεῖν καὶ τεχθῆναι καὶ ὁρίσας, δίκαιε καὶ ζωοποιὲ καὶ ἀνακαινιστὰ τοῦ κόσμου, δωτὴρ ἀληθινοῦ φωτός, ὁ δοὺς ἡμῖν εἰς τὸν κόσμον τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ καὶ χαρισάμενος τὴν ἐπιδημίαν τοῦ πνεύματος ἐκ στόματος τοῦ μονογενοῦς σου καὶ ποιήσας ἡμᾶς υἱοὺς ἐν υἱοθεσίᾳ, ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι καὶ τὸν ποιμένα τῶν λογικῶν προβάτων ἀναστήσας καὶ τὰς κατεχομένας ἁγίας ψυχὰς ἐκεῖθεν ἐλευθερώσας, μνήσθητι ὁ Θεὸς παντὸς τοῦ λαοῦ σου, ἴασαι τοὺς ἀῤῥώστους, ἐξελοῦ τοὺς καταπονουμένους, χηρείαις γυναικῶν καὶ παίδων ὀρφανίαις ἐπικούρησον, ἐνδείας πενήτων ἀναπλήρωσον, πηρώσεις ἀνιαρὰς παραμύθησαι, τοὺς ἐν φυλακαῖς ἐπίσκεψαι, πλέουσι κυβέρνησον,*

www.tezaurliturgic.ro

*ὁδοιποροῦσιν ἀκίνδυνον ποίησον τὴν πορείαν, ἐπηρεαζομένοις ἄνεσιν τῆς ἐπηρείας, καταδυναστευομένοις ἀποφυγὴν τῶν βιαζομένων, ἐνοχλουμένους ὑπὸ πονηρῶν πνευμάτων ἐλευθέρωσον, ἑστῶτας στήριξον, κατεῤῥαγμένους ἀνάστησον, πεπλανημένους ἐπίστρεψον, θραῦσον ἰσχὺν διαβόλου, σκέδασον αὐτοῦ τὰς πολυτρόπους ἐπιβουλὰς τὰς κατὰ τῆς δικαιοσύνης, εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ἐπὶ πάντας ἀνθρώπους ἐκχεομένης τῆς σῆς ἀνεξικακίας καὶ ἀγαθότητος, κουφίζων εἴ τις ἁμαρτία καὶ μὴ λογιζόμενος τὰ ἀνθρώπινα παραπτώματα διὰ τὸν ἱλασμὸν τὸν ὑπὲρ ἡμῶν ὄντα παρὰ σοί, καὶ ἐν εἰρήνῃ πρόσδεξαι τὴν ψυχήν μου χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Χριστοῦ σου, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.»*

*Καὶ σφραγίσας ἑαυτόν, προτείνας τὸν τράχηλον ἀπετμήθη τὴν κεφαλήν, ἔτι τοῦ ὕμνου τῆς πρὸς Θεὸν φωνῆς ἐν τῷ στόματι αὐτοῦ οὔσης. Καὶ ἐλθόντες οἱ χριστιανοὶ ἔλαβον αὐτοῦ τὸ ἅγιον σῶμα καὶ κατέθεντο ἐν τόπῳ σεμνῷ, δοξάζοντες πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.*

*Ἐπλήσθη σὺν Θεῷ τὸ τοῦ ἁγίου Προκοπίου μαρτύριον ἐν Καισαρείᾳ τῇ πρὸ ὀκτὼ εἰδῶν ἰουλίων.»*

Οἱ ἀναφανέντες κατὰ τὴν ἀρχαιότητα ῥήτορες καὶ ῥητοροδιδάσκαλοι ἔθεντο ἀνεξίτηλον σφραγῖδα ἐν τῇ χρήσει τῆς Ἑλληνικῆς γλώσσης ἐν τοῖς αἰῶσι. Κανὼν χρήσεως ὑπῆρξεν ἡ Ῥητορική. Ἤδη οἱ λεγόμενοι Ἀττικισταί, προβάλλοντες τὴν χρῆσιν τοῦ ἀττικοῦ λόγου, δημιουργοῦσι ῥητορικὸν γλωσσικὸν πρότυπον. Οἱ Βυζαντινοὶ ἐμάνθανον τὴν ἀρχαίαν γλῶσσαν, τὴν γλῶσσαν τῆς παιδείας αὐτῶν, διὰ τοῦ ῥητορικοῦ προτύπου. Διδάσκαλος τῶν Βυζαντινῶν ῥητόρων καὶ συγγραφέων ὑπῆρξεν ὁ ἀττικιστὴς ἱστορικὸς καὶ ῥήτωρ Διονύσιος ὁ Ἁλικαρνασσεύς.

www.tezaurliturgic.ro

Ὁ Βυζαντινὸς ῥήτωρ τοῦ ἑνδεκάτου αἰῶνος Ἰωάννης Δοξαπατρῆς ἀναγνωρίζει τοῦτον ὡς ἀρχηγὸν τῆς τέχνης: «*Διονύσιος ὁ μέγας, ὁ τῆς ἡμετέρας τέχνης καθηγεμών.*»

Ὁ Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐθεώρει ὡς οὐσιώδη προσόντα τοῦ ἱστορικοῦ τὸν ῥητορικὸν κόσμον καὶ τὴν τεχνικὴν κατασκευὴν τῶν φράσεων, διὰ τοῦτο παρενέβαλλεν ἐν τῷ λόγῳ αὐτοῦ ῥητορικὰς συζητήσεις. Θεωρῶν τὴν ἱστορίαν ὡς φιλοσοφίαν ἐκ παραδειγμάτων, προὔβαλλε παραδείγματα, ἅτινα ἠδύναντο νὰ χρησιμοποιήσωσιν οἱ πολιτικοὶ ἐν ταῖς ἀγορεύσεσιν αὐτῶν καὶ οἱ μαθηταὶ ἐν τοῖς γυμνάσμασιν αὐτῶν. Κατ᾽ αὐτὸν ἡ ἱστορία ἀπετέλει ἠθικὸν κώδικα, βραβεύοντα ἢ τιμωροῦντα τὰς πράξεις τῶν ἀνθρώπων, ἄρα ἐνισχύοντα τούτους εἰς τὴν εὐσέβειαν καὶ τὴν τήρησιν τῶν πατρίων καὶ προφυλάττοντα ἀπὸ τῆς ἐπηρείας τῶν «*τὰς ἀθέους ἀσκούντων φιλοσοφίας.*» Πολλαχοῦ τῆς *Ῥωμαϊκῆς Ἀρχαιολογίας* αὐτοῦ ἐμβάλλει εἰς τὰ στόματα ἀμαθῶν Ῥωμαίων συμπιλήματα δημοσθενείων ῥήσεων, ὡς δημηγορίας, αἵτινες μόνον ἐν τῇ ποτε ἐκκλησίᾳ τοῦ δήμου τῶν Ἀθηναίων ἠδύναντο νὰ ἀκουσθῶσι. Ἡ ῥητορικὴ πραγματεία αὐτοῦ «*Περὶ συνθέσεως ὀνομάτων*» περιλαμβάνει περὶ διατάξεως λέξεων καὶ εὐφωνίας. Ἡ ἀποδιδομένη εἰς αὐτὸν πραγματεία «*Τέχνη ῥητορική*» ὑπῆρξε κανὼν χρήσεως τοῦ ἑλληνικοῦ λόγου καθ᾽ ὅλον τὸ Βυζάντιον καὶ τοὺς μετέπειτα χρόνους. Οἱ λόγοι καὶ αἱ ἐπιστολαὶ τοῦ πατριάρχου Φωτίου ἀποτελοῦσι περίτεχνα δείγματα ῥητορικῆς τέχνης ἐν τῇ βυζαντινῇ παραδόσει. Τὸ κήρυγμα τῶν Ἀττικιστῶν περὶ χρήσεως προτύπου γλώσσης ἐπηρέασε καὶ τὴν Λατινικήν, ἐν ᾗ ἐλήφθη ὡς πρότυπον ἡ γλῶσσα τοῦ Κικέρωνος. Ὅριον τῆς χρήσεως τῶν δύο προτύπων ὑπῆρξεν ἡ Κυρήνη.

Αἱ πράξεις τῶν Ἁγίων ἀποτελοῦσιν ἐγκώμια. Συντασσόμενα ἐν τῷ γλωσσικῷ κλίματι τοῦ Βυζαντίου, κυριαρχοῦνται ὑπὸ τῆς ῥητορικῆς τέχνης. Κατὰ τὴν ἔκφρασιν ὁ διάλογος μεταξὺ

www.tezaurliturgic.ro

τοῦ ἐπάρχου Φλαβιανοῦ καὶ τοῦ Ἁγίου Μάρτυρος Προκοπίου ἀποτελεῖ δημιουργίαν τοῦ συντάκτου. Λειτουργεῖ ὡς θέσις καὶ ἀντίθεσις κατὰ τοὺς δικανικοὺς λόγους. Ἡ ἀναφορὰ εἰς τοὺς ποιητὰς καὶ τοὺς φιλοσόφους τῆς ἀρχαίας Ἑλλάδος ἀνήκει εἰς τὸν γευσάμενον ἑλληνικῆς παιδείας συντάκτην, οὐχὶ εἰς τὸν ἀσκητὴν Ἅγιον Προκόπιον. Ὁ παρεμβαλλόμενος διάλογος ἐπέχει τὴν θέσιν τῶν δημηγοριῶν τοῦ ἱστορικοῦ Θουκυδίδου, δι᾽ ὧν ἀποκαλύπτεται τὸ ἦθος τῶν δρώντων προσώπων καὶ ἑρμηνεύονται κατὰ βάθος τὰ ἱστορικὰ γεγονότα.

Οἱ Ἅγιοι ἀποτελοῦσιν ἱστορικὰ πρόσωπα. Αἱ πράξεις αὐτῶν ἀφηγοῦνται τὸν βίον αὐτῶν, ἀντλοῦσαι ἐκ τῆς ἱστορίας καὶ τῆς παραδόσεως. Ὡς ἐγκώμια, ἐνέχουσι πολλάκις τὴν ῥητορικὴν ὑπερβολὴν καὶ τὴν ἐγκατάμειξιν στοιχείων ἐκ τῆς ἀποθήκης τῶν θαυμάτων καὶ τῶν μαρτυρίων, προσέτι ἐκ τῆς μυθολογίας καὶ τῆς παραμυθολογίας. Κατὰ ταῦτα φέρονται βίοι περὶ τοῦ αὐτοῦ Ἁγίου ὅλως διάφοροι. Οἱ συντάκται δὲν ἀποβλέπουσιν εἰς τὴν ἀκριβῆ πιστότητα τῶν ἀναφερομένων, ἀλλ᾽ εἰς τὴν ἀνάδειξιν τῆς ἁγιότητος καὶ τῆς πίστεως τοῦ Ἁγίου. Ἡ ἁγιότης βεβαιοῦται διὰ τῶν θαυμάτων καὶ ἡ πίστις διὰ τῶν ἀνηκούστων μαρτυρίων. Ἡ ἁγιότης καὶ τὸ θαῦμα τελεσιουργοῦνται ἐν τῇ μυστηριακῇ ζωῇ τῆς Ἐκκλησίας, σημαίνοντα τὰ θαύματα καὶ τὸ Πάθος τοῦ Χριστοῦ. Ὁ ῥήτωρ Ἰσοκράτης ἐν τῷ ἐγκωμιαστικῷ λόγῳ αὐτοῦ «*Εὐαγόρας*» ἀνακηρύσσει τὸν βασιλέα Εὐαγόραν ἀνώτερον τοῦ Διός, διότι αὐτὸς κατέλαβε τὴν ἐξουσίαν παρὰ τοῦ σφετεριστοῦ ἄνευ ἀντιστάσεως, ἀλλ᾽ ἐκεῖνος κατόπιν δεινοῦ ἀγῶνος πρὸς τοὺς Τιτᾶνας. Ἀλλ᾽ αἱ ὑπερβολαὶ καὶ τὰ πλάσματα τῆς ῥητορικῆς τέχνης δὲν ἀναιροῦσι αὐτοὺς τούτους τοὺς Ἁγίους.

Ἡ δίκη τοῦ Μάρτυρος τὴν δίκην τοῦ Χριστοῦ σημαίνει.

www.tezaurliturgic.ro

Ἡ προσήλωσις τοῦ Μάρτυρος τὴν Σταύρωσιν τοῦ Χριστοῦ σημαίνει.

Ἡ τριήμερος φυλάκισις τοῦ Ἁγίου κατὰ τὴν δίκην αὐτοῦ τὴν τριήμερον ταφὴν τοῦ Χριστοῦ σημαίνει.

Τὸ μαρτύριον τοῦ Ἁγίου ἔξω τῆς πόλεως τὸν Γολγοθᾶν σημαίνει.

Ἡ ἀποκεφάλισις τοῦ Ἁγίου τὴν ἁγίαν ἀναφορὰν αὐτοῦ πρὸς τὸν Χριστὸν σημαίνει.

# ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΠΑΝΤΕΛΕΗΜΩΝ Ο ΙΑΜΑΤΙΚΟΣ

Ὁ Ἅγιος Μεγαλομάρτυς Παντελεήμων ὁ Ἰαματικὸς ἐγεννήθη ἐν Νικομηδείᾳ καὶ ἐμαρτύρησεν ἐν τῇ αὐτῇ πόλει ἐπὶ αὐτοκράτορος Γαλερίου Μαξιμιανοῦ. Ἡ μνήμη αὐτοῦ τιμᾶται τῇ εἰκοστῇ ἑβδόμῃ Ἰουλίου. Ὁ βίος αὐτοῦ συνετάγη ὡς ἀπολογητικὸν κείμενον. Ὁ ἰατρὸς Ἅγιος Παντελεήμων, ὡς ἐκπρόσωπος τοῦ χριστιανισμοῦ, διαλέγεται πρὸς τὸν αὐτοκράτορα Μαξιμιανόν, ὡς ἐκπρόσωπον τῆς εἰδωλολατρίας, λόγῳ, ἔργῳ καὶ θαύματι. Πρὸς τὸν σκοπὸν κατανικήσεως τῆς εἰδωλολατρίας καὶ ἀποδείξεως ἀνωτέρας καὶ ἀληθοῦς τῆς χριστιανικῆς θρησκείας παρεμβάλλονται ἐν τῷ βίῳ τοῦ Ἁγίου καὶ πλαστὰ μαρτύρια καὶ θαύματα. Τὸ χαρακτηριστικὸν τῆς μεγαληγορίας καὶ τῆς πλασματικότητος διὰ τὸν σκοπὸν αὐτῶν ἔχουσιν ἤδη ἀπὸ τῆς ἀρχαιότητος τὰ ἐγκωμιαστικὰ καὶ δικανικὰ κείμενα.

Τὸ ἀρχικὸν ὄνομα τοῦ Ἁγίου ἦν Παντολέων. Ὁ Ἅγιος μετωνομάσθη εἰς Παντελεήμονα, διότι ἠλέει τοὺς πάντας δωρεάν. Ἀνήκει εἰς τοὺς Ἀναργύρους ἰατρούς, τοὺς πολιτευομένους κατὰ τὴν ἐντολὴν τοῦ Χριστοῦ, «*δωρεὰν ἐλάβετε, δωρεὰν δότε*» (Ματ ι΄, 8). Οἱ Ἀνάργυροι Ἅγιοι ἰῶνται τοὺς ἀνθρώπους σωματικῶς, σῴζοντες τὰς ψυχὰς αὐτῶν.

www.tezaurliturgic.ro

Ὁ Ἅγιος Παντελεήμων ἦν υἱὸς Ἕλληνος, τοῦ Εὐστοργίου, μητρὸς δὲ χριστιανῆς, τῆς Εὐβούλης. Ὁ πατὴρ αὐτοῦ ἦν ἀνὴρ ἐπιφανής, συναναστρεφόμενος ἐν τοῖς ἀνακτόροις τοῦ Μαξιμιανοῦ, ἐσπούδαζε δέ, ὅπως καὶ ὁ υἱὸς αὐτοῦ συγκαταριθμηθῇ ἐν τῇ αὐλῇ τοῦ αὐτοκράτορος. Ἡ μήτηρ αὐτοῦ προϊδέαζεν αὐτόν, ὅπως ἀσπασθῇ τὸν χριστιανισμόν.

Μετὰ τὴν συμπλήρωσιν τῆς παιδείας αὐτοῦ ὁ Ἅγιος Παντελεήμων παραδίδεται ὑπὸ τοῦ πατρὸς αὐτοῦ τῷ αὐτοκρατορικῷ ἰατρῷ Εὐφροσύνῳ πρὸς ἐκμάθησιν τῆς ἰατρικῆς τέχνης. Ὁ αὐτοκράτωρ Μαξιμιανός, γνωρίσας τὸν Ἅγιον, ὅστις συνώδευε τὸν διδάσκαλον κατὰ τὰς ἐπισκέψεις αὐτοῦ εἰς τὰ βασίλεια, καὶ ἐκτιμήσας τὰς ἀρετὰς αὐτοῦ, διέταξεν, ὅπως οὗτος τύχῃ πάσης φροντίδος ἐν τῇ σπουδῇ αὐτοῦ, ἵνα ἔχῃ αὐτὸν ἰατρὸν ἐν τοῖς βασιλείοις.

Βλέπων καθ᾽ ἑκάστην τὸν Ἅγιον διερχόμενον διὰ τὰς σπουδὰς αὐτοῦ γέρων τις Ἑρμόλαος, ὅστις ἐκρύπτετο ἐν δωματίῳ τινὶ μετ᾽ ἄλλων χριστιανῶν διὰ τὸν φόβον τοῦ αὐτοκράτορος, ἔγνω ὅτι οὗτος ἦν σκεῦος ἐκλογῆς. Προσκαλέσας αὐτὸν ἔσω, ἀνηρεύνα περὶ τοῦ γένους αὐτοῦ, ἵνα ἀγρεύσῃ τοῦτον εἰς τὸν χριστιανισμόν. Οὗτος ἀπήντησεν ὅτι ἡ μήτηρ αὐτοῦ, τὰ τῶν χριστιανῶν σεβομένη, ἀπέθανεν ἤδη, ὁ δὲ πατὴρ αὐτοῦ, ζῶν τέθνηκε, μετερχόμενος τὴν θρησκείαν τῶν Ἑλλήνων. Ἡ μήτηρ ἐπεθύμει, ὅπως οὗτος γένηται χριστιανός, ὁ δὲ πατὴρ ἀναγκάζει, ὅπως προσέχῃ τῇ θρησκείᾳ αὐτοῦ, διότι θέλει νὰ ἐντάξῃ τοῦτον διὰ τῆς ἰατρικῆς τέχνης εἰς τοὺς αὐλικούς.

Ὁ Ἑρμόλαος ἐκάλεσε τὸν Ἅγιον, ὅπως πεισθῇ αὐτῷ, λέγων ὅτι ἡ τέχνη τοῦ Ἀσκληπιοῦ, τοῦ Ἱπποκράτους καὶ τοῦ Γαληνοῦ μικρὰ καὶ πρὸς μικρὸν δύναται. Πιστεύων εἰς τὸν μόνον ἀληθῆ Θεόν, τὸν Χριστόν, διὰ τῆς ἐπικλήσεως αὐτοῦ θὰ φυγαδεύῃ πᾶν νόσημα. Ὁ Ἅγιος ἐφοίτα καθ᾽ ἑκάστην πρὸς τὸν πρεσβύτην.

Ἐπιστρέφων ποτὲ ὁ Ἅγιος ἐκ τοῦ διδασκάλου, ὁρᾷ παιδίον δεδηγμένον ὑπὸ ἐχίδνης καὶ τεθνηκός. Ἐκεῖ που ἦν τὸ θηρίον. Πιστεύων ὅτι τὸ παιδίον θὰ ἀναστηθῇ καὶ τὸ θηρίον θὰ πάθῃ ὅ,τι ἔπραξε, ᾐτήσατο δι᾽ εὐχῆς καὶ ἅμα ὡρᾶτο τὸ παιδίον ζῶν καὶ ὁ θὴρ τεθνηκώς. Μετὰ ταῦτα ἀναφέρει τῷ Ἑρμολάῳ τὸ γεγονὸς καὶ δέχεται παρ᾽ αὐτοῦ τὸ θεῖον βάπτισμα. Φροντὶς νῦν αὐτοῦ εἶναι, ὅπως διασαλεύσῃ τὴν θρησκείαν τοῦ πατρὸς αὐτοῦ καὶ προσαγάγῃ τοῦτον εἰς τὴν πίστιν.

Προσέρχονταί τινες τότε, χειραγωγοῦντες τυφλὸν πρὸς θεραπείαν. Ὁ Ἅγιος ἐξῆλθε, παραλαβὼν καὶ τὸν πατέρα. Ἠρώτησε τὸν τυφλὸν τί θέλει καὶ ἐκεῖνος ἀπήντησεν ὅτι θέλει τὸ φῶς αὐτοῦ. Ὁ πατὴρ ἀπέτρεπε τὸν υἱὸν τοῦ ἐγχειρήματος, ἵνα μὴ γελοιοποιηθῇ. Οὗτος ἥψατο τῶν ὀφθαλμῶν τοῦ τυφλοῦ, ἐπικαλεσάμενος δι᾽ εὐχῆς τὸ ὄνομα τοῦ Χριστοῦ, καὶ εὐθὺς ἔλυσε τὸ σκότος τῶν ὀφθαλμῶν τοῦ τυφλοῦ. Σύναμα ἔλυσε καὶ τὸ σκότος τῆς ἀσεβείας τοῦ πατρὸς αὐτοῦ. Τῷ τυφλῷ παρέσχε διπλῆν τὴν ἴασιν· διότι οὗτος ἐτύφλωττε τά τε ὄμματα τῆς σαρκὸς καὶ τὰ τῆς ψυχῆς, ἅτε προσκυνητὴς ὢν εἰδώλων. Πιστεύσαντας ἀμφοτέρους, τὸν τυφλὸν καὶ τὸν πατέρα, διὰ τοῦ θείου βαπτίσματος συντάσσει εἰς τὴν μερίδα τῶν πιστῶν. Παρέχων ἀπόδειξιν τοῦ μίσους αὐτοῦ πρὸς τὴν πλάνην, ὁ πατὴρ συνέτριψε τὰ εἴδωλα τῶν θεῶν, ἅτινα εἶχεν ἐν τῷ κοιτῶνι αὐτοῦ, καὶ παρέδωσε τῷ βόθρῳ τὰ βυθοῦ ἄξια.

Μετ᾽ οὐ πολὺ ἀπέθανεν ὁ πατὴρ τοῦ Ἁγίου, σωθεὶς διὰ τοῦ θείου βαπτίσματος. Μετὰ τὸν θάνατον τοῦ πατρὸς ὁ Ἅγιος ἠλευθέρωσε τοὺς οἰκέτας καὶ διένειμε τὰ οἰκογενειακὰ χρήματα τοῖς πένησι.

Φθονοῦντες οἱ ἰατροὶ τὴν ἴασιν τοῦ τυφλοῦ, ἐπυνθάνοντο παρ᾽ αὐτοῦ τὸν θεραπευτήν. Προσελθόντες τῷ Μαξιμιανῷ, κατηγόρουν τοῦ Ἁγίου ὅτι, μαθὼν τὴν ἰατρικὴν τῇ φροντίδι αὐτοῦ,

www.tezaurliturgic.ro

θεραπεύει τοὺς ὑβριστὰς τῶν θεῶν. Ἔλεγον ὅτι, ἂν δὲν ἀπαλλάξῃ τάχιον τοῦτον τοῦ ζῆν, θὰ ἴδῃ πολλοὺς ἀφισταμένους τῆς θυσίας τῶν θεῶν καὶ τὰς ἰάσεις τοῦ Ἀσκληπιοῦ ἀποδιδομένας τῷ Χριστῷ.

Ἀνευρέθη ὁ ἰαθεὶς τυφλός, ὅστις ὡμολόγησε θαρσαλέως ὅτι ἰάσατο αὐτὸν ὁ Χριστός. Ἀμέσως ὁ πρώην τυφλὸς ἀποτέμνεται τὴν κεφαλήν. Ὁ Ἅγιος θάπτει τὸ σῶμα αὐτοῦ ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ.

Ὁ αὐτοκράτωρ ἐκάλεσε τὸν Ἅγιον πρὸς ἑαυτόν, ζητῶν, ὅπως προσενέγκῃ θυσίαν τοῖς θεοῖς. Ὁ Ἅγιος ἀρνεῖται, λέγων ὅτι ἀληθὴς Θεὸς εἶναι ὁ ὑπ᾽ αὐτοῦ λατρευόμενος καὶ ἀντιπροτείνει, ὅπως ἡ ἀλήθεια κριθῇ διὰ βασάνου. Ζητεῖ, ὅπως προσαχθῇ ἀνίατος ἀσθενὴς καὶ γένηται ἐπίκλησις πρῶτον ὑπὸ τῶν ἱερέων τῶν θεῶν καὶ εἶτα ὑπ᾽ αὐτοῦ. Ὁ ἀνταποκριθησόμενος τῇ ἐπικλήσει οὗτος λογιζέσθω μόνος Θεὸς καὶ σεβαζέσθω. Ἤρεσεν ἡ πρότασις, καὶ προσεκομίσθη ἐπὶ κλίνης ἀνάπηρος ἀνήρ. Οἱ ἱερεῖς ἐπεκαλοῦντο τὸν Ἀσκληπιόν, τὸν Δία καὶ τὴν Ἄρτεμιν, ἀλλ᾽ εἰς μάτην. Ὁ Ἅγιος ἥψατο τῆς χειρὸς τοῦ κειμένου, εἰπὼν *«ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ὑγιὴς ἔσο»*, καὶ οὗτος ἠγέρθη καὶ ἐπορεύθη, χαίρων, εἰς τὸν οἶκον αὐτοῦ. Σύναμα καὶ πολλοὶ ἄλλοι, ἀνάπηροι τὴν ψυχήν, ἠγέρθησαν καί, καταγνόντες τῆς πλάνης, ἐσεβάσθησαν τὸν ἀψευδῆ Θεόν.

Οἱ ἰατροί, προσελθόντες τῷ Μαξιμιανῷ, ἐξώργιζον αὐτὸν κατὰ τοῦ Ἁγίου, λέγοντες ὅτι, ἐὰν ἀφήσῃ αὐτὸν ζῶντα, θὰ πέσωσι μετὰ τῶν θυσιῶν καὶ οἱ θεοὶ καὶ θὰ ἐπιγελάσωσιν οἱ χριστιανοί. Ὁ αὐτοκράτωρ μετακαλεῖ τὸν Ἅγιον καὶ ζητεῖ παρ᾽ αὐτοῦ, ὅπως προσενέγκῃ θυσίαν τοῖς θεοῖς, ἄλλως θὰ ἐπακολουθήσωσι βαρύταται κολάσεις. Ὁ Ἅγιος παρέμεινεν ἀνένδοτος. Ἤρξαντο τὰ φρικτὰ μαρτύρια. Πρῶτον ὁ Ἅγιος ἀνηρτήθη ἐπὶ ξύλου, ὑπεξέετο σιδηροῖς ὄνυξι καὶ ὑπεκαίετο λαμπάσι πυ-

ρός. Αἱ χεῖρες τῶν δημίων παρέλυσαν καὶ αἱ λαμπάδες ἐσβέσθησαν.

Μαθὼν ὁ Μαξιμιανὸς ὅτι ὁ διδάξας τὸν χριστιανισμὸν εἰς τὸν Ἅγιον ἦν ὁ Ἑρμόλαος, συνέλαβε τοῦτον. Σὺν τούτῳ συνέλαβε καὶ τοὺς συγκρυπτομένους Ἕρμιππον καὶ Καλλικράτη. Πολλὰ βασανίσας τοὺς τρεῖς, ἀπεφήνατο αὐτοῖς θάνατον διὰ ξίφους. Τῷ Ἁγίῳ κρατουμένῳ ἐν δεσμωτηρίῳ, ἀπεφήνατο τὸν διὰ ξίφους θάνατον καὶ τὴν καῦσιν τοῦ σώματος αὐτοῦ. Ὁ Ἅγιος ἤχθη ἔξω τῆς πόλεως καὶ προσεδέθη ἐπὶ δένδρου ἐλαίας. Ἔπαισέ τις εἶτα τὸν αὐχένα αὐτοῦ ξίφει. Ἀλλ᾽ ὁ σίδηρος ἀνεστράφη, ὡς κηρός, καὶ ὁ αὐχὴν ἔμεινεν ἀπαθής. Μετὰ τοῦτο οἱ φονευταὶ ὡμολόγησαν πίστιν εἰς Χριστόν. Ὁ Ἅγιος ἤκουσε φωνῆς οὐρανόθεν, βεβαιούσης τὴν τελείωσιν τῶν παρ᾽ αὐτοῦ αἰτηθέντων καὶ ὀνομάζουσαν αὐτὸν Παντελεήμονα.

Οἱ φονευταὶ ἀρνοῦνται, ὅπως ἐκτελέσωσι τὰς διαταγάς, ἀλλ᾽ ὁ Ἅγιος παρακαλεῖ τούτους, ὅπως ὑπακούσωσι. Οὗτοι, φιλήσαντες τὸν Ἅγιον, τέμνουσι ξίφει τὴν κεφαλὴν αὐτοῦ. Ἐκ τῆς τομῆς, ἀνθ᾽ αἵματος ἐρρύη γάλα καὶ ἡ ἐλαία, ἐν ᾗ προσεδέθη ὁ Ἅγιος, ἐπληρώθη καρποῦ. Οἱ πιστεύσαντες στρατιῶται δὲν ἐπέστρεψαν πλέον πρὸς τὸν βασιλέα. Οὗτος διέταξεν, ὅπως τὸ σῶμα τοῦ Μάρτυρος παραδοθῇ πυρὶ καὶ ἡ καρποφορήσασα ἐλαία ἐκκοπῇ. Τὸ σῶμα τοῦ Μάρτυρος κατετέθη ἱεροπρεπῶς ἔξω τῆς πόλεως, ἔνθα ἔλαβε καὶ τὴν τελείωσιν, ἐν τῷ ἐξοχικῷ διδασκάλου τινὸς Ἀδαμαντίου.

Ἡ παράστασις τοῦ Ἁγίου Παντελεήμονος ἀνακαλεῖ τὴν παράστασιν τοῦ Ἁγίου Γεωργίου. Ἀλλ᾽, ἀντὶ λόγχης, οὗτος κρατεῖ μικρὰν ἰατρικὴν πυξίδα καὶ μικρὸν ἰατρικὸν μαχαιρίδιον. Ἐπὶ τῆς πυξίδος εἰκονίζεται σταυρὸς ἢ ἐνίοτε ἴασις τυφλοῦ.

Ἐν τῇ συριακῇ παραδόσει ὁ Ἅγιος Παντελεήμων καλεῖται

Ἀσία, δηλαδὴ Ἰατρός, καὶ φέρεται ὡς Ἀντιοχεύς, μαρτυρήσας ἐν Ἀντιοχείᾳ.

Τὸ μαρτύριον τοῦ Ἁγίου Μεγαλομάρτυρος Παντελεήμονος τοῦ Ἰαματικοῦ τρέχει οὕτω:

*«Τῆς εἰδωλικῆς ἀχλύος κατὰ πάσης διασκεδασθείσης τῆς οἰκουμένης, ἡνίκα Μαξιμιανὸς ἐπὶ τῶν σκήπτρων τῆς Ῥωμαίων ἀρχῆς καθίστατο, τότε δὲ καὶ ὁ θαυμαστὸς καὶ μέγας ἐν μάρτυσι Παντελεήμων κατὰ τὴν Νικομήδειαν ἐγνωρίζετο· ἐκεῖθεν γὰρ εἶχε καὶ τὰς τοῦ γένους πηγάς. Παντολέων μὲν καλούμενος, υἱὸς δὲ ὢν Εὐστοργίου, ἐπιφανοῦς τὸν βίον, ἐπιφανεστέρου πολλῷ τὴν ἀσέβειαν· τὰ γὰρ Ἑλλήνων σεβόμενος ἦν καὶ θερμὸν ἔχων περὶ ταῦτα τὸν ζῆλον. Μήτηρ δὲ ἐκείνῳ πιστή, καὶ ὅσα περὶ τὸ σέβας, ἐκ διαμέτρου πρὸς τὸν αὑτῆς ἄνδρα διακειμένη εὐβούλως τε ἡ Εὐβούλη (τοῦτο γὰρ αὐτῇ ὄνομα) πρὸς τὰ τῶν Χριστιανῶν ἔχουσα. Ὑπὸ τοιαύτῃ τοίνυν μητρὶ καὶ διδασκάλῳ ὁ ἀγαθὸς τρεφόμενος παῖς τὴν σωματικὴν ἅμα τροφήν τε καὶ τὴν πνευματικὴν ἀποστερεῖται ταύτης νόμῳ θανάτου καὶ τῆς κοινῆς φύσεως, ἀτελῆ ἔτι καὶ ἄωρον ἄγων τὴν ἡλικίαν.*

*Ἐπεὶ οὖν ὁ πατὴρ ὥραν αὐτὸν ἔχειν παιδείας ἑώρα, γραμματιστῇ φέρων δίδωσιν· εἶτα διδασκάλοις καὶ παιδευταῖς. Ὡς δὲ ἱκανῶς εἶχε μαθημάτων καὶ λόγων ἑλληνικῶν, τὰ τῶν ἰατρῶν ἐκπονεῖν δίδοται τῷ διαφορωτάτῳ τὴν τέχνην κατ᾽ ἐκεῖνο καιροῦ Εὐφροσύνῳ τοὔνομα πρὸς μαθητείαν παραδοθεὶς καὶ ὃς τάχει φύσεως ὥσπερ τις πτηνὸς ἀέρα τέμνων κατὰ πολλὴν εὐκολίαν τομῶς πάντα διῄει, ὀλίγα πόνων διὰ τὴν πολλὴν ῥώμην τῆς φύσεως εἰς συνεργίαν δεόμενος· καὶ οὕτως ἐν βραχεῖ πάντας ἡλικιώτας ὀπίσω ἐτίθει, καθάπερ τὸ λύδιον ἅρμα ἐκεῖνο, πρὸς παιδείαν ἐλαύνων. Ἦν δὲ καὶ τὸ ἦθος ἐπιεικὴς*

*καὶ τὴν ὁμιλίαν ἐπιτερπὴς καὶ τὸ κάλλος ἐξαίσιος, ἅπερ δὴ καὶ ἔργον αὐτὸν καὶ τρυφὴν πάσης γλώττης ἐποίουν καὶ παρὰ πᾶσι σχεδὸν διὰ θαύματος ἤγετο, ὥστε καὶ αὐτὸν ἐκεῖνον Μαξιμιανός ποτε θεασάμενος (ἐφοίτα γὰρ εἰς τὰ βασίλεια τῷ διδασκάλῳ ἑπόμενος) οὐ σιγῇ παρελθεῖν, ἀλλὰ δι᾽ ἐρεύνης τὰ ἐκείνου ποιεῖσθαι προσκαλεσάμενον καὶ ὅπου εἴη καὶ ὅθεν καὶ τἆλλα διερωτῶντα οὐ μὴν ἀλλὰ καὶ τῷ διδασκάλῳ ἐπισκῆψαι πρὸς τάχος αὐτὸν τὴν ἰατρικὴν πᾶσαν ἐκμελετῆσαι· ἥσθη γὰρ ἐπὶ τῷ αὐτοῦ ἤθει ἀρετῇ τε τῇ ἄλλῃ καὶ ἔκρινεν ἔχειν ἐκεῖνον εἰς τὰ βασίλεια.*

*Κατ᾽ ἐκεῖνο δὲ καιροῦ πρεσβύτης τις τοὔνομα Ἑρμόλαος ἐν δωματίῳ τινὶ σὺν καὶ ἄλλοις ἅμα Χριστιανοῖς κρυπτόμενος ἦν (τοῦτο γὰρ ὁ τοῦ κρατοῦντος φόβος ἐποίει). Ὃς ἀπιόντα τὸν Παντολέοντα εἰς διδασκάλου θεώμενος καὶ τῷ θύραθεν ὀστράκῳ τὸν εἴσω ἐγκαλυπτόμενον μαργαρίτην κατανοῶν, ὅπως τε εἶχε κινήματος, ὅπως βλέμματος καὶ ὡς οἱ ὀφθαλμοὶ αὐτῷ ἥμερον ἑώρων καὶ γαληνόν· ταῦτα ἐκεῖνος ὁρῶν καὶ ὥσπερ τινὰ εὐγενῆ ἵππον, οἷον οἱ περὶ ταῦτα δεινοί, καὶ ἔτι πῶλον ὄντα κρίνας ἄριστον ἔσεσθαι, γνούς τε διὰ τοῦ ἁγίου Πνεύματος ὅτι σκεῦος ἐκλογῆς ὀφθήσεται κατὰ Παῦλον, μέγα ἐποιεῖτο καὶ πολλοῦ τοῦτο ἠξίου τὸ τοιαύτην ἐκεῖνον ἀγρεῦσαι ψυχήν. Ποτὲ γοῦν παριόντα προσκαλεσάμενος, εἰσελθεῖν ἔνδον ἠξίου ἐν ᾧ ἐκεῖνος ἐκρύπτετο δωματίῳ καὶ ὃς εἰσῄει καὶ πλησίον αὐτὸν παρακαθισάμενος, ἠρώτα γένος τε καὶ πατέρας καὶ ὁποῖον ἀσπάζοιτο σέβας καὶ ἑξῆς ἕκαστα. Καὶ ὁ Παντολέων εὐθὺς ἅπαντα πρὸς ἀλήθειαν καταλέγει, καὶ ὡς ἡ μὲν μήτηρ ἀποθάνοι ἤδη τὰ Χριστιανῶν σεβομένη, ὁ πατὴρ δὲ ζῶν τέθνηκε τὴν Ἑλλήνων μετιὼν θρησκείαν. Εἶτα ὁ πρεσβύτης προσθείς· «Αὐτὸς δέ, παῖ καλέ», ἔφη, «τίνος μέρους εἶναι βούλει καὶ ποτέρου σεβάσματος;» Καὶ ὁ Παντολέων· «Ἡ μὲν μή-*

τηρ», εἶπεν, «ἔτι περιοῦσα τοῖς αὐτοῖς με συνθέσθαι παρῄνει, ὅπερ δὴ καὶ αὐτὸς ἠβουλόμην· ὁ δὲ πατήρ, ἅτε καὶ μείζονα τὴν ἰσχὺν ἔχων, τῇ αὐτοῦ προσέχειν ἀναγκάζει θρησκείᾳ, ἐπεὶ καὶ βούλεται τοῖς τοῦ παλατίου ἡμᾶς ἐντάξαι.» «Τίς δὲ ἣν μετέρχῃ παιδείαν», ὁ πρεσβύτης φησίν; «Ἀσκληπιοῦ», ἔφη, «καὶ Ἱπποκράτους τέχνη καὶ Γαληνοῦ. Τοῦτο γὰρ καὶ τῷ πατρί μου δοκοῦν· ἀλλὰ καὶ αὐτὸς ὁ διδάσκαλός με βεβαιῶν πάρεστιν, ὡς εἰ ταύτην μάθοιμι ἀκριβῶς, δυνατὸς εἶναι πᾶσαν ἀνθρωπίνην ἰᾶσθαι νόσον καὶ παντὸς πάθους ἰσχυροτέραν προβάλλεσθαι ταύτην.» Καὶ ὁ Ἑρμόλαος, ἀφορμὰς ἤδη καὶ σπέρματα παρὰ τῶν ἐκείνου λόγων λαβών, καθάπερ ἀγγείου τυχὼν καλοῦ, τὸ θεῖον τῆς πίστεως μύρον ἐμβαλεῖν ἠξίου. «Καὶ πείσθητί μοι», ἔφη, «κάλλιστε νεανίσκων, καὶ γνῶθι ὅτι τὰ Ἀσκληπιοῦ ταῦτα καὶ Ἱπποκράτους καὶ Γαληνοῦ μικρὰ καὶ πρὸς μικρὸν τοῖς χρωμένοις βοηθεῖν δύναται· ἀλλὰ καὶ θεοὶ αὐτοὶ οὓς σέβεται Μαξιμιανὸς μῦθοι κενοὶ κουφοτέρων ἀκοῶν κλέμματα, ὠφελεῖν δὲ οὐδὲν τὸ παράπαν δυνάμενοι, ἀλλ᾽ ὁ μόνος ἀληθὴς Θεὸς ὁ Χριστός, εἰς ὃν πιστεύσας, αὐτοῦ μόνου τῇ ἐπικλήσει ἅπαν νόσημα φυγαδεύων ἔσῃ, ὃς τυφλοῖς μὲν φῶς, νεκροῖς δὲ ἀνάστασιν, λεπροῖς δὲ κάθαρσιν ἐδωρήσατο, καὶ ὃς τοὺς ὑπὸ Μαξιμιανοῦ προσκυνουμένους δαίμονας λόγῳ μόνῳ καὶ ἐπιτάγματι ἐξήλαυνε τῶν ἀνθρώπων, οὗ καὶ τοῦ κρασπέδου γυνὴ ἁψαμένη τοῦ ἱματίου ὀχετοὺς αἵματος ἐφ᾽ ὅλοις δώδεκα χρόνοις ῥέοντας εὐθὺς ἔστησε. Καὶ τί δεῖ τὰ ἐκείνου λέγειν; ἴσον γάρ ἐστιν ψάμμον τε μετρεῖν ἢ ἀστέρας χόας τε θαλάττης καὶ τὰ αὐτοῦ θαύματα καὶ μεγαλεῖα ἐξαριθμεῖν· ὃς καὶ νῦν πάρεστι τοῖς αὐτοῦ δούλοις, σύμμαχός τε καὶ βοηθὸς ἄμαχος, παρακαλῶν ἐν λύπαις, πλατύνων ἐν θλίψει, ἐν περιστάσει καὶ τῶν ἀβουλήτων ἀπαγωγῇ, μὴ ἀναμένων τὴν δέησιν, ἀλλ᾽ αὐτὴν προφθάνων τὴν τῆς καρδίας ἑτοιμασίαν, οὐ μὴν ἀλλὰ καὶ τοῖς

www.tezaurliturgic.ro

αὐτὸν φοβουμένοις μείζονα ἢ ἐκεῖνος ἔδρασε παρέχων θαυματουργεῖν, εἶτα καὶ ζωὴν δωρούμενος αἰωνίαν.»

Ταῦτα ὁ Παντολέων, ὥσπερ γῆ ἀγαθή, τὰ ῥήματα εἰς καρδίαν παραλαβὼν καὶ κρύψας, ἐπίστευέ τε καὶ ἀληθῆ ἔκρινεν εἶναι καὶ ὅλως αὐτῶν ἐξήρτητο καὶ μελέτην εἶχε ταῦτα γλυκεῖαν ἔλεγέ τε καὶ παρὰ τῆς μητρὸς αὐτὰ πολλάκις ἀκοῦσαι προσευχομένην τε αὐτὴν ὁρᾶν καὶ ὃν σὺ κηρύττεις ἐπιβοωμένην Θεόν· ἠβούλετο δὲ τῷ διδασκάλῳ γνώριμα ταῦτα θέσθαι· ἡμέρας οὖν ἑκάστης ἀπῄει ὁ Παντολέων πρὸς τὸν πρεσβύτην καὶ τῶν καλῶν τούτων ἐτρύφα ναμάτων καὶ πρὸς τὴν εὐσεβῆ πίστιν κατὰ μικρὸν ἐστηρίζετο καὶ πρὸς τὸν διδάσκαλον δὲ διὰ πάσης ἐφοίτα καὶ οὐ πρότερον οἴκαδε ἐπανῄει, εἰ μὴ τὰς ἀκοὰς ηὔφρανε καὶ τοῖς ῥήμασι τοῦ πρεσβύτου· ποτὲ τοίνυν ἀπὸ τοῦ διδασκάλου Εὐφροσύνου ἐπανιὼν καὶ μικρὸν τῆς ὁδοῦ κατά τι δεῆσαν ἐκκλίνας, ὁρᾷ παιδίον ὑπ᾽ ἐχίδνης δεδηγμένον καὶ τεθνηκός· αὐτό τε τὸ θηρίον ἐγγύς που παρὸν καὶ ὥσπερ τὸν φονέα ὅστις εἴη εὔδηλον καθιστῶν· ἰδόντα οὖν φόβος εἷλε καὶ μικρὸν ὑπεχώρει· εἶτα πάλιν ἑαυτοῦ γενόμενος, ἐπανῄει καὶ τῷ παιδίῳ παρίσταται· ἔκρινε γὰρ αὔταρκες σημεῖον τοῦτο τῶν τοῦ πρεσβύτου λόγων ὀφθῆναι εἰ ἀψευδῶς ἔχοιεν· ἀναστήσεται γὰρ τὸ παιδίον, ἔφη, τῷ αὐτοῦ ῥήματι καὶ τὸ θηρίον ὃ δέδρακεν ἐκεῖνο πείσεται. Τοῦτο εἰς νοῦν τε ἔλαβε καὶ δι᾽ εὐχῆς ᾔτησε καὶ ἅμα ὡρᾶτο ζῶν τὸ παιδίον, ὁ θὴρ τεθνηκώς, ὁ νοητός τε παρ᾽ ἑαυτῷ θὴρ καὶ τῆς ἀσεβείας πατὴρ πολλῷ πλέον ἀπολωλὼς καὶ διεφθαρμένος.

Ταύτῃ τοιγαροῦν ὁ Παντολέων εἰς τὴν τελειότητα τῆς κατὰ Χριστὸν πίστεως καταντήσας, εἶδεν εὐθὺς εἰς τὸν οὐρανὸν τοῖς ἔξω ἅμα καὶ τοῖς ἔσωθεν ὀφθαλμοῖς καὶ τὸν καλέσαντα Θεὸν ἀπὸ τοῦ τῆς ἀπωλείας σκότους εἰς τὸ φέγγος τῆς ἀληθείας μετὰ πολλῆς εὐλόγει τῆς εὐθυμίας. Εἶτα οὐχ οἷός τε ὢν φέρειν

www.tezaurliturgic.ro

τὴν ἡδονήν, τῷ πρεσβύτῃ πρόσεισιν Ἑρμολάῳ καὶ τὸ γεγονὸς ἐξηγεῖται καὶ τὸ θεῖον αἰτεῖ παρ᾽ αὐτοῦ βάπτισμα. Ὁ δὲ (ᾔδει γὰρ οἷον οἵῳ χαρίζεται) ἄσμενος ἀσμένῳ ὑπηρετεῖ καὶ θείῳ βαπτίσματι τὸν τοῦ φωτὸς ἄξιον τελειοῖ. Ἑπτὰ δὲ ἡμέρας τῷ γέροντι παραμείνας, τοῖς ποτίμοις αὐτοῦ λόγοις ἄρδεται τὴν καρδίαν, πιαίνεται τὴν ψυχήν, τὴν κοιλίαν ποταμῶν θείων ἔμπλεως γίνεται. Οὕτως ὑπὸ τῷ ἀγαθῷ πνεύματι ἔζη πολλοῖς ὠφέλεια καὶ φωτισμὸς συντηρούμενος· ἡμέρας δὲ γενομένης ὀγδόης, καταλαμβάνει πρὸς τὸν πατέρα. Καὶ ὅς· «Ποῦ ἦς, τέκνον, τὰς πρὸ τοῦ ἡμέρας», φησίν, «καί με πολλῇ περιέβαλες ὀδύνῃ, μή σοί τε τῶν ἀδοκήτων συμβαίη.» Ὁ δέ· «Ἄνδρα», ἔφη, «τῶν περὶ τὰ βασίλεια ὄντων, νόσῳ βαρείᾳ κατειλημμένον περιοδεύοντες ἦμεν ἐγώ τε καὶ ὁ διδάσκαλος· καὶ ἐπεὶ τῷ βασιλεῖ οὗτος κεχαρισμένος ἦν καὶ φροντίδος ὅτι πολλῆς ἄξιος, οὐκ ἦν ἐκεῖθεν ἡμῖν τὸ ἀποστῆναι ῥᾴδιον, ἀλλὰ διετελέσαμεν ταύτας δὴ τὰς ἑπτὰ παρόντες ἡμέρας, ἕως καθαρᾶς ἐκεῖνος ἀπέλαυσε ὑγιείας.» Ταῦτα εἴρηκεν οὐ φιλοψευδὴς ὤν, ἀλλ᾽ οἰκονομῶν ἐν κρίσει τοὺς λόγους· ἔστι γὰρ ὅτε καὶ τὸ ψεῦδος προτιμητέον· οὐ κατά τι φαῦλον καὶ ἀνελεύθερον σπουδαζόμενον, ἀλλὰ κατ᾽ οἰκονομίαν ἐπαινετὴν προσκρινόμενον.

Ταύτῃ τοι καὶ τὴν ἐπιοῦσαν πρὸς τὸν διδάσκαλον Εὐφρόσυνον γεγονώς, ἐπεὶ κἀκεῖνος τὰ ὅμοια ἤρετο, παραπλησίαν δέδωκε καὶ αὐτῷ τὴν ἀπολογίαν. «Ὁ πατήρ», λέγων, «ἀγρὸν ὠνήσατο καὶ τοῦτον ἐμὲ παραλαβεῖν προσετρέψατο· οὗπερ οὐκ ἦν μοι ἀποστῆναι σχολή, ἕως πάντα τὰ αὐτοῦ ἐπόψομαι προσεχόντως, καὶ οἷς προσῆκον ἐκείνου τὴν ἐπιμέλειαν ἐγχειρίσω. Πολλοῦ γὰρ ἄξιος οὗτος καὶ οὐδενὶ ἄλλῳ κτημάτων παραβαλλόμενος.» Τοῦτο δὲ ἔλεγε τὴν τοῦ θείου βαπτίσματος ὑπαινιττόμενος χάριν. Ἔργον δὲ ἐποιεῖτο καὶ λίαν ἐπιμελὲς ἀποστῆσαι τῆς πλάνης τὸν πατέρα αὐτοῦ καὶ συνθέσθαι τῇ

www.tezaurliturgic.ro

*εὐσεβείᾳ παρασκευάσαι, χρέος ὅ,τι μάλιστα δυσαπόδοτον υἱοῦ πρὸς πατέρα τῆς εἰς τὸ εἶναι δηλονότι παραγωγῆς φιλοτίμως ἀποδοῦναι σπουδάζων καὶ τὸν κατὰ σάρκα γεγεννηκότα διὰ πνεύματος ἀναγεννῆσαι βουλόμενος. Ὅθεν οὐ διέλιπε σοφῶς αὐτὸν ὑπιὼν πεύσεις τε προτείνων οὐκ εὐλύτους καὶ οὕτω διασαλεύειν τὴν θρησκείαν αὐτοῦ πειρώμενος. «Τί ποτε», γὰρ ἔλεγε, «οἱ θεοί, πάτερ, οἱ μὲν ἐξ ἀρχῆς ἱστάμενοι ἔτι καὶ νῦν ἵστανται, μηδέποτε καθέδρας μνησθέντες; Ὅσοι δὲ κάθηνται πάλιν, οὕτω διὰ παντὸς μένουσι καὶ οὐδέποτε ὤφθησαν ἀναστάντες;» Τούτων καὶ ἄλλων ὁμοίων ὁ πατὴρ ἀκούσας, ἀπόρως εἶχε πρὸς τὴν ἐπίλυσιν καὶ ἤδη περὶ τοὺς αὐτοὺς διεσέσειστο καὶ ὑπόψυχρος ἦν, ὅπερ ὁ Παντολέων ὁρῶν ἐμεγάλυνε τοῦ Χριστοῦ τὸ ὄνομα καὶ χάριτας αὐτῷ ὡμολόγει, ὅτι τέως γοῦν ἐπιδοιάζοντα ἔθηκε τὸν αὐτοῦ πατέρα καὶ (ὅ φησιν Ὠσηὲ ὁ θεῖος) μερίζοντα καρδίαν, ὅθεν οὐδὲ ἑώρα κατὰ τὴν προλαβοῦσαν συνήθειαν δαψιλῶς αὐτὸν προσφέροντα τὰς θυσίας.*

*Βουληθεὶς οὖν τὴν πρώτην συντρῖψαι καὶ καθελεῖν τὰ τοῦ πατρὸς εἴδωλα πολλὰ ὄντα παρὰ τῷ αὐτοῦ κοιτῶνι, ἐπέσχε, μὴ παροργίσαι βουλόμενος· πολλοῦ γὰρ ἐτίμα τὸ πατέρα τιμᾶν. Ἔλεγε δὲ ὅτι, «πειθοῖ μᾶλλον αὐτὸν ἐπάξομαι καὶ ἐπιεικείᾳ τῷ Χριστῷ πιστεῦσαι», καὶ οὕτως ἀμφοτέροις ἔσται ταῦτα καταβαλεῖν. Διὰ τοῦτο καὶ ὁ τὴν ἐντολὴν δοὺς πατέρα τιμᾶν, τῆς πολλῆς ταύτης εὐλαβείας ἐκεῖνον ἀποδειξάμενος, ἀφορμὴν παρέσχεν ἐπιτηδείαν, ᾗ καὶ τὸν αὐτοῦ πατέρα ὁμαλῶς οὕτω καὶ ἠπίως πιστεῦσαι πεποίηκε, κἀκεῖνον ἑαυτοῦ μισθοῦ ὅσου κατέστησε πρόξενον. Ταῦτα γὰρ ἐνθυμουμένῳ τῷ Παντολέοντι προσέρχονταί τινες χειραγωγούμενον τυφλὸν ἐπαγόμενοι. Κόψαντες οὖν τὴν θύραν, ἐπυνθάνοντο εἰ παρὼν εἴη Παντολέων ὁ ἰατρός. Μαθόντες δὲ παρεῖναι, προσέμενον· καὶ ὃς ἀκούσας, μετὰ πολλῆς ἐξῄει τῆς σπουδῆς, παραλαβὼν ἅμα*

*καὶ τὸν πατέρα. Ἰδὼν οὖν τὸν τυφλὸν ὅτου δέοιτο ἐπηρώτα. Ὁ δέ· «Οὗ ἐστέρημαι φωτός», ἔλεγε, «καὶ οὗ μηδὲν ἥδιον ἀνθρώποις· ἔλεον τοίνυν λαβὼν μου τῆς συμφορᾶς, δὸς οὕτω μὴ ἀτελῶς ζῆν καὶ οἷον ἐξ ἡμισείας, ἀλλ᾽ ὁρᾶν ἥλιον, ὡς νῦν γε οὐδὲν ζῶντες ἡμεῖς τῶν ἐν ᾅδη διενηνόχαμεν. Πάντα γὰρ τὰ ὄντα ἰατροῖς παρασχόντες καὶ ἣν περιελίπετο μᾶλλον μετρίαν αὐγὴν ἀπωλέσαμεν. Τοῦτο τῶν καλῶν ἐκείνων ἰατρῶν ἀπονάμενοι τὸ στερηθῆναι τῆς οὐσίας μετὰ τοῦ φωτός.» Καὶ ὁ Παντολέων· «Τοῖς μὲν ἄλλοις ἰατροῖς», ἔφη, «τὰ ὄντα δοὺς οὐδεμιᾶς ἀπέλαυσας ὠφελείας, ἐμοὶ δὲ τί ἂν ἀναβλέψας παράσχοις;» Καὶ ὅς· «Τὰ περιλειφθέντα», εἶπε, «τῆς οὐσίας προθύμως καταβαλῶ.» Εἶτα ὁ Παντολέων· «Τὴν μὲν τοῦ φωτός», ἔφη, «δωρεὰν ὁ τῶν φώτων Πατὴρ Θεὸς δι᾽ ἡμῶν ἔσται σοι χαριούμενος· σὺ δέ, ἃ ἐμοὶ ἐπηγγείλω, πορευθεὶς πένησι παράσχου.»*

*Τούτων ὁ πατὴρ ἀκούων, ἀπῆγεν αὐτὸν τοῦ ἐγχειρήματος· «Μή σύ γε, φίλτατε», λέγων, «μὴ καὶ γέλωτα ὄφλοις. Τί γὰρ ἂν πλέον τῶν προλαβόντων ἰατρῶν αὐτὸς δυνηθῆς;» Καὶ ὁ Παντολέων· «Ὡς ἐγὼ βούλομαι», ἔφη, «τῷ ἀνδρὶ τῷδε χρήσασθαι, οὐδεὶς τῶν ἄλλων ἐπίσταται ἰατρῶν· πολὺ γὰρ τὸ μέσον αὐτῶν τε καὶ τοῦ ἡμᾶς μαθητεύσαντος.» Δόξαν δὲ τῷ πατρὶ αὐτοῦ περὶ Εὐφροσύνου ταῦτα εἰρηκέναι· «Κἀκεῖνον», εἶπεν, «ἀκήκοα, τέκνον, ἐπιμελείας ἀξιῶσαι τὸν ἄνδρα καὶ μηδὲν πλέον ὀνῆσαι.» Ὁ δὲ Παντολέων· «Ἐπίμεινον», ἔφη, «πάτερ, καὶ αὐτὸ δείξει τὸ πρᾶγμα.» Ταῦτα εἰπὼν καὶ τῶν ὀφθαλμῶν ἁψάμενος τοῦ τυφλοῦ, τὸ μέγα τε ὄνομα τοῦ Χριστοῦ καλέσας καὶ παρ᾽ αὐτοῦ ἴασιν ἐπευξάμενος, εὐθὺς ἐκείνῳ μὲν τὸ τῶν ὀφθαλμῶν, τῷ πατρὶ δὲ τὸ τῆς ἀσεβείας ἔλυσε σκότος καὶ τρανῶς ὁμολογεῖν παρεσκεύασεν τὴν εὐσέβειαν, μᾶλλον δὲ τῷ τυφλῷ διπλῆν παρέχει τὴν ἴασιν· ἦν γὰρ καὶ σαρκὸς ὄμματα καὶ ψυχῆς τυφλώττων, ἅτε καὶ αὐτὸς εἰδώλων προσκυνητὴς ὤν.*

*Καὶ διὰ τοῦ σωματικοῦ φωτὸς καὶ τοὺς τῆς καρδίας διανοιγεὶς ὀφθαλμούς· πιστεύσαντας ἀμφοτέρους τοῦ θείου βαπτίσματος ἀξιοῖ καὶ τῇ τῶν πιστῶν μερίδι συντάττει. Καὶ οὐ μέχρι τούτου τὸν Εὐστόργιον στῆσαι τὸ φιλευσεβὲς ἦν, Παντολέοντός γε ὄντα τοῦ μεγάλου πατέρα· ἀλλὰ πρόδειξιν ἐκεῖνος τοῦ μισῆσαι τὴν πλάνην ἀκριβῆ παρέχων τὰ ἐν τῷ κοιτῶνι συντρίψας εἴδωλα, τῷ βόθρῳ δίδωσι, τὰ λήθης ὄντως καὶ βυθοῦ ἄξια.*

*Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ὁ τοῦ Παντολέοντος οὗτος πατὴρ θνήσκει, θνήσκει δὲ θάνατον τὸν σωματικόν, ἐπεὶ τοῦ τῆς ψυχῆς διὰ τῆς πίστεως πάντως ἀνείθη καὶ τοῦ θείου βαπτίσματος. Ὅθεν ὁ Παντολέων τὸν καιρὸν εὑρὼν συμπράττοντα τῷ θελήματι, τοὺς μὲν οἰκέτας ἀφίησι τῆς δουλείας, ἱκανὰ χρήματα παρασχόμενος, τἆλλα δὲ χεῖρες εἶχον πενήτων. Εἶτα καὶ τοὺς ἐν φυλακαῖς καὶ βασάνοις περιών, ἐθεράπευε τὰ ἐπιτήδεια παρεχόμενος καὶ διδοὺς μετὰ τῆς ὑγιείας καὶ τὴν τοῦ μὴ πένεσθαι θεραπείαν, ὡς μικροῦ πᾶσαν τὴν πόλιν ἰατροῖς τοῖς ἄλλοις χαίρειν εἰπόντας, τῷ Παντολέοντι προσιέναι καὶ παρ᾽ αὐτοῦ ὧν ἕκαστος εἶχεν ἀνίεσθαι νοσημάτων· συνήργει γὰρ αὐτῷ καὶ ἡ τοῦ ἀγαθοῦ Πνεύματος χάρις. Τοῦτο πρὸς πολὺν φθόνον ἐκμαίνει τοὺς ἰατρούς· καὶ παριόντι ποτὲ τῷ πρὸ τοῦ τυφλῷ οὗ ἡ ἀνάβλεψις ἔργον τῆς τοῦ Παντολέοντος εὐσεβείας, χαλεπῶς εἶχον καὶ πρὸς ἀλλήλους· «Οὐχ οὗτος», ἔλεγον, «ὁ τυφλός, ὃς τὴν ἡμετέραν ἤλεγξε τέχνην μηδὲν αὐτῆς ἀπονάμενος; Τίς οὖν ὁ τὴν ἴασιν δούς, καὶ θεραπεύειν τὰ τοιαῦτα δυνάμενος;» Καὶ προκαλεσάμενοι ἐπυνθάνοντο, καὶ ὃς οὐκ ἔκρυψε τὸν θεραπευτήν.*

*Ἐπεὶ δὲ καὶ Παντολέοντα εἶναι τοῦτον τὸν Εὐφροσύνου μαθητὴν ἐμάνθανον, «Μεγάλου διδασκάλου μέγας, τῷ ὄντι», ἔλεγον, «καὶ ὁ μαθητής.» Οὕτως ἀγνοοῦντες εἰς Χριστὸν προεφήτευον. Διεμαστεύετο γοῦν πρόφασις διὰ τὸν φθόνον τοῖς ἰατροῖς, ὥστε κατειπεῖν αὐτοῦ πρὸς τὸν βασιλέα. Ἐπεὶ δὲ εὕροιεν*

*τῶν ὁμολογητῶν τινα θεραπευόμενον ὑπ᾽ αὐτοῦ, προσελθόντες τῷ Μαξιμιανῷ· «Βασιλεῦ», εἶπον, «ὃν σὺ πάσῃ σπουδῇ τὴν ἰατρικὴν ἐκέλευσας ἐκμαθεῖν, ὥστε χρήσιμον εἶναι τῷ κράτει τῷ σῷ, οὗτος, ὡς ἔοικεν, ὀλίγα καὶ τοῦ φόβου καὶ τῆς εὐνοίας τῆς σῆς φροντίσας, περίεισι τούς τε ὑβριστὰς τῶν θεῶν θεραπεύων, καὶ τὰ αὐτὰ ἐκείνοις οὐχ ἁπλῶς φρονῶν, ἀλλὰ καὶ ἑτέρους σέβειν κατὰ τὸ ὅμοιον ἐφελκόμενος, ὃν εἰ μὴ τάχιον τοῦ ζῆν ἀπαλλάξῃς, λύπης οὔ τι μικρᾶς σαυτῷ πρόξενος ἔσῃ, ἅτε πολλοὺς μὲν ὁρῶν ὑπ᾽ ἐκείνου τῆς τῶν θεῶν θυσίας ἀφισταμένους, τὰς δὲ τοῦ Ἀσκληπιοῦ ἰάσεις εἰς Χριστὸν ἀναφερομένας.» Τοῦτο εἰπόντες εἰς πίστιν τῶν εἰρημένων καὶ τόν ποτε τυφλὸν τὸν ὑπὸ Παντολέοντος ἰαθέντα παρελθεῖν ἠξίουν. Ἐπεὶ οὖν ἠκούοντο καὶ παρέστη· «Πῶς ὁ Παντολέων», εἶπον, «ἰάσατό σου τοὺς ὀφθαλμούς;» Ὁ δέ· «Χριστὸν ἐπιβοησάμενος», ἔφη, «καὶ ταῦτα οὐδὲ βραχύ μοι προσδιατρίψας, ἵνα καὶ τέχνης ἔννοιά τις παρεδύετο, ἀλλὰ σχεδὸν ἔφθανε τὴν ἐπίκλησιν ἡ τοῦ φωτὸς ὅρασις.» «Σοὶ δὲ τί παρίσταται;» ὁ βασιλεὺς ἔφη· «Χριστὸν εἶναι λέγεις τὸν ἰασάμενόν σε ἢ τοὺς θεούς;» Καὶ ὁ θεραπευθείς· «Βασιλεῦ», εἴρηκεν, «αὐτοῖς τοῖς πράγμασι τὴν κρίσιν ἐπιτρεπτέον· τούτους γάρ, οὓς ὁρᾷς ἰατρούς, πολλὰ ἐπ᾽ ἐμοὶ καμόντες, ἑαυτοῖς μὲν ὤνησαν, τὴν οὐσίαν κατακείραντες τὴν ἐμὴν διὰ τὰς ματαίας, φεῦ, τοῦ φωτὸς ἐλπίδας, ἐμὲ δὲ οὐδέν, ὅτι μὴ καὶ προσέβλαψαν διαφθείραντες καὶ ἣν εἶχον μετρίαν αὐγήν. Τίνα οὖν χρὴ βοηθὸν ἡγεῖσθαι, Ἀσκληπιὸν τὸν ὑπὸ πολλῶν κληθέντα καὶ μηδὲν πλέον ὀνήσαντα, ἢ Χριστὸν τὸν ὑπὸ Παντολέοντος μόνου καὶ παραχρῆμα τὸ φίλον πᾶσι φῶς ἐμοὶ δωρησάμενον; Τοῦτο, βασιλεῦ, δῆλον ἀληθῶς καὶ τυφλῷ.»*

*Πρὸς ταῦτα Μαξιμιανὸς ἀπορῶν λόγου καὶ ὥσπερ ἐξ ἐπιτάγματος μόνου πειθὼ παρέχειν δυνάμενος· «Μὴ μώραινε», ἔφη, «μηδὲ Χριστὸν εἰς ἅπαξ ὀνομάζων ἔσο· ἄντικρυς γὰρ οἱ*

*θεοί σοι τὸ φῶς ἐδωρήσαντο.» Ὁ δὲ πρὸς τὴν ἀλήθειαν, οὐ πρὸς τὴν ἐξουσίαν τὸ παράπαν ἰδὼν καὶ ὑπὲρ τὸν τοῦ Εὐαγγελίου τυφλὸν ἀτεχνῶς παῤῥησιασάμενος· «Σὺ μωραίνεις», ἔφη, «φωτὸς δωτῆρας τοὺς τυφλοὺς ὀνομάζων, οἷς καὶ αὐτὸς ὁμοίως τυφλώττων εἶ, τοιαῦτα δοξάζων καὶ πρὸς τὸ φῶς τῆς ἀληθείας ἀπιδεῖν μὴ δυνάμενος.» Θυμὸς ἐπὶ τούτοις εἶχε τὸν τύραννον. Ποῦ γὰρ ὅλος κολακείαις ὑπόσαθρος καὶ διεφθαρμένη ψυχὴ λόγων ὑπ᾿ ἀληθείας δριμυτέρων ἀνάσχοιντο ἄν; καὶ εὐθέως ἀψευδῆ κρίνας τὰ ὑπὸ τῶν ἰατρῶν ἐκείνων λεχθέντα, κελεύει τὴν κεφαλὴν ἐκκοπῆναι τοῦ φιλοχρίστου, ἐπιτίμιον αὐτῷ τῆς ἀληθείας ἐπενεγκὼν τὸν θάνατον καὶ ἄκων παρασκευάσας καλὰς αὐτὸν ἀποδοῦναι χάριτας τῷ τεθεραπευκότι Χριστῷ τὴν μαρτυρίαν. Ὁ μέντοι Παντολέων οὐδὲ οὕτως ἠμέλει ταῦτα προσήκοντα τῷ καιρῷ καὶ τοῖς πράγμασι ποιεῖν· ἀλλὰ χρημάτων ὀνησάμενος παρὰ τῶν ἀνελόντων τὸ σῶμα τοῦ μάρτυρος, τῷ πατρὶ συνθάπτει τῷ ἑαυτοῦ, καθάπερ διὰ τῆς εἰς Χριστὸν ὁμολογίας αὐτὸν ἐξιδιωσάμενος· καὶ πολλῷ τῆς δι᾿ αἵματος συγγενείας τοῦτον οἰκειότερον τῷ ἑαυτῷ λογισάμενος.*

*Εἶτα ὁ βασιλεὺς τὸν Παντολέοντα ἐκάλει πρὸς ἑαυτόν, καὶ ὃς ἀπαγόμενος οἰκεῖον τῷ καιρῷ τοῖς χείλεσι ψαλμὸν ᾖδεν· «Ὁ Θεός, τὴν αἴνεσίν μου», λέγων, «μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ᾿ ἐμὲ ἠνοίχθη· ἐλάλησαν κατ᾿ ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν, ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην, καὶ ἔθεντο κατ᾿ ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου· ἀλλὰ βοήθησόν μοι, Κύριε ὁ Θεός μου, καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου· ἐνδυσάσθωσαν οἱ διαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν· ὁ δὲ δοῦλός σου εὐφρανθήσεται*

*ἐπὶ σοί.» Καὶ τῆς εὐχῆς αὐτῷ ληξάσης, εἱστήκει τοῦ βασιλέως ἐνώπιον, ἢ μᾶλλον εἰπεῖν, οὐκ ἐκείνου, τοῦ ἀθανάτου δὲ καὶ διαιωνίζοντος. Αὐτῷ γὰρ ἦν παριστάμενος ἀληθῶς κατὰ νοῦν οἱ συγγινόμενος, ὃν ἐκεῖνος ὁμαλῶς τὰ πρῶτα καὶ λίαν ἠπίως· «Οὐκ ἀγαθά», ἔλεγεν, «ὦ Παντόλεον, ἃ δὴ περὶ σοῦ ἀκηκόαμεν, ὡς ἠμελῆσθαι μὲν τὸν μέγαν Ἀσκληπιὸν καὶ τοὺς ἄλλους παρὰ σοὶ θεούς, ἐπὶ Χριστὸν δὲ ἐκεῖνον τὸν ἀπολωλότα κακῶς ἀναρτῆσαί σε τὰς ἐλπίδας καὶ τοῦτον μόνον ὀνομάζειν Θεόν, καίτοι γε οὐκ ἠγνόησας τὰ ἐμὰ πάντως, καὶ οἷον εὐμενῶς ἑώρων πρός σε καὶ ὅπως ἐξοικειούμενός σε πολλὰ τῷ διδασκάλῳ σου Εὐφροσύνῳ ἐπήγγειλα ἄριστόν σε τὴν ἰατρικὴν ὡς τάχιστα ἀποδεῖξαι, ὥστε μοι τὰ πρὸς τούτῳ εὔχρηστον εἶναι. Σὺ δέ, ἀλλὰ πολλὰ πάντως εἴποιεν ἄνθρωποι ψευδῶς καὶ ματαίως, καὶ διὰ τοῦτό σε προσκέκλημαι, ὥστε κἀκεῖνα ἅπερ δὴ καὶ ἠκούσθη μοι κενὰ δήπου καὶ βασκάνων ἄλλως συκοφαντίαν ἀπελεγχθῆναι καὶ σὲ τοῖς μεγίστοις θεοῖς, ὡς προσῆκε, θυσίαν προσενεγκεῖν.»*

*Πρὸς ταῦτα ὁ Παντολέων· «Ἔργα λόγων, βασιλεῦ», ἔφη, «πιστότερά τε καὶ ἰσχυρότερα, καὶ πάντων μὲν καὶ τῶν ἄλλων πραγμάτων πίστιν προηγεῖσθαι δεῖ καὶ ἀλήθειαν. Ἡ δὲ περὶ τὸ Θεῖον εὐσέβεια ὅσον ὑψηλοτέρα, τοσοῦτον ἄρα πλείονος δεομένη τῆς ἀκριβείας. Ὁ μὲν οὖν παρ᾽ ἐμοῦ προσκυνούμενος οὐρανὸν ἐποίησε, γῆν ὑπέστησε, νεκροῖς ἀνάστασιν, τυφλοῖς ἀνάβλεψιν, λεπροῖς κάθαρσιν, παρειμένοις ἀνόρθωσιν θελήματι μόνῳ καὶ λόγῳ παρέσχε. Θεοὶ δὲ οἱ παρ᾽ ὑμῶν λεγόμενοι καὶ σεβόμενοι οὐκ οἶδα εἴ τι τοιοῦτον ἢ εἰργάσαντο ἢ ὅλως εἰσὶ δυνατοὶ ἐργάσασθαι. Εἰ δὲ βούλει, καὶ νῦν αὐτοῖς πράγμασι, βασιλεῦ, τὴν βάσανον δῶμεν, καὶ παρελθέτω τις ἐνταῦθα τῶν ἀνίατα νοσούντων καὶ ὧν ἀνθρωπίνη τέχνη καὶ χεὶρ ἀπαγορεύει τὴν θεραπείαν. Παρελθέτωσαν δὲ καὶ οἱ παρ᾽ ὑμῖν ἱερεῖς. Εἶτα*

*ἐπικλητέον ἐκείνοις μὲν πρώτοις τοὺς ἑαυτῶν θεούς, ἐμοὶ δὲ τὸν ὑπ᾽ ἐμοῦ λατρευόμενον καί, ὃς ἂν ὀνομασθεὶς φυγάδα θείη τὴν νόσον, οὗτος Θεὸς μόνος καὶ λογιζέσθω δήπου καὶ σεβαζέσθω· τοὺς δὲ ἄλλους οἰμώζειν ἐῶμεν, λήθην αὐτῶν μακρὰν καταχέαντες.» Ἤρεσκε ταῦτα τῷ βασιλεῖ· Θεοῦ γὰρ ἦν τοῦτο καὶ τῆς ἄνωθεν προνοίας οἰκονομία, ἵνα δὴ τὰ τῆς πίστεως καὶ τοῖς ἐχθροῖς ἀναμφίλογα ᾖ, καὶ οὕτως ἐν τῷ προφανεῖ μᾶλλον νικήσειεν ἡ ἀλήθεια.*

*Ἄγεται τοίνυν εἰς μέσον παρειμένος ἀνήρ, κλινοπετὴς ὢν καὶ τῇ παραμόνῳ παρέσει μικροῦ πλέον τῆς ἐχούσης αὐτὸν κλίνης μηδὲ κινεῖσθαι δυνάμενος. Παριστάντες οὖν οἱ τῶν ματαίων θεῶν ἱερεῖς τε καὶ ἰατροὶ ματαιότατοι, οἱ μὲν Ἀσκληπιόν, οἱ δὲ Δία, οἱ δὲ Ἄρτεμιν, ἄλλοι δὲ ἄλλους ἐπεκαλοῦντο, ἀνόητοι ἀνοήτων ἱκέται δεικνύμενοι, καὶ μάλιστα ἐν οὕτως ἐκτόπῳ καὶ ὑπερφυεῖ πράγματι· ἴσον γὰρ ἦν αὐτὸν ῥασθῆναι καὶ τοὺς ἐκείνων θεοὺς αἴσθησιν ὀφθῆναι καὶ λόγον ἔχοντας. Τίνα οὖν τὰ οὕτως ἄφωνα καὶ κωφά, τίνα παρέχειν ἄλλοις ἠδύναντο θεραπείαν; Οὔκουν οὐδὲ παρέσχον, ἀλλὰ πολλὰ τῶν εἰρημένων αἰτησαμένων, αὐτὸ τοῦτο ὅπερ ἦσαν καὶ τοῖς δεηθεῖσιν ἐφάνησαν. Οὓς ὁ Παντολέων ὁρῶν μειδιάματι εὐπρεπεῖ τὴν ματαιοπονίαν αὐτῶν ἐμυκτήρισεν. Ἐπεὶ δὲ καὶ αὐτὸς τὴν ἐπίκλησιν ἐπετράπη, αἴρει μὲν τὸ ὄμμα εἰς τὸν οὐρανόν, συνανατείνει δὲ τούτῳ καὶ τὴν διάνοιαν, καί, «Κύριε, εἰσάκουσον», ἔφη, «τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, ἐν ᾗ ἂν ἡμέρᾳ θλίβωμαι κλῖνον πρός με τὸ οὖς σου· ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε ταχὺ ἐπάκουσόν μου, καὶ δεῖξον τοῖς σε ἀγνοοῦσι καὶ τοῖς μὴ οὖσι σεβομένοις θεοῖς, ὅτι πάντα δύνασαι, Βασιλεῦ, ἀδυνατεῖ δέ σοι οὐδέν.» Οὕτως ἔφη καὶ τῆς χειρὸς ἁψάμενος τοῦ κειμένου· «Ἐν τῷ ὀνόματι», λέγει, «Χριστοῦ τοῦ ἀνορθοῦντος τοὺς*

κατεῤῥαγμένους, ὑγιὴς ἔσο καὶ ὑγιῶς τοῖς μέλεσι χρώμενος.» Εἶπεν καὶ ὁ λόγος εἰς ἔργον ἐξέβη, καὶ ἡ κλίνη τὸν παρειμένον οὐκέτι, ἀλλ᾽ οἱ πόδες εἶχον ἑαυτοῦ θαῤῥούντως βαίνοντα καὶ σχεδὸν ᾄττοντα καὶ εὐθὺ οἴκου μετὰ θερμῆς ὅσης τῆς ἡδονῆς πορευόμενον.

Οὐ μέχρι τούτου τὰ τῆς θεραπείας ἔστη, ἀλλ᾽ αὐτὸν μὲν κατὰ σῶμα, πολλοὶ δὲ ἄλλοι παρειμένοι καὶ ψυχὴν καὶ ἀσεβείας πάθει κατεῤῥαγμένοι, τὸ γεγονὸς θεασάμενοι, ἀνέστησάν τε καὶ ἀνωρθώθησαν, καὶ τῆς προτέρας πλάνης πολλὰ καταγνόντες τὸν ἀψευδῆ Θεὸν ἐσεβάσθησαν. Τοῖς μιαροῖς μὲν οὖν ἱερεῦσι καὶ ἀνιάτως ἔχουσιν ἰατροῖς ἐθελοκακοῦσιν οὐκ εἰσέδυ τὸ φέγγος τῆς εὐσεβείας, ἀλλὰ δυσαπαλλάκτως εἶχον τῶν μοχθηρῶν, ὡς ἂν ἐπὶ πολὺ τούτοις συνειθισμένοι, ὅθεν καὶ τῷ Μαξιμιανῷ προσελθόντες, ἐξώργιζον αὐτὸν κατὰ τοῦ ἁγίου καί, «Εἰ ζῆν ἐκεῖνον ἐάσῃς», ἔλεγον, «οἴχεταί σοι μετὰ τῶν θυσιῶν καὶ τὰ θεῶν, καὶ μῦθος ἄντικρυς δόξει θρησκεία τε ἡμετέρα καὶ ἱερὰ ὄργια, Χριστιανοὶ δὲ πλατὺ γελάσουσι καθ᾽ ἡμῶν καὶ ἰσχύσουσι, καὶ τὰ αὐτῶν ἀνθήσει μᾶλλον, καὶ πολὺ ἔσται τῶν ἡμετέρων ἐπικρατέστερα.» Ταῦτα εἰπόντες, ἀκούοντος ἔτυχον καὶ πειθομένου τοῖς λεγομένοις. Μετακαλεῖται τοίνυν ὁ βασιλεὺς τὸν Παντολέοντα καὶ οἱονεὶ δέλεαρ φιλανθρωπίας τὴν παραίνεσιν αὐτῷ προτείνων· «Πείσθητί μοι», ἔλεγε, «Παντόλεον, καὶ θυσίαν προσένεγκε τοῖς θεοῖς· ἢ οὐχ ὁρᾷς ὅτι ὅσοι τοῦτο ποιῆσαι ἠπείθησαν, βαρυτάτας κολάσεις καὶ θάνατον ἔσχον τῆς ἀπειθείας ἀντίδοσιν; καὶ μάρτυς τούτου ὁ πρὸ μικροῦ ἀθλίως τοῦ ζῆν ἀποῤῥαγεὶς Ἄνθιμος ὁ γέρων. Ἐγὼ δέ σου κήδομαι τῆς νεότητος καὶ οὐ βούλομαι οὕτως κακῶς ἀπολέσθαι. Ἴσθι γὰρ ὅτι πολλαί σε καὶ χαλεπαὶ διαδέξονται βάσανοι τῆς αὐτῆς ἐχόμενον ἀπειθείας.»

Καὶ ὁ Παντολέων τὰς μὲν παραινέσεις ὡς φανερὰν ἀπάτην

*ἐκκλίνων, τὰς ἀπειλὰς δὲ ὡς ἀσθενεστέρας καὶ ὀνειράτων περιφρονῶν· «Μηδὲ παραινέσεσιν», ἔφη, «βασιλεῦ, οἴου με πείσειν, μήτε καταπλήξειν ταῖς ἀπειλαῖς. Τί γὰρ ἢ τῶν τοῦ κόσμου ἀγαθῶν αἱρήσει, ἢ τῶν φοβερῶν δεδίξεται τὸν οὐχ ἁπλῶς θανάτου καταφρονοῦντα, ἀλλὰ καὶ μακάριον τοῦτον καὶ ἐράσμιον εἶναι διὰ Χριστὸν λογιζόμενον; τὰς δὲ ὑπὲρ αὐτοῦ βασάνους τοσοῦτον ἀπέχω δεδοικέναι, ὥστε καὶ ζημίαν οὐ μικρὰν ἥγημαι, εἰ μὴ πλείους εἶεν καὶ χαλεπώταται καὶ τὴν περὶ ταύτας φιλανθρωπίαν πάσης ὠμότητος τίθεμαι βαρυτέραν· ἀμέλει καὶ Ἄνθιμον τὸν καλόν, οὐχ ὡς σὺ ἄθλιον, ἀλλὰ καὶ σφόδρα μακάριον εἶναι κρίνω καὶ τὸν αὐτοῦ θάνατον ζωῆς προτίθεμαι πάσης, ὅτι τοιούτῳ τέλει τὸ σεμνὸν ἐκόσμησε γῆρας καὶ λευκότητα πολιᾶς αἵματι ἐφοίνιξε μαρτυρίου. Εἰ δὲ ἐκεῖνος οὕτως ἡλικίας ἔχων, οὕτως ἐφάνη καρτερικός, ἐμὲ τὸν ἐνταῦθα νεότητος ὄντα, ποῖον οὐ δεῖ τῶν χαλεπῶν ὑποστῆναι, ἵνα τῶν ἴσων τῷ γέροντι στεφάνων ἀξιωθῶ; Οὐ τοίνυν πείσεις, οὐχ αἱρήσεις, οὐ τῆς ὁμολογίας ταύτης ἐκστήσεις ἡμᾶς, βασιλεῦ, οὐ μὰ τὰ ἱερά μοι καὶ θεῖα μαρτύρια, οἷς ἐγὼ πεπληροφόρημαι τὴν ἀλήθειαν· αἰσχυναίμην γὰρ ἂν καὶ πατρίδα καὶ τῆς ἐμὲ τεκούσης μητρὸς τὸ φιλόθεον, παρ᾽ ᾗ μοι καλῶς καὶ τὰ τῆς εὐσεβείας προσετυπώθη καὶ ᾗπερ ἐν σκηναῖς αἰωνίοις συναναπαύεσθαι κατεπείγομαι.» Ἔφη ταῦτα ὁ Παντολέων, καὶ διὰ βραχέων ὑπέδειξεν, οἵῳ προσβεβληκὼς ἦν ὁ τοῖς σκήπτροις καὶ τῷ θρόνῳ μεγαλαυχούμενος, καὶ ὅτι ἐκεῖνον πείσειν ἐλπίδας δικτύῳ θηράσειν αὔρας ἤλπισεν ἢ ἀετὸν ἑλεῖν νεφέλαις ὑπεριπτάμενον. Ὅθεν καὶ ἀπορῶν τοῦ πείθειν, πεῖραν αὐτῷ καθῆκε τὴν διὰ τῶν βασάνων, ὃ τῆς ἐξουσίας ἦν, οὐχὶ τῆς σοφίας καὶ τῆς φρονήσεως.*

*Καὶ πρῶτα μὲν ξύλου ἀπήρτητο καὶ σιδηροῖς ὁ μάρτυς ὄνυξι κατεξέετο· πρὸς δὲ καὶ λαμπάδες πυρὸς ταῖς αὐτοῦ πλευραῖς ὑπεκαίοντο. Ὁ δὲ οὐ ταῖς πληγαῖς καὶ ταῖς καύσεσιν, ἀλλὰ*

τῷ δυναμένῳ βοηθεῖν προσεῖχε καὶ τὸ ὄμμα αἴρων εἰς οὐρανόν, προσηύχετο καὶ διὰ τοῦτο παρῆν εὐθὺς ὁ ῥυόμενος· καὶ ὁ Χριστὸς ἐν σχήματι Ἑρμολάου ἐπιφανεὶς αὐτῷ τοῦ πρεσβύτου, παρακαλῶν ἦν πάνυ γνησίως καὶ ἀνακτώμενος· «Ἐγὼ γάρ εἰμι μετὰ σοῦ, ὥσπερ πρότερον», ἔφη, «τοῖς ἀποστόλοις, ἐν πᾶσιν οἷς πάσχων δι᾽ ἐμὲ καρτερεῖς.» Καὶ ὅτι παρῆν, ἐγγὺς ἡ ἀπόδειξις. Ἅμα γὰρ καὶ αἱ τῶν δημίων παρεῖντο χεῖρες, καὶ αἱ λαμπάδες ἐσβέννυντο, καὶ ὁ βασιλεὺς καὶ τοῦ κολάζειν πλέον ἀπείχετο. Κελεύει τοιγαροῦν αὐτὸν κατενεχθῆναι τοῦ ξύλου, οὐκ ἐλεῶν μᾶλλον, ἀλλ᾽ ὅ,τι πράξοιτο διαπορῶν καὶ τοῦ πλείονος τό γε γοῦν ὑπὸ τῆς ἄνω χειρὸς εἰργόμενος. Εἶτα προσσχὼν αὐτῷ, «Τίς ἡ τέχνη αὕτη τῆς γοητείας», ἔλεγε, «Παντόλεον, ἥ σοι καὶ τὰς λαμπάδας ἔσβεσε καὶ τοὺς δορυφόρους ἐν ἀτονίᾳ κατέστησεν;» Ὁ δέ· «Ἡ ἐμή», ἔφη, «γοητεία, Χριστός ἐστιν, ὃς καὶ παρίσταταί μοι ταῦτα διενεργῶν.» «Εἰ οὖν μείζονας», ὁ βασιλεὺς εἶπεν, «ἐπάξομαι τὰς βασάνους, τί ποτε δράσεις;» «Τί ἄλλο», φησὶν ὁ μάρτυς, «ἢ καὶ αὐτὸς μειζόνων ἀπολαύσω τῶν ἀντιλήψεων;» Ἤκουεν ἡ πονηρία καὶ πεῖραν ἐπήγαγεν· οὔτε γὰρ πιστεύειν ᾔδει τοῖς ἀγαθοῖς, οὔτε τῶν βλαπτόντων ἀπείχετο. Ἐκέλευεν οὖν λέβητα σιδηροῦν, ᾧ μόλιβδος ἐνῆν, παραχθῆναι, πυρί τε αὐτὸν κάτωθεν ὑποκαίεσθαι καὶ τούτῳ τὸν ἀθλητὴν ἐμβληθῆναι. Ἐπεὶ δὲ σπουδῇ τὸ κελευσθὲν ἠνύετο, ἀπαγόμενος πρὸς τὴν τιμωρίαν ὁ μάρτυς, τὴν προσευχὴν πάλιν, ὥς τι σβεστήριον καὶ παράκλησιν ἱκανῶς ἀναψύχειν αὐτὸν δυναμένην, λαμβάνει τῷ στόματι καὶ ταύτην τοῦ δεινὸν ἀπειλοῦντος ἐκείνου κατῇδε λέβητος· «Εἰσάκουσον, ὁ Θεός, φωνῆς μου», λέγων, «ἐν τῷ δέεσθαί με πρός σε, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου. Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν.» Οὕτως ηὔξατο, καὶ αὖθις ἐν εἴδει τοῦ ἱεροῦ γέροντος Ἑρμολάου ὁ

*Χριστὸς αὐτῷ καθωρᾶτο, τῷ λέβητί τε σὺν αὐτῷ ἐγκατέδυ καὶ τὸ πῦρ εὐθέως ἀπεσβέννυτο, καὶ ὁ μόλιβδος εἰς τὴν φυσικὴν ψυχρότητα μετεβάλλετο. Καὶ πάλιν εὐχὴ αὐτῷ καὶ ψαλμὸς κατὰ καιρὸν ᾔδετο· «Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέν μου. Ἑσπέρας καὶ πρωὶ καὶ μεσημερίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου.»*

*Τῶν μὲν παρόντων τοὺς ἄλλους ἅπαντας ἔκπληξις εἶχε· μόνος δὲ ὁ βασιλεὺς ὑπὸ τῆς αὐτῆς πλάνης ἰσχυρῶς εἴχετο, καὶ τοῦτο ἦν διαμεριμνῶν, ποίᾳ κολάσει τὸν τοῦ Χριστοῦ μάρτυρα τιμωρήσαιτο καὶ ἢ μεταθέσθαι τῆς εὐσεβείας πείσει ἢ κακῶς τοῦ ζῆν ἀπαλλάξει. Ἐπεὶ δὲ συνεβούλευον οἱ παρόντες βυθῷ θαλάσσης παραδοθῆναι τὸν ἅγιον (ἐφθόνουν γὰρ καὶ μετὰ τέλος τῶν αὐτοῦ λειψάνων Χριστιανοῖς) ἀκούων ὁ βασιλεὺς ἐπείθετο· καὶ κελεύει λίθον ὅ,τι βαρύτατον τοῦ τραχήλου αὐτοῦ ἐκδεθῆναι καὶ οὕτως τῷ πελάγει ἐναφεθῆναι. Ἔμελεν οὖν τοῖς ὑπηρετοῦσι μὲν τάχιον ἐκπληρῶσαι τὸ προσταχθέν, τῷ δὲ Θεῷ βοηθῆσαι τῷ δι' αὐτὸν πάσχοντι, ὅπερ δὴ καὶ γενόμενον ἦν ὁρᾶν. Οἱ μὲν γὰρ προσωτέρω θαλάσσης ἐλθόντες, αὐτὸν ἀφιᾶσι, τὸν λίθον ἐξάψαντες τοῦ τραχήλου. Ὁ δὲ Χριστὸς τῇ προτέρᾳ μορφῇ πάλιν Ἑρμολάου ἐπιφανείς, τὸν μὲν λίθον ἴσα δὴ καὶ φύλλῳ τῇ θαλάσσῃ ἐπιπλεῖν παρεσκεύασεν, ἐκεῖνον δὲ χειραγωγῶν, οἷα καὶ Πέτρον τὸν μέγαν πρότερον πεζεύειν ἐποίει κατὰ κυμάτων· αὐτὸς γὰρ ὁ λυτρούμενός τε καὶ σῴζων αὐτὸς ἦν, οὗ ἐν τῇ θαλάσσῃ καὶ ὁδοὶ καὶ ἐν πολλοῖς ὕδασιν αἱ τρίβοι καὶ τὰ ἴχνη, κατὰ τὸν θεῖον Δαυΐδ, οὐκ ἐγνώσθησαν. Ὥδευε τοιγαροῦν Παντολέων ὁ θαυμαστὸς καὶ ἤδη ἐπὶ τὸν αἰγιαλὸν ᾔει, αἶνον τῷ σεσωκότι πλέκων, αὐτοῦ τε τῆς φιλοθέου ψυχῆς καὶ τῶν ἐκείνου θαυμασίων ἐπάξιον. Ὃν θεασάμενος οὕτω παρ' ἐλπίδα σωθέντα ὁ βασιλεύς· «Τί τοῦτο», ἔλεγε, «Παντόλεον; καὶ τῆς θαλάττης ταῖς γοητείαις κατεκράτησας;» Ὁ δέ· «Καὶ*

www.tezaurliturgic.ro

ἡ θάλασσα», ἔφη, «τὸ κελευσθὲν ὑπὸ τοῦ δεσπόζοντος αὐτῆς εἴργασται· εἴκει γὰρ τῷ αὐτῷ θάλασσά τε καὶ γῆ καὶ πάντα τὰ ὄντα μᾶλλον εἴκουσιν, ἢ σοί, βασιλεῦ, οἱ νῦν προσκαίρως ὑπηρετοῦντες.»

Πρὸς ταῦτα ὁ τύραννος, πεῖσαι μᾶλλον κακῶς ἢ πεισθῆναι καλῶς τε καὶ σωτηρίως βουλόμενος, θῆρας παραχθῆναι παντοδαποὺς κατὰ τοῦ γενναίου κελεύει· ὧν ἐνεχθέντων, ἐγγὺς ἐκεῖνον παραστησάμενος καὶ τοῦτο μὲν φόβον αὐτῷ ἐμποιῶν, τοῦτο δὲ καὶ ὡς οἰκτίρων φαίνεσθαι μηχανώμενος καὶ παντοῖος πρὸς τὸ πείσειν γινόμενος· «Οὗτοι», ἔφη, δείξας αὐτῷ τοὺς θῆρας, «διὰ σὲ καὶ τὴν ἀπώλειάν γε τὴν σὴν παρήχθησαν, Παντόλεον· εἴ τι οὖν οἰκτίρεις σαυτὸν (κήδομαι γάρ σου καὶ ὥρας καὶ ἡλικίας), πεισθῆναι θέλησον καὶ ὀφθῆναι φρένας ἔχων καὶ νοῦν, ἅτε προκρίνειν δυνάμενος θανάτου ζωήν, ὀδυνῶν εὐφροσύνας, ἀτιμίας πάσης δόξαν τε καὶ τρυφάς.» Πρὸς ὃν ὁ ἅγιος· «Εἰ πρὸ τοῦ πεῖραν λαβεῖν», ἔφη, «τῆς τοῦ Θεοῦ περὶ ἐμὲ ἀντιλήψεως, οὐκ εἶχον πείθεσθαί σου τοῖς λόγοις, νῦν ἀφ᾽ οὗ τοσαύτης ἀπέλαυσα τῆς ἐπικουρίας, πειθόμενος ἔσομαι; Τί δέ με καὶ τὴν τῶν θηρίων, ὦ βασιλεῦ, ὠμότητι μορμολύττῃ; Καὶ γὰρ ὁ τῶν σῶν δορυφόρων τὰς τιμωρητικὰς χεῖρας ἀπράκτους καὶ ἀσθενεῖς ποιησάμενος καὶ τὸ πῦρ ψυχρὸν ἀποδείξας, τὸν μόλιβδόν τε εἰς ὕδωρ μεταποιήσας καὶ αὐτὴν πεδήσας τὴν θάλασσαν, δυνατός ἐστι πάντως καὶ ταυτὶ τὰ ἄγρια τιθασεῦσαι θηρία καὶ προβάτων ἡμῖν ἡμερώτερα ταῦτα παρασκευάσαι.»

Ἐπεὶ οὖν ἀπειθὴς μένων ὁ τοῦ Χριστοῦ μάρτυς, ἔμελλε θηριομαχεῖν, ἅτε τοῦ μὴ δαίμοσι προσκυνῆσαι καλῶς γε ποιῶν καὶ τὸ θηρίοις ἐκδοθῆναι κακὸν εἶναι κουφότερον λογισάμενος· συνέρρει μὲν πᾶσα ἡ πόλις ἰδεῖν τὸ γινόμενον, νεανίαν οὕτω καλόν, εὐγενῆ τὸ σῶμα, εὐγενῆ τὴν ψυχήν, οὐδὲν ὅ,τι κακὸν δράσαντα κακῶς μέλλοντα παθεῖν καὶ θηρίοις ἐκδοθησόμενον.

*Ἀπήγετο καὶ ὁ δίκαιος ὡς λέων πεποιθὼς κατὰ τὸ ᾀδόμενον καὶ οὐδὲν ὑφειμένον ἢ μαλακὸν ἢ πρὸς ἔλεον ὁρῶν. Καὶ πῶς γὰρ ἔμελλε, τοῦ συνήθους βοηθοῦ πάλιν εἰς ὄψιν Ἑρμολάου συνόντος αὐτῷ καὶ θαῤῥεῖν ἐπιτρέποντος; Εἶτα τῶν θηρίων ἐπαφεθέντων τῷ ἀθλητῇ, οὕτω κελεύσαντος τοῦ πολλῷ τούτων ἀγριωτέρου τυράννου, οἱ μὲν παρόντες εὐθὺς ᾤοντο τὸν ἅγιον διασπαραχθήσεσθαι, μὴ ὄντος τοῦ ῥυομένου μηδὲ σῴζοντος· οὐχ οὕτω δὲ τοὺς θεοσεβεῖς παρεσκεύασεν ὁ λέγων· «Τὸν Ὕψιστον ἔθου καταφυγήν σου· οὐ προσελεύσεται πρός σε κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου·» καί· «Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.» Οὔκουν οὐδὲ διέψευσε τοῦ πιστεύσαντος τὴν ἐλπίδα. Τοσοῦτον γὰρ ἀπέσχον οἱ θῆρες τοῦ κακῶς διαθέσθαι τὸν ἅγιον, ὡς μικροῦ καὶ τὸ μὴ θῆρας εἶναι ὅλως αὐτοὺς νομισθῆναι, θῆρας, ἔφην, μηδ᾽ ἁπλῶς ἄλογα καὶ τοῦ φρονεῖν ἀπεστερημένα, ἀλλ᾽ οἷόν τινας ἔμφρονας καὶ τῆς τῶν λογικῶν ὄντας μερίδος, μετὰ πολλῆς τῷ μάρτυρι προσιόντας εὐλαβείας, σαίνοντας δὲ ἡδέως καὶ φιλανθρώπῳ γλώσσῃ καὶ θεραπευτικῇ τῶν ποδῶν παραψαύοντας, ἄλλως τε δὲ καὶ ἀλλήλοις διαμιλλώμενοι, τίς πρῶτος αὐτῶν προσέλθοι, οὐ πρότερον ἀφιστάμενοι, πρὶν ἂν ὁ μάρτυς αὐτοῖς ἐπιθῇ τὴν χεῖρα καὶ εὐλογήσειεν.*

*Ἦν οὖν ἰδεῖν πρᾶγμα κομιδῇ καινότατον· ἐπεὶ γὰρ τοιαύτη τοὺς ἀνθρώπους ὑπῆλθε κακία, ὥστε ὁμοῦ καὶ ἀλόγων αὐτοὺς ἄνοιαν καὶ ὠμότητα θηρίων ὑπερβαλεῖν, τὴν μὲν ἐν τῷ μὴ σέβεσθαι τὸν πεποιηκότα, τὴν δὲ ἐν τῷ τιμωρεῖσθαι τοὺς αὐτὸν σεβομένους, ᾠκονόμησεν ὁ πάντα μετασκευάζων Θεὸς ἔμπαλιν τοὺς θῆρας οἷα λογικοὺς ὀφθῆναι καὶ ἀνθρώπων ἡμερότητα μιμουμένους, κήρυκας ἀψευδεῖς ὄντας τῆς ἐκείνων κακίας καὶ τῆς αὐτοῦ ἀφράστου μακαριότητος. Ὅθεν καὶ οἱ παρόντες ἐπὶ τῷ γενομένῳ· «Μέγας ὁ τῶν Χριστιανῶν Θεός ἐστιν, ὁ μόνος καὶ*

*ἀψευδής», ἐβόων, καί· «Ἀφιέσθω ὁ δίκαιος.» Τί οὖν ὁ ἀληθῶς θὴρ καὶ ὠμότατος βασιλεύς; Ἐπάγει τὸν θυμὸν κατὰ τῶν θηρίων καὶ πάντα εὐθὺς ἀναιρεῖ, ὥσπερ διαφθονήσας αὐτοῖς τῆς συνέσεως καὶ τὸν ὑπ᾽ ἐκείνων οὐκ ἐνεγκὼν ἔλεγχον. Τὰ δὲ καὶ οὕτως ἀναιρεθέντα ἐπὶ πολλαῖς ἔμενε ταῖς ἡμέραις, οὐδενὶ βρῶσις τῶν σαρκοβόρων γινόμενα, τιμῶντος κἀν τούτῳ ἀθλητὴν τοῦ Θεοῦ καὶ πρὸς εὐσέβειαν τοὺς ἄλλους παρακαλοῦντος, ὥστε τὸν ἀσύνετον βασιλέα τοῦτο μαθόντα, προστάξαι τὰ θηρία κατορυγῆναι τῇ γῇ, πολλοῖς οὕτω τὴν πίστιν ἐπιστηρίζοντα. Διαπορηθεὶς τοίνυν ὁ Μαξιμιανός; «Τί ποιήσαιμι», ἔλεγε, «Παντολέοντι; ἤδη γάρ, ὡς ὁρᾶτε, τοὺς πλείους ἀπέστησεν ἀπὸ τῶν θεῶν.» Οἱ δέ· «Τροχός», φασι, «γενέσθω, καὶ ἐφ᾽ ὑψηλοῦ οὗτος τοῦ τόπου ἀνενεχθήτω.» Εἶτα τοῦ Παντολέοντος αὐτῷ προσδεθέντος, ἀφεθήτω κατὰ τοῦ πρανοῦς· συμβήσεται γὰρ πάντως τοῦ τροχοῦ καταφερομένου κατὰ μέρος αὐτὸν ἐπιτριβῆναι καὶ τέλος κακὸν οὕτω κακῶς ἀπολέσθαι. Καὶ ταῦτα μὲν οἱ ποριμώτατοι τὴν κακίαν καὶ πρὸς τὸ βλάπτειν εὑρετικοί. Ὁ δὲ ἀεὶ τῶν ἠγαπηκότων αὐτὸν ὑπερασπίζων Θεὸς οὐδὲ νῦν ἀφίστατο Παντολέοντος, ἀλλ᾽ οἷα φίλου παιδὸς καὶ αὖθις προΐστατο.*

*Τὸ μὲν οὖν παρὸν ἐλάμβανεν αὐτὸν ἡ εἱρκτή, ἕως ἡ τοῦ τροχοῦ κατασκευὴ γένοιτο. Ὡς δὲ ἤδη καὶ κατεσκεύαστο, πλήθους πάλιν συνδραμόντος πολλοῦ, ἅτε βασιλέως αὐτοῦ θεατοῦ παρόντος, δεσμεῖται ὁ μάρτυς πρὸς τῷ τροχῷ, καὶ αὐτὸς ἄνωθεν κατὰ τοῦ πρανοῦς ἀφίεται. Καὶ τῷ μὲν ψαλμὸς τὰ χείλη ἐκίνει καὶ εὐχὴ καλοῦσα τὸν Δυνατὸν εἰς ἐπικουρίαν. Ὁ δὲ τὸ τάχος παρῆν ἐνισχύων, καὶ δεῖγμα τῆς παρουσίας ἐῤῥήγνυτο τὰ δεσμά, ὁ μάρτυς ἀνίετο καὶ κακοῦ παντὸς ἄθικτος ἦν· ὁ τροχὸς δέ, οὐ κατ᾽ ἐκείνου μᾶλλον, ἀλλ᾽ ὑπὲρ ἐκείνου φερόμενος, πολλοὺς ἀπόλλυσι τῶν ἀπίστων, καὶ γίνεται οὕτω τιμωρὸς ἀῤῥήτως ἡ τιμωρία, καὶ γινώσκεται Κύριος κρίματα ποιῶν καὶ*

*Θεὸς ὁ τῶν ἐκδικήσεων ἐκδήμως παῤῥησιάζεται. Φόβος ἐπὶ τούτοις ἔσχε τὴν πόλιν, θαῦμα τὸν βασιλέα, καὶ ἔτι παχὺς ὢν τὴν κακίαν καὶ τοῦ τῆς εὐσεβείας φωτὸς ἀπαράδεκτος, ἐπυνθάνετο παρὰ τοῦ ἁγίου· «Πόθεν ταῦτα; καὶ ἄχρι τίνος», φησίν, «τοὺς μὲν ἡμετέρου λαοῦ τῶν θεῶν ἀποστήσεις, τοὺς δὲ θανάτῳ παραπέμψεις ἵν' ἐκείνους μὲν τέλεον ζημιοίμεθα, τούτους δὲ καὶ καθ' ἡμῶν ἔχοιμεν;» Εἶτα καὶ τίνα ἔσχε τὸν παιδευτὴν ἤρετο, καὶ παρὰ τίνος μάθοι τὸν Χριστιανισμόν.*

*Ὁ δὲ τοῦ Χριστοῦ μάρτυς θαῤῥούντως ὁμολογεῖ καὶ φανεροῖ τὸν Ἑρμόλαον, οὐ κρύπτειν εἰδὼς τὸν μὴ γωνίας καὶ λήθης, ἀλλὰ φωτὸς ἄξιον. Ἐπεὶ δὲ ἐκέλευεν καὶ εἰς ὄψιν αὐτῷ γενέσθαι, ὁ μάρτυς οὐκ ἀνεβάλλετο, πείρᾳ μαθών, οἷα παρ' αὐτῷ γλῶττα καὶ φρένες θηρᾶν μᾶλλον ἢ θηρᾶσθαι δυνάμεναι. Ἀπελθὼν τοίνυν ὁ δίκαιος σὺν ἅμα τρισὶ στρατιώταις τοῖς τὴν φυλακὴν αὐτοῦ πιστευθεῖσι, προσβάλλει τῷ δωματίῳ, ἔνθα ὁ θεῖος Ἑρμόλαος κρυπτόμενος ἦν, ὃν αὐτὸς θεασάμενος· «Τί ἧκες ἐνταῦθα, τέκνον, καὶ τίνος χάριν;» διεπυνθάνετο. Καὶ ὅς· «Ὁ βασιλεύς», ἔφη, «καλεῖ σε, κύριέ μου πρεσβῦτα.» Ὁ δὲ γινώσκειν ἔλεγε τοῦτο, «ἐπεὶ καὶ ὁ καιρὸς πάρεστι τοῦ ὑπὲρ Χριστοῦ παθεῖν κἀμὲ καὶ θανεῖν, ὥς μοι τῆς νυκτὸς ταύτης αὐτὸς δεδήλωκεν.» Ὡς οὖν ἀπελθόντες τῷ βασιλεῖ παρέστησαν, προσσχὼν ἐκεῖνος τῷ πρεσβύτῃ τίς τε εἴη καὶ τί ὄνομα αὐτῷ ἤρετο. Ὁ δὲ καὶ τὸ ὄνομα ἔφη καὶ τὸ Χριστιανὸς εἶναι οὐκ ἀπεκρύψατο. Εἶτα ἐρομένου τοῦ βασιλέως εἰ καὶ ἄλλους ἔχοι Χριστιανοὺς σὺν αὐτῷ, φιλαλήθης ὢν ἐκεῖνος, Ἕρμιππόν τε καὶ Ἑρμοκράτην, οὓς εἶχεν, εἴρηκεν. Τούτους οὖν ἀχθῆναι καὶ σὺν Ἑρμολάῳ παραστῆναι αὐτῷ κελεύσας, ἐπεὶ παρέστησαν· «Ὑμεῖς ἐστε», ἔφη, «οἱ τὸν Παντολέοντα τῆς τῶν θεῶν ἀπεστήσατε θρησκείας;» Οἱ δέ· «Τοὺς ἀξίους ὁ Χριστὸς οἶδε καλεῖν πρὸς τὸ φῶς.» Καὶ ὁ βασιλεύς· «Ἀφέντες τὸ κενολογεῖν», ἔφη, «εἴπερ βούλεσθε καὶ τῆς προτέρας ταύτης αἰτίας*

*ἀπολυθῆναι καὶ τοῖς παρ᾽ ἡμῶν φιλουμένοις καὶ τῶν πρώτων ἠξιωμένοις τιμῶν συνταγῆναι, πεισθῆναι τοῦτον παρασκευάσατε τοῖς θεοῖς θῦσαι.» Οἱ δὲ πῶς ἂν τοῦτο δράσειαν εἶπον οἱ πρώτους ἑαυτοὺς πείσαντες μὴ ἀποστῆναι Χριστοῦ μηδὲ κωφοῖς εἰδώλοις θυσίαν προσενεγκεῖν; Ταῦτά τε εἰπόντες καὶ εἰς οὐρανοὺς ὄμματα αἰσθητά τε ἅμα καὶ νοητὰ ἦραν. Οὕτω δὲ εὐχομένοις ἐπιφαίνεται ὁ Σωτήρ, καὶ ὁ τόπος εὐθὺς ὅλος κλόνῳ καὶ σεισμῷ βάλλεται.*

*Ὁ δέ γε ταῖς ἀληθείαις διασεσεισμένος τὸν νοῦν βασιλεὺς τοὺς θεοὺς ἔφη ἀγανακτήσαντας σεῖσαι τὴν γῆν· πρὸς ὃν ὁ μάρτυς μάλα συνετῶς καὶ γενναίως· «Εἰ δὲ καὶ αὐτοὺς συμβαίη τοὺς θεούς σου καταπεσεῖν;» Οὔπω πέρας εἶχεν ὁ λόγος, καί τις τῶν τοῦ βασιλέως παραγενόμενος ἦν ἄγγελος ἐκείνῳ τῆς συμφορᾶς· «Οἱ θεοί, ὦ βασιλεῦ», λέγων, «ἔπεσόν τε καὶ συνετρίβησαν.» Οὕτως οἱ φοβεροὶ καὶ τὴν γῆν σείοντες πτῶμα ἔκειντο πονηρόν, τοῖς οὐχ ὁμοίως τυφλοῖς οὐδὲ αὐτόχρημα λίθοις πολλοῦ γέλωτος ἀληθῶς ἄξιοι. Ἕτερος μὲν οὖν καὶ βραχείας ἀπολαύων φρενὸς καὶ μὴ τῇ μορφῇ μόνῃ τοῦ μὴ κτῆνος εἶναι φανερῶς πιστευόμενος κἂν ἐπέγνω τὸν ἀψευδῆ Θεὸν καὶ ποιεῖν ταῦτα δυνάμενον· ἀλλ᾽ οὐκ ἐκεῖνος· ἀλλ᾽ εἴ τι βελτίων ὑπῆρχε καὶ ὅσον ἀπώνατο ἀπὸ τῆς θεοσημίας, ἀπὸ τῶν ἔργων εὐθὺς δῆλος γίνεται. Αὐτίκα γὰρ τῶν μὲν τριῶν ἁγίων ἐκείνων μετὰ τὸ πολλὰ τούτους κολάσαι τὸν διὰ ξίφους θάνατον διακρίνει· Παντολέοντα δὲ τὸν μέγαν τῷ δεσμωτηρίῳ κατὰ τὸ παρὸν δίδωσι. Τὰ μὲν οὖν ἀναιρεθέντα τῶν μαρτύρων σώματα οὕτω κείμενα Χριστιανοῖς ἐμέλησεν ἀνελέσθαι καὶ ὡς προσῆκον ἦν αὐτὰ θάψαι.*

*Παντολέοντα δὲ ἀπὸ τῆς εἱρκτῆς καλέσας ὁ βασιλεύς· «Δοκεῖ σοι», ἔφη, «ὅτιπερ ζῶν τὰς ἐμὰς χεῖρας δυνήσῃ διαφυγεῖν, εἰ μὴ προσελθὼν πρότερον θύσῃς τοῖς θεοῖς, καὶ ταῦτα τοῦ*

www.tezaurliturgic.ro

*διδασκάλου σου Ἑρμολάου, Ἑρμίππου τε καὶ Ἑρμοκράτους τὸ καλὸν ἤδη μαθόντων καὶ τοῖς θεοῖς θυσίαν προσενεγκόντων, οἳ καὶ ἀμοιβὴν τῆς εὐπειθείας τὸ πρῶτοι εἶναι νῦν ἐν τῷ παλατίῳ παρ᾽ ἡμῶν εἰλήφασιν; Εἴπερ οὖν καὶ σὺ τὴν καλὴν αὐτῶν ζηλώσας μεταβολὴν θύσεις, τότε ὄψει, Παντόλεον, οἷος ἐγὼ βαρὺς ὢν τῷ κολάζειν τοὺς ἀπειθοῦντας, παρὰ πολὺ τῶν πειθομένων ὑπάρχω τῷ εὐγνωμονεῖν, θεραπεύειν φιλοτιμότατος.» Τοῦτο δὲ κατὰ πολλὴν ἔφη τὴν κακοήθειαν, ὅσα πρὸς τὸ πεισθῆναί, φημι, τοὺς ἁγίους. Πῶς γάρ, οὓς ἤδη φθάσας ἀνεῖλεν; Ἀλλ᾽ ἵνα τῷ ὁμοίῳ δελεάσῃ τὸν ἐκ Θεοῦ φωτιζόμενον, ὅθεν οὐδὲ λαθεῖν ἴσχυσεν, ἀλλ᾽, «Ἴδω τούτους καὶ αὐτός», εἴρηκε, «βασιλεῦ, πρὸ τοῦ σοῦ προσώπου παρισταμένους.» Ὁ μέντοι Μαξιμιανὸς ἔτι τοῦ δολιοῦσθαι καὶ μηδὲν ὑγιὲς λέγειν οὐκ ἀφιστάμενος (ἔθετο γὰρ καὶ τὸ σέβας καὶ τὴν ἐλπίδα ψεῦδος, κατὰ τὸν μέγαν Ἡσαΐαν φάναι, καὶ τῷ ψεύδει ἔκρινε σκεπασθήσεσθαι), «Οὐ πάρεισιν ἐνταῦθα», ἔφη, «ἀλλὰ κατὰ χρείαν τινὰ καλοῦσαν εἰς ἑτέραν πόλιν παρ᾽ ἡμῶν ἐξεπέμφθησαν.» Ὁ δὲ μάρτυς· «Καὶ ἄκων», ἔφη, «τἀληθὲς εἴρηκας ὁ τὸ ψεῦδος φιλῶν· ἐν οὐρανοῖς γάρ εἰσι νῦν ἐν τῇ τοῦ Θεοῦ πόλει διάγοντες.»*

*Ἐπεὶ δέ, τὸ τοῦ λόγου, πάντα λίθον κινήσας ὁ τῶν λίθων προσκυνητὴς ἀνένδοτον αὐτὸν ἑώρα καὶ πάσης πέτρας στεῤῥότερον καὶ οὔτε κολακείαις, οὐ λόγων πειθοῖ, οὐ δωρεῶν ἐπαγγελίαις, οὐ τιμωριῶν ἀπειλαῖς, οὐκ ἄλλῳ τινὶ τῶν ἢ θέλγειν ἢ φοβεῖν δυναμένων τῆς εὐσεβείας παρατρεπόμενον, μάστιξι καὶ ἔτι σφοδραῖς αἰκισάμενος, οὐδὲν πλέον ἐλπίζων ἀνύειν, ἀλλὰ τῷ θυμῷ χαριζόμενος, τὸν διὰ ξίφους θάνατον καὶ αὐτὸν κατακρίνει, εἶτα καὶ μετὰ τέλος πυρὶ τὸ καλὸν σῶμα παραδοθῆναι, ὁ τοῦ αἰωνίου πυρὸς ὄντως ἄξιος. Ἤγετο τοιγαροῦν εἰς τὸν τῆς τελειώσεως τόπον χερσὶ δημίων ὁ ἀθλητὴς πιστευθείς. Ἔνθα*

*δὴ καὶ γενόμενος καὶ χαρᾶς ὅσης πλησθεὶς τὴν ψυχὴν (ᾔδει γὰρ ἐξ οἵων θλίψεων οἷαι τοῦτον διαδέξονται ἡδοναὶ) τὸ Δαυϊτικὸν τοῦτο ὑπέψαλλε λέγων· «Πλεονάκις ἐκπολέμησάν με ἐκ νεότητός μου· καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι· ἐπὶ τὸν νῶτόν μου ἐτέκταινον οἱ ἁμαρτωλοί, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν· Κύριος καὶ συνέκοψεν αὐχένας ἁμαρτωλῶν.» Εἶτα θαυματουργεῖ κἀνταῦθα Θεός, οὐδὲν τῶν προλαβόντων θαυμάτων ἔλαττον. Ἐλαίας μὲν γὰρ αὐτὸν προσδεσμοῦσι φυτῷ· παίει δέ τις αὐτοῦ τὸν αὐχένα ξίφει. Εὐθὺς δὲ τὸ μὲν τοῦ σιδήρου στόμα κηρῷ ἐοικὸς ἀνεστρέφετο, ἔμεινε δὲ ὁ αὐχὴν ὥσπερ ἐξ ἀρχῆς ἦν μηδ᾽ ὁτιοῦν ἔχων τομῆς σύμβολον.*

*Τρόμος ἐπὶ τούτῳ λαμβάνει τοὺς φονευτάς, καὶ προσελθόντες ἱκέται γίνονται τοῦ μηδὲ ζῆν παρ᾽ αὐτοῖς ἀξίου, ἀλλὰ τὸ θανεῖν ἀτίμως κατακριθέντος, οὗ καὶ τῶν ὡραίων ποδῶν ἐχόμενοι, τί μὲν οὐκ ἔλεγον, τί δὲ οὐκ ἐποίουν συγγνώμην τε τῆς τόλμης αἰτούμενοι καὶ τὴν εἰς Χριστὸν πίστιν διαρῤῥήδην ὁμολογοῦντες; Ὁ δὲ οὐκ ἀφίησι μόνον, τό γε εἰς αὐτὸν ἧκον, ἀλλὰ καὶ παρὰ Χριστοῦ τούτοις τελείαν αἰτεῖται τὴν ἄνεσιν, ὅθεν καὶ ἀκούει φωνῆς οὐρανόθεν αὐτήν τε τὴν τελείωσιν βεβαιοῦσαν τῶν αἰτηθέντων, καὶ ὡς· «Οὐκέτι Παντολέων, ἀλλὰ Παντελεήμων ἔσῃ καλούμενος καὶ τὰ πράγματα συμφθέγξονται τῷ ὀνόματι· πλεῖστοι γὰρ ἐλέους διὰ σὲ τεύξονται.» Ταύτης ἐκεῖνος τῆς φωνῆς ἀκουστὴς γενόμενος καὶ οἵων ἠξιώθη βεβαιωθείς, ἐπιστραφεὶς ποιῆσαι τὸ κελευσθὲν αὐτοῖς ὑπὸ τοῦ τυράννου ἐπέταττε· οἱ δὲ ἀνένευον καὶ ἥκιστα τοῦτο ἀνεκτὸν ἔκρινον εἶναι. Ἐπεὶ δὲ ὁ μάρτυς ἐπέκειτο ἢ μὴν γενέσθαι τὸ κελευσθὲν αὐτοῖς ὑπὸ τοῦ τυράννου φανερῶς ἀποροῦντες καὶ μὴ ἔχοντες ὅ,τι δράσουσιν, ἀμφοτέροις μερίζουσιν ἑαυτοὺς τῷ τε τῆς εὐσεβείας πράγματι καὶ τῷ ὑπὸ τοῦ ἁγίου κελευομένῳ· καὶ φιλήσαντες πᾶν μέλος πρότερον καὶ τὴν αἰδῶ καὶ τὸ σέ-*

*βας ἱκανῶς γνωρίσαντες, εἶτα καὶ ξίφει τὴν μακαρίαν τέμνουσι κεφαλήν, εἰκάδα ἑβδόμην ἄγοντος Ἰουλίου μηνός, οὐκ ἄν, οἶμαι, τοῦτο δυνηθέντες, εἰ μὴ ἐκεῖνος ἐπένευε, τοῦ μεγάλου τῆς μαρτυρίας ἀξιώματος ἐθέλων μὴ ἐκπεσεῖν.*

*Καὶ πάλιν θαύματα θαύμασιν ἀκολουθεῖ, δοξάζοντος τοῦ δεδοξασμένου τὸν δι᾽ ἐκεῖνον ταῦτα προῃρημένον παθεῖν. Γάλα γὰρ ἀντὶ αἵματος εὐθὺς ἐῤῥύη, καὶ τὸ τῆς ἐλαίας φυτὸν ᾧ προσεδέθη ἅπαν τῷ καρπῷ βρῖθον ἐδείκνυτο. Ὅπερ εἰς γνῶσιν τῷ τυραννοῦντι ἐλθόν, ἐκκοπῆναί τε τὸ φυτὸν προστάττει καὶ τὸ σῶμα τοῦ μάρτυρος παραδοθῆναι πυρί, ὥσπερ δὴ καὶ πρότερον ἐκελεύσθη. Οὐκέτι μὲν οὖν οἱ πιστεύσαντες στρατιῶται πρὸς τὸν βασιλέα ὑπέστρεψαν, πολλὴν ὠμότητα τούτου κατεγνωκότες καὶ τὸ τῶν μάγων πρὸς Ἡρῴδην ζηλώσαντες, δοξάζοντες δὲ Θεὸν καὶ τὸν αὐτοῦ μάρτυρα διετέλουν· ἀλλὰ καὶ τῶν πιστῶν τινες συνελθόντες ἐν αὐτῷ τῷ τόπῳ ἔξω τῆς πόλεως, ἔνθα καὶ τὴν τελείωσιν ὁ μάρτυς ὑπέστη, τὸ ἱερὸν ἐκείνου σῶμα ἐν προαστίῳ σχολαστικοῦ τινος (Ἀδαμάντιος αὐτῷ ὄνομα) ὁσίως καὶ ἱερῶς κατέθεντο, εἰς δόξαν Πατρός, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, τῆς μιᾶς θεότητος καὶ βασιλείας, ᾗ πρέπει τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.»*

Ἐν τοῖς βίοις τῶν Ἁγίων ἀναφέρεται συνήθως ὅτι ὁ Ἅγιος ἦν πατρὸς μὲν Ἕλληνος, μητρὸς δὲ χριστιανῆς. Ὁ ὅρος Ἕλλην δηλοῖ τὸν εἰδωλολάτρην. Διῶκται τῶν χριστιανῶν ὑπῆρξαν οἱ Ῥωμαῖοι, ἀλλ᾽ οὗτοι ἐν τοῖς μαρτυρίοις καλοῦνται Ἕλληνες, *φρονοῦντες τὰ τῶν Ἑλλήνων.*

Ὁ Μέγας Ἀλέξανδρος ἐν τῇ Ἱστορίᾳ εἶναι μοναδικὸς καὶ ἀνεπανάληπτος. Ἦλθε πρὸς τοὺς λαούς, σεβόμενος τὰς παραδόσεις καὶ τὴν ἰδιοπροσωπίαν αὐτῶν. Ἐπεδίωκε τὴν δημι-

ουργίαν μιᾶς ἡνωμένης καὶ ἀλληλοπεριχωρουμένης κοινωνίας ἀνθρώπων κατὰ τὰ ἀριστοτέλεια πρότυπα. Οἱ Ἕλληνες ἦλθον πρὸς τοὺς λαοὺς μετὰ γραμμάτων καὶ πολιτιστικῶν ἀγαθῶν. Ἐν τῷ κόσμῳ τοῦ Μεγάλου Ἀλεξάνδρου ἐγένετο εἰρηνικὴ ὤσμωσις λαῶν. Ὁ ὅρος *Ἕλληνες* δὲν εἶχε στενὴν ἐθνικὴν σημασίαν, ἀλλ᾽ ἐδήλου τοὺς ἀπολαύοντας κοινοῦ πολιτισμοῦ.

Οἱ Ῥωμαῖοι ἦλθον ὡς συνεχισταὶ τοῦ ἔργου τοῦ Μεγάλου Ἀλεξάνδρου. Ὁ πολιτισμὸς αὐτῶν εἶναι ὁ ἑλληνιστικὸς ἐν Λατινικῇ γλώσσῃ καὶ ῥωμαϊκοῖς θεσμοῖς. Ἐν τῇ Δύσει οἱ Ῥωμαῖοι ἤνεγκον ὤσμωσιν, ὡς ἐν τῇ Ἀνατολῇ οἱ Ἕλληνες, ἀλλ᾽ ἐν τῇ Ἀνατολῇ ἦλθον ὡς ξένοι κατακτηταί, ἀνώτεροι κατὰ τὰ πολιτικὰ δικαιώματα, ἀλλὰ κατώτεροι κατὰ τὰ γράμματα καὶ τὴν παιδείαν. Ἐν τῇ Δύσει διεδόθη ἡ Λατινικὴ γλῶσσα, ἀλλ᾽ ἐν τῇ Ἀνατολῇ παρέμεινε κυρίαρχος ἡ Ἑλληνική. Οἱ κυρίαρχοι Ῥωμαῖοι δὲν εἶχον πολιτιστικὸν ἐκτόπισμα ἐν τῇ Ἀνατολῇ. Ἦσαν Ἕλληνες ἐν ἑτέρῳ ἐνδύματι. Ἡ θρησκεία, ἡ φιλοσοφία, ἡ τέχνη, ἡ πόλις ἦσαν ἑλληνικά. Τὸ βάρος τῆς Ἀνατολῆς εἵλκυσε καὶ αὐτὴν τὴν πρωτεύουσαν Ῥώμην, ὥστε νὰ μεταφερθῇ ἐν τῇ Ἀνατολῇ ὡς Νέα Ῥώμη Κωνσταντινούπολις. Οἱ διωκόμενοι χριστιανοὶ εἶδον τὴν ἀντίπαλον εἰδωλολατρίαν ἐν τῇ ἑλληνικῇ ἐκφράσει τῶν κρατούντων Ῥωμαίων, ὥστε ὠνόμασαν τοὺς μὴ χριστιανοὺς εἰδωλολάτρας *Ἕλληνας*. Οὕτως ἡ φράσις «*πατρὸς μὲν Ἕλληνος*» σημαίνει «πατρὸς μὲν μὴ χριστιανοῦ» ἢ «ἐθνικοῦ», ἀφοῦ ἔθνη ἦσαν πρῶτον οἱ μὴ Ἑβραῖοι καὶ εἶτα οἱ μὴ χριστιανοί. Ἐν τῇ τοπωνυμιολογία τὰ τοπωνύμια *Ἑλληνικὰ* σημαίνουσι τὰς ἑλληνικάς, μὴ χριστιανικάς, ἀρχαιότητας. Τοιοῦτοι ὄντες οἱ Ῥωμαῖοι ἐν τῇ Ἀνατολῇ, προὐκάλεσαν τὸ μῖσος τῶν λαῶν αὐτῆς, ὅπερ ἐπέφεραν ἐν τῇ διαδρομῇ τῆς Ἱστορίας τὸν περιορισμὸν καὶ ἐν τέλει τὴν κα-

www.tezaurliturgic.ro

τάλυσιν τοῦ κράτους τῶν διαδόχων χριστιανῶν Ῥωμαίων τῆς Κωνσταντινουπόλεως.

Ἡ θεραπεία τοῦ σώματος ὑπὸ τοῦ Ἁγίου τὴν θεραπείαν τῆς ψυχῆς σημαίνει.

Ἡ ἀνάστασις τοῦ παιδὸς καὶ ἡ ἐκψόφησις τοῦ δήξαντος θηρίου τὴν καθαίρεσιν τοῦ δράκοντος, ὡς προετοιμασίαν αὐτοῦ πρὸς τὸ μαρτύριον, σημαίνει.

Ἡ ἀνάρτησις τοῦ Ἁγίου ἐπὶ ξύλου καὶ ἡ πρόσδεσις ἐπὶ ἐλαίας τὴν Σταύρωσιν τοῦ Χριστοῦ σημαίνει.

Ἡ καρποφορία τῆς ἐλαίας τὴν ἀκένωτον καρποφορίαν τῶν δωρεῶν τοῦ Σταυροῦ σημαίνει.

Τὸ μαρτύριον τοῦ Ἁγίου ἔξω τῆς πόλεως τὸν Γολγοθᾶν σημαίνει.

Τὸ ῥεῦσαν γάλα, ἀνθ᾽ αἵματος, ἐκ τῆς ἀποκοπῆς τῆς κεφαλῆς τοῦ Ἁγίου τὴν ἁγνότητα αὐτοῦ σημαίνει, ὡς καὶ τὸ ὅμοιον τῆς Ἁγίας Αἰκατερίνης.

www.tezaurliturgic.ro

# ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΔΗΜΗΤΡΙΟΣ Ο ΜΥΡΟΒΛΥΤΗΣ

Ὁ Ἅγιος Μεγαλομάρτυς Δημήτριος ἐγεννήθη ἐν Θεσσαλονίκῃ καὶ ἐμαρτύρησεν ἐν τῇ αὐτῇ πόλει ἐπὶ αὐτοκράτορος Μαξιμιανοῦ. Ἡ μνήμη αὐτοῦ ἑορτάζεται τῇ εἰκοστῇ ἕκτῃ Ὀκτωβρίου.

Τὸ μαρτύριον αὐτοῦ ἐκφράζει τὴν πάλην τοῦ χριστιανισμοῦ πρὸς τὴν εἰδωλολατρίαν καὶ τὴν νίκην τῆς πίστεως κατὰ τῶν σκοτεινῶν δυνάμεων. Ἀκολουθεῖ τῇ στερεοτύπῳ θεματολογίᾳ τῶν μαρτυρίων. Ὁ Ἅγιος ἐπιθυμεῖ τὸ μαρτύριον, ὡς ἀπόδειξιν τῆς ἀγάπης αὐτοῦ πρὸς τὸν Χριστόν. Καταβάλλει αἰσθητὸν δράκοντα, ὡς προετοιμασίαν καταβολῆς καὶ τοῦ νοητοῦ δράκοντος διὰ τοῦ μαρτυρίου αὐτοῦ. Ὁμολογεῖ τὴν πίστιν αὐτοῦ εἰς τὸν Χριστὸν καὶ ἀποδέχεται τὸν ὑπὲρ αὐτοῦ θάνατον. Ἡττᾶται ὑλικῶς, ἀλλὰ θριαμβεύει ψυχικῶς. Οἱ πιστοὶ τιμῶσι τὴν μνήμην αὐτοῦ καὶ ὁ Ἅγιος εὐεργετεῖ αὐτοὺς δι᾽ εὐλογίας καὶ θαυμάτων.

Ὁ Ἅγιος Δημήτριος εἷλκε τὴν καταγωγὴν ἐξ ἐπιφανοῦς γένους Μακεδόνων. Ἀνδρωθείς, ἐξεπόνει ἑαυτὸν πρὸς ἐκμάθησιν τῶν πολεμικῶν ἔργων. Διεβοήθη πρὸς ἅπαντας διακρίσει. Ἡ φήμη αὐτοῦ ἔφθασε καὶ εἰς τὸν αὐτοκράτορα, ὅστις ἦρεν αὐτὸν εἰς ἀνθύπατον τῆς Ἑλλάδος. Ἀλλ᾽ ὁ Ἅγιος οὐ περὶ πολλοῦ εἶχε

τὰ ἀξιώματα, πρὸς ἓν καὶ μόνον ἀπέβλεπε, τὴν εὐσέβειαν, καὶ ἓν ἐπόθει, τὸν ὑπὲρ Χριστοῦ θάνατον.

Ὁ ἄνθρωπος τοῦ αὐτοκράτορος ἐκήρυττε τὸν Χριστὸν ἐν Θεσσαλονίκῃ καὶ Ἑλλάδι ἄνευ φόβου καὶ ὑποστολῆς. Προσῆλθόν τινες, οἵτινες ἐπεδίωκον τὴν εὔνοιαν τοῦ αὐτοκράτορος διὰ τῆς προδοσίας τῶν χριστιανῶν, καὶ κατήγγειλαν τοῦτον ὅτι πρεσβεύει τὰ τῶν χριστιανῶν. Ἀκούσας ὁ αὐτοκράτωρ, κατελήφθη ὑπὸ ἐκπλήξεως καὶ ὀργῆς. Θέλων νὰ βεβαιωθῇ ἰδίοις ὄμμασι, διέταξεν, ὅπως προσαχθῇ ἐνώπιον αὐτοῦ ὁ προδοθείς. Ὁ Ἅγιος εἶδε τὸν πόθον αὐτοῦ πραγματοποιούμενον διὰ τῆς πιστώσεως ὅτι εἶναι στρατιώτης τοῦ Χριστοῦ καὶ Αὐτοῦ μόνον προσκυνητής. Προσαχθείς, ἐδήλωσεν ὅτι καὶ ὁ θάνατος εἶναι εὐκταῖος αὐτῷ, διότι θὰ παραπέμψῃ αὐτὸν εἰς τὴν ἀληθῆ ζωὴν καὶ τὸν ποθούμενον Χριστόν.

Ὁ αὐτοκράτωρ, ἐλπίζων εἰς μετάνοιαν τοῦ Ἁγίου, ἀπεφάσισεν, ὅπως δώσῃ χρόνον εἰς αὐτόν. Ἐνέκλεισε τοῦτον, φρουρούμενον, εἰς δημόσιον λουτρόν, γειτονοῦν πρὸς τὸ θέατρον. Ὁ ἴδιος προὐκάθισεν ἐπὶ μετεώρου βήματος ἐν τῷ θεάτρῳ, ὅπως παρακολουθήσῃ τὰ ἀρχόμενα θεάματα.

Ὁ Ἅγιος, ἀπαγόμενος πρὸς τὴν εἱρκτήν, ἔχαιρε, διότι μετ᾽ ὀλίγον θὰ ἠξιοῦτο τοῦ ποθουμένου μαρτυρίου. Ἐν ᾧ προσηύχετο ἐν τῇ εἱρκτῇ, εἶδε σκορπίον ἕρποντα μεθ᾽ ὑψωμένου τοῦ κέντρου αὐτοῦ, ἕτοιμον, ὅπως πλήξῃ τὸν πόδα αὐτοῦ. Ὁ Ἅγιος, σφραγίσας ἑαυτὸν διὰ τοῦ Σταυροῦ καὶ ἐπικαλεσάμενος τὸν Χριστόν, ἀπεργάζεται τὸν σκορπίον νεκρόν. Ἄγγελος, ἐπιφανείς, στεφανοῖ καὶ ἐνισχύει τοῦτον.

Ὁ Μαξιμιανὸς ἐν τῷ θεάτρῳ παρηκολούθει ἀγῶνας μονομάχων, ἡδόμενος ἐπὶ τῇ ἐκχύσει αἱμάτων. Ὑπῆρχε βάρβαρος Βάνδαλος, φίλος τοῦ Μαξιμιανοῦ, ὁ Λυαῖος, διαπρέπων ἐπὶ μεγέθει καὶ ῥώμῃ. Οὗτος, στὰς ἐπὶ ἀναβάθρου, ἵνα φαίνηται

τοῖς πᾶσιν, ἐκάλει τὸν βουλόμενον εἰς πάλην. Ὅστις ἠγωνίζετο πρὸς αὐτὸν εὐθὺς ἐθεᾶτο κατὰ γῆς ἢ καὶ ἐδέχετο θάνατον πρὸς εὐχαρίστησιν τοῦ Μαξιμιανοῦ.

Νεανίας τις Νέστωρ, ἄρτι φέρων τὸν ἴουλον ἐπανθοῦντα, ἐκ τοῦ κύκλου τοῦ Ἁγίου Δημητρίου, μὴ ἀνεχόμενος τὴν ταπείνωσιν τῶν χριστιανῶν διὰ τῆς φυλακίσεως τοῦ διδασκάλου αὐτοῦ καὶ τῆς ὑπερηφανίας τοῦ φίλου τοῦ Μαξιμιανοῦ Λυαίου, ἀπεφάσισεν, ὅπως προσθέσῃ ἓν ἔτι θαῦμα εἰς τὰ θαύματα τοῦ Ἁγίου Δημητρίου διὰ τῆς καταβολῆς τοῦ γαυριῶντος βαρβάρου. Προστρέχει τῷ Ἁγίῳ καί, προσπίπτων εἰς τοὺς πόδας αὐτοῦ, ζητεῖ ὅπλισιν διὰ τῶν εὐχῶν αὐτοῦ, ἵνα συγκρουσθῇ πρὸς τὸν Λυαῖον. Ὁ Ἅγιος ἐπέβαλε τὴν σφραγῖδα τοῦ Χριστοῦ εἰς τὸ μέτωπον καὶ τὴν καρδίαν αὐτοῦ, βεβαιώσας ὅτι, καὶ τὸν Λυαῖον θὰ νικήσῃ, καὶ ὑπὲρ Χριστοῦ θὰ μαρτυρήσῃ.

Μετὰ ταῦτα ὁ Νέστωρ εἰσῆλθεν εἰς τὸ στάδιον καί, ἀποδυσάμενος τὸν χιτῶνα, κατέστησε δῆλον εἰς τὸν αὐτοκράτορα ὅτι εἶναι ἕτοιμος πρὸς μονομαχίαν. Ὁ αὐτοκράτωρ, καταπλαγεὶς διὰ τὴν τόλμην τοῦ μειρακίου, προσεπάθησεν, ὅπως ἀποτρέψῃ αὐτόν, ὑπισχνούμενος καὶ χρήματα. Ὁ Νέστωρ παρέμεινεν ἀμετάπειστος. Προσηυχήθη, ὅπως καταισχύνῃ τὸν Λυαῖον, ἵνα δοξασθῇ τὸ ὄνομα τοῦ Θεοῦ τοῦ Δημητρίου, καί, σπασάμενος τὴν ῥομφαίαν, ἔπληξε τὸν βάρβαρον εἰς τὴν καρδίαν. Ὁ Μαξιμιανός, ἄλλος ἐξ ἄλλου γενόμενος διὰ τὸν θάνατον τοῦ ἀγαπητοῦ φίλου αὐτοῦ, ἀπεχώρησεν εἰς τὰ βασίλεια.

Εἶτα ὁ Μαξιμιανός, μεταπεμψάμενος τὸν Νέστορα, ἐπυνθάνετο παρ᾽ αὐτοῦ τίσι μαγείαις ἀνεῖλε τὸν τοσοῦτον ὑπέρτερον αὐτοῦ Λυαῖον. Ὁ Νέστωρ ὡμολόγησεν ὅτι οὐδένα συνεργὸν εἶχεν εἰς τὸ ἔργον, εἰμὴ μόνον τὸν Θεὸν τοῦ Δημητρίου, τὸν Θεὸν τῶν Χριστιανῶν. Ὁ Μαξιμιανὸς κατεδίκασε τὸν Νέστορα εἰς θάνατον διὰ τῆς ἰδίας ῥομφαίας αὐτοῦ. Οὕτως ὁ Μάρ-

τυς παρεπέμφθη πρὸς τὸν Χριστόν, ὃν ἠγάπησε, παρ᾽ οὗ θὰ ἀπολάβῃ τοὺς στεφάνους τῆς διπλῆς νίκης αὐτοῦ, κατὰ τοῦ αἰσθητοῦ καὶ τοῦ νοητοῦ ἐχθροῦ.

Αἱ ὑποβολαὶ ὅτι αἴτιος τοῦ θανάτου τοῦ Λυαίου εἶναι ὁ Δημήτριος ἐξηκολούθουν. Ὁ Μαξιμιανός, κρίνων ὅτι δὲν εἶναι καλὴ συνάντησις αὐτοῦ πρὸς τὸν Δημήτριον, διατάσσει τὴν ἀναίρεσιν τούτου ἐν τοῖς λουτροῖς, ἔνθα ἐκρατεῖτο. Ὁ Μάρτυς ἐτελειώθη, λογχισθεὶς τὴν πλευράν. Φιλόχριστοί τινες, προσελθόντες, ἀνεῖλον τὸ σῶμα τοῦ Μάρτυρος, ἐῤῥιμμένον κατὰ γῆς, καὶ ἐκήδευσαν εὐλαβῶς.

Εἷς τῶν οἰκετῶν τοῦ Μάρτυρος, Λοῦπος καλούμενος, ἀνεῖλε τὸ ἐπώμιον καὶ τὸν δακτύλιον τοῦ Μάρτυρος, περιχρίσας τῷ αἵματι αὐτοῦ. Τὰ ἁγιασθέντα ταῦτα λείψανα ἰῶντο νοσήματα καὶ ἔτρεπον δαιμόνια. Πᾶσα ἡ πόλις προσέτρεχεν εἰς αὐτά. Μαθὼν ὁ Μαξιμιανὸς τὰ γινόμενα, συνέλαβε καὶ ἀνεῖλε τὸν οἰκέτην.

Χρόνου παρελθόντος καὶ τῆς εἰδωλικῆς ἀχλύος εἰς αἰθρίαν μεταβληθείσης, ὁ τότε ἔπαρχος τοῦ Ἰλλυρικοῦ Λεόντιος περιπίπτει εἰς βαρυτάτην νόσον. Οὐδεμία ἐλπὶς ἰάσεως παρὰ τῶν ἰατρῶν ὑπῆρχεν αὐτῷ. Μόνη ἐλπὶς ἔμεινεν ἡ πρὸς τὸν Μάρτυρα καταφυγή. Εἰσήχθη κλινοπετὴς εἰς τὸ ὑπόγειον, ἐν ᾧ ἐκρύπτετο τὸ ἱερὸν σῶμα τοῦ Μάρτυρος, καὶ ἔλαβε ταχεῖαν τὴν θεραπείαν.

Ταχείας τῆς θεραπείας τυχὼν ὁ Λεόντιος, ταχεῖαν ἀπέδωσε καὶ τὴν ἀμοιβήν. Τὸν μικρὸν οἰκίσκον, ὅστις εἶχε τὸ ἱερὸν σῶμα τοῦ Μάρτυρος, ἐγκεκλεισμένον ὑπὸ τῶν περιβόλων τοῦ λουτροῦ καὶ τοῦ σταδίου, καθελών, ἀνήγειρεν ἐξ αὐτῶν τῶν κρηπίδων μεγαλοπρεπῆ ναόν, κατακοσμοῦντα τὸ ἄστυ τῆς Θεσσαλονίκης.

Μέλλων ὁ Λεόντιος, ὅπως μεταβῇ εἰς τὸ Σίρμιον, αὐτοκρατορικὴν καθέδραν, ἠθέλησεν, ὅπως συμπαραλάβῃ μεθ᾽ ἑαυτοῦ

καί τινα μέρη τοῦ ἱεροῦ σώματος, ἵνα καὶ ἐκεῖ ἀνεγείρῃ ναόν, ἀλλ᾽ ὁ Μάρτυς δὲν συνευδόκησε. Παραλαβὼν τὴν χλαμύδα τοῦ Μάρτυρος, βεβαμμένην διὰ τοῦ αἵματος αὐτοῦ, καὶ τὸ ἐπώμιον καὶ θέμενος ἐν κιβωτίῳ, ἐπορεύετο. Καταλαβὼν τὸν ποταμὸν Ἴστρον ἐν ὥρᾳ χειμῶνος, εὗρε τὸ ῥεῖθρον μέγα καὶ πάντῃ ἀδιάβατον. Ἀποροῦντι, ἐπεφάνη αὐτῷ ὁ Μάρτυς Δημήτριος καὶ ὑπέδειξε τὴν διάβασιν ἐπὶ τοῦ ἐπωμίου αὐτοῦ ἀδιστάκτως. Ἐπιβὰς τοῦ ὀχήματος ὁ Λεόντιος καὶ φέρων εἰς χεῖρας τὸ κιβώτιον, ἄνω στρέφων τοὺς ὀφθαλμοὺς καὶ τὴν ψυχήν, διεπεραιώθη.

Ἐν Σιρμίῳ ὁ Λεόντιος ἐδείματο ναὸν τῷ Μάρτυρι Δημητρίῳ, γειτονοῦντα πρὸν τὸν ναὸν τῆς καλλινίκου Μάρτυρος Ἀναστασίας, ἐν ᾧ κατέθηκε τὴν ἱερὰν θήκην μετὰ τοῦ ἐν αὐτῇ θησαυροῦ. Ἡ ἁγιαστικὴ χλαμὺς τοῦ Μάρτυρος ἐπιτελεῖ θαύματα καὶ ἰάσεις χάριτι καὶ δυνάμει Χριστοῦ.

Ὁ Ἅγιος Δημήτριος ἀνεκηρύχθη πολιοῦχος τῆς πόλεως αὐτοῦ Θεσσαλονίκης, ἣν πολλάκις ἐῤῥύσατο ἐξ ἐπιδρομῶν καὶ κινδύνων, ἐμφανισθείς. Πλήθη προσκυνητῶν, πανταχόθεν προσέτρεχον εἰς τὸν ναὸν αὐτοῦ, ἔνθα ἐκ τοῦ τάφου αὐτοῦ ἀνέβλυζεν ἁγιαστικὸν μύρον. Ὁ Ἅγιος Δημήτριος καὶ ὁ Ἅγιος Γεώργιος εἶναι οἱ δύο δημοφιλέστεροι στρατιωτικοὶ Ἅγιοι. Ἀποτελοῦσι ξυνωρίδα, ὁρίζουσαν τὴν ἔναρξιν τῶν ἐνιαυσίων ἐργασιῶν τῇ εἰκοστῇ τρίτῃ Ἀπριλίου καὶ τὴν λῆξιν αὐτῶν τῇ εἰκοστῇ ἕκτῃ Ὀκτωβρίου. Ὡς δορυφόροι, ὁ μὲν ἐκ δεξιῶν, ὁ δὲ ἐξ ἀριστερῶν, περιστοιχοῦσι τοὺς ἐν τοῖς εἰκονοστασίοις Ἁγίους. Οὗτοι παρελήφθησαν ὑπὸ τῶν Σταυροφόρων, διαδοθέντες καὶ εἰς τὴν Δύσιν. Οἱ Ἅγιοι Γεώργιος, Δημήτριος καὶ Μερκούριος ἐνεφανίσθησαν βοηθοῦντες τὰς παρατάξεις αὐτῶν κατὰ τὴν πολιορκίαν τῆς Ἀντιοχείας τῷ 1098. Ὁ πρῶτος ναὸς πρὸς

τιμὴν τοῦ Ἁγίου Δημητρίου ἐν Ἰταλίᾳ μαρτυρεῖται ἐν Ῥαβέννῃ κατ᾽ ἐπίδρασιν τοῦ Βυζαντίου.

Ἐγκόλπια, εἰκονίζοντα τὸν Ἅγιον Δημήτριον ἐν τῷ τάφῳ αὐτοῦ, ἐχρησίμευον ὡς φυλακτήρια τῶν προσκυνητῶν. Ὁ αὐτοκράτωρ Ἀλέξιος Α΄ ὁ Κομνηνὸς εἰκόνισε τὴν μορφὴν τοῦ Ἁγίου Δημητρίου ἐπὶ τῶν νομισμάτων αὐτοῦ.

Τό μαρτύριον τοῦ Ἁγίου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου τρέχει οὕτω:

*«Εἶχε μὲν τὰ Ῥωμαίων σκῆπτρα Μαξιμιανὸς ὁ Ἑρκούλιος, πολὺς κατὰ Χριστιανῶν πνέων τε καὶ φερόμενος· εἰδωλικῆς δὲ πλάνης τὴν ὑπ᾽ οὐρανὸν ἅπασαν ἐκάλυπτε νέφος, εἰ καὶ λαμπροὶ καθάπερ ἀστέρες ταύτην διαλαχόντες οἱ διὰ Χριστὸν παθόντες ἐξέλαμπον. Ὧν εἷς τότε καὶ ὁ θαυμαστὸς Δημήτριος ἐγνωρίζετο· Δημήτριος, ὁ καὶ τὴν εἰς Χριστὸν πίστιν περίβλεπτος, καὶ τοῖς ἐν Χριστῷ θαύμασι περιβόητος. Ὃν ἤνεγκε μὲν ἡ μεγάλη Θεσσαλονίκη· τό γε τὴν εἰς πατέρας ἧκον ἐπίσημος ἦν, καὶ τὴν εἰς τοὺς ἄνω τοῦ γένους ἀναφορὰν τῶν Μακεδόνων ἐπιφανέστατος.*

*Ἀλλ᾽ οὐχ οὕτω περιφανείᾳ προγόνων, ὡς οἰκείῳ κόσμῳ τῆς ἀρετῆς ἐλαμπρύνετο. Τοσοῦτον γὰρ εὐγενείᾳ ψυχῆς τοὺς ἐπὶ τούτῳ λαμπροὺς παρέδραμεν, ὅσον ὥρᾳ σώματος τοὺς ἐπὶ κάλλει σεμνυνομένους ὑπερεβάλετο· φύσις γὰρ αὐτῷ μαθήματα μὲν παραλαβεῖν ἱκανή, συλλέξαι δὲ ἤθη καὶ κεράσαι πρὸς τὸ χρηστότερον ἀγαθή· τό τε τοῦ προσώπου λίαν ἐπίχαρι τὴν τῆς ψυχῆς εὐγένειαν ὑπεδήλου. Τὸν μὲν οὖν ἐκ παίδων εἰς ἥβην χρόνον πάντων ὁμοῦ τῶν ἡλίκων ἐκράτει· καὶ ἦν οὐδὲν τῶν ἀληθῶς ἀγαθῶν, ἐφ᾽ ᾧ μὴ τῶν ἄλλων πολλῷ τῷ μέσῳ διέφερεν· ἀλλὰ δῆλον ἦν ἐξ ἀρχῆς τὸ φυτόν, ὅπως μὲν γένοιτο χαριέστατον, ὅπως δὲ πολύν τε καὶ ἀγαθὸν τὸν καρπὸν ἐνέγκοι.*

*Εἰς ἄνδρας δὲ ἥκων, φύσεως μὲν ἰσχὺν ἐπεδείκνυτο, ἀνδρείαν δὲ ἤσκει καὶ ῥώμην, πρὸς μάθησίν τε τῶν πολεμικῶν ἑαυτὸν ἐξεπόνει, μετὰ χρηστοῦ τοῦ ἤθους καὶ τῆς ἥδιστον αὐτῷ ἐπανθούσης αἰδοῦς τε καὶ κοσμιότητος· αὐτό τε τὸ διαβεβοῆσθαι πρὸς ἅπαντας, γνώριμον τὸν ἄνδρα καὶ βασιλεῖ καθιστᾷ. Λαμπρᾶς οὖν καὶ μεγαλογνώμονος οὕτως ἔχοντα φύσεως ὁ βασιλεὺς τὸν Δημήτριον ἐννοήσας, ἐπὶ πολὺ δόξης ἐκ πρώτης εὐθὺς αἴρει, καὶ ἀνθύπατον προβάλλεται της Ἑλλάδος· ὡς καὶ ὑπατικὸν ἅμα περιβαλεῖν ὁρατίωνα. Ὁ δὲ (ἦν γὰρ τὸ δέον συνιδεῖν ἱκανώτατος, καὶ τὸ κρεῖττον προελέσθαι τῶν ἄλλων ἀξιωματικώτατος) τούτων μὲν βραχὺν ἐποιεῖτο λόγον, τῶν δὲ πρὸς θεραπείαν φερόντων Θεοῦ διαφερόντως εἴχετο. Καὶ διὰ τοῦτο πάντα μὲν ἐπίσης τὰ ἐνταῦθα τερπνὰ διέπτυε, πρὸς ἓν δὲ τοῦτο μόνον εἶχεν ἐρωτικῶς, τὴν εὐσέβειαν, καὶ τὸν ὑπὲρ Χριστοῦ θάνατον ἐδίψα, καὶ τὴν ἐκεῖθεν μακαριότητα.*

*Ἐκήρυττεν οὖν οὐ φόβῳ τινὶ καὶ ὑποστολῇ, ἀλλὰ καὶ λίαν εὐπαῤῥησιάστως τὸ τοῦ Θεοῦ σωτήριον ὄνομα· καὶ οὐδὲν ὅτι μὴ Χριστὸς αὐτῷ διὰ στόματος ἦν. Τὸν δὲ τῆς ζωῆς ἄρτον, ὃν Λόγον εἶναι τῆς ἀληθείας γινώσκομεν, πᾶσι τοῖς πτωχοῖς τὴν εὐσέβειαν φιλοθέως διένειμε, παράγων ἀπὸ τῶν θείων Γραφῶν, καὶ διδάσκων ὅτι τῆς μακαρίας ἐκείνης ἐν τῷ παραδείσῳ διαγωγῆς τὸν ἄνθρωπον ἐκπεσόντα, καὶ δουλωθέντα τῇ ἁμαρτίᾳ, αὐτὸς ὁ τῷ Πατρὶ συνάναρχος Λόγος, οὔτε τῆς θεότητος ἀποστὰς καὶ σάρκα λαβὼν ἐκ Παρθένου, δούλου τε μορφὴν ἑκουσίως ἀναλαβών, θειοτέρας ἠξίωσε πολιτείας, καὶ τὴν προτέραν ἐλευθερίαν αὐτῷ ἐχαρίσατο. Ταῦτα καὶ ἕτερα διδάσκων τε καὶ διερμηνεύων αὐτοῖς ἐξηγεῖτο, καὶ οἱονεὶ ἀφορμὰς παρεῖχε καὶ σπέρματα πρὸς τοῦτο, καὶ υἱοὺς γενέσθαι τε καὶ κληθῆναι Θεοῦ, καὶ τῆς ἐν Χριστῷ κρυπτομένης ἀξιωθῆναι ζωῆς.*

*Ἐντεῦθεν πολλοὶ τῆς ἡδίστης ἐκείνης διδασκαλίας τοῦ*

μάρτυρος ἀπολαύοντες, τοῦ μὲν πικροῦ τῆς ἀπάτης ἀφίσταντο σκότους, τῷ δὲ γλυκεῖ τῆς ἀληθείας φωτὶ προσετίθεντο. Ἀλλ' ἐκεῖνος πολὺν ὠδίνων τὸν εἰς Χριστὸν ἔρωτα, καὶ ἀπλήστως τῆς τῶν ἀνθρώπων ὀρεγόμενος σωτηρίας, εἰ μὴ πάντας τῶν τοῦ ἐχθροῦ χειρῶν ἐξελέσθαι δυνατὸς γένοιτο, ζημίαν τοῦτο πλείστην ἡγεῖτο, καὶ οὐδὲν ὅλως κατορθοῦν ἐνόμιζεν. Ἐχώρει τοίνυν αὐτῷ κατὰ γνώμην τὸ πρᾶγμα, καὶ ἡ φήμη πανταχοῦ τὸν ἄνδρα παρέπεμπε κηρύττοντα τὴν Τριάδα, μὴ ὅτι τοῖς ἀνὰ τὴν Ἑλλάδα τε καὶ Θεσσαλονίκην, ἀλλ' ἤδη καὶ οἷς οὐδὲ λόγος περὶ αὐτοῦ ἀφίκετο πρότερον. Ἐν τούτῳ δὲ ὄντος καὶ τὸ καλὸν ἐκεῖνο τῆς διδασκαλίας νᾶμα προχέοντος, ἥκουσί τινες παρ' αὐτόν, οἷς ἔργον Χριστιανοὺς ἐρευνᾶν, καὶ τὴν εἰς βασιλέα οἰκείωσιν ἑαυτοῖς διὰ τῆς ἐκείνων προδοσίας περιποιεῖσθαι.

Δημήτριος δέ, ὡς ἤδη φθάσαντες ἐδηλώσαμεν, οὐκ ἐν γωνίαις τὰ Χριστιανῶν μετιών, οὐδὲ νυκτερινὸς ὢν Χριστοῦ μαθητής, μᾶλλον δὲ τῆς ἀληθείας διδάσκαλος, ἀλλ' ἀνακεκαλυμμένος καὶ φανερῶς ὁμολογῶν τὴν εὐσέβειαν, συλλαμβάνεται παρ' αὐτῶν· καὶ δῆλα τῷ βασιλεῖ τὰ κατ' αὐτὸν γίνεται, ὅτι τὰ μὲν τῶν Χριστιανῶν πρεσβεύων ἐστί, τὰ δὲ τῶν ἡμετέρων, φασί, θεῶν σαφῆ γέλωτα καὶ μυκτηρισμὸν τιθέμενος. Μαξιμιανὸν δὲ ἄρα Θεσσαλονίκη τότε παρ' ἑαυτῇ εἶχεν, μέγαν μὲν τῷ ἐπὶ Σαυρομάτας πολέμῳ καὶ Σκύθας γενόμενον, πολλῷ δὲ μείζω τῇ κατὰ τῶν εὐσεβῶν ὠμότητι γνωριζόμενον. Ἀκούσαντα τοίνυν εὐθέως τὸν βασιλέα πάντα εἶχεν ὁμοῦ, ἔκπληξις, ἀνία, δέος, ὀργή· ἐξεπέπληκτο τῆς ἀκοῆς τὴν καινότητα, ἠνιᾶτο τῇ τοῦ ἀνδρὸς ζημίᾳ, ἐδεδίει μὴ καὶ ἄλλους τοιοῦτος ὢν ἑλκύσῃ πρὸς θεοσέβειαν, δι' ὀργῆς εἶχεν ὡς τῆς παρ' αὐτοῦ τιμῆς ἀλογήσαντα. Πλὴν ἀλλὰ πιστεύειν ἀκοῇ τοσοῦτον οὐκ ἔχων, ἅτε μηδὲ φέρων ὅλως ἄνδρα τοιοῦτον ζημιωθῆναι (καὶ γὰρ ὃ μὴ βούλεταί τις, οὐδὲ ῥᾳδίως πιστεύειν δύναται), ἤθελε

*καὶ ὀφθαλμοὺς μάρτυρας τοῦ ἀκουσθέντος παραλαβεῖν. Ἄγειν οὖν κελεύει τὸν ἄνδρα παρ᾽ αὐτόν.*

*Ὁ δὲ παραστὰς οὐκ ἔφριξε τὸ μέγεθος τῆς ἀρχῆς, οὐ τὰς ἐλπιζομένας ὑπεστάλη κολάσεις, οὐ τὴν ἀγριότητα τοῦ δικάζοντος ἐδειλίασεν ἀλλὰ τὴν ὠμότητα ταύτην ὕλην ἐκεῖνος τοῦ φανῆναι μᾶλλον τὸν πρὸς Θεὸν αὐτοῦ πόθον νομίσας, λέων εὐθὺς εἰς ἀγῶνα εἰσήει, μαλακὸν οὐδὲν οὐ βλέπων, οὐ λέγων, ἀλλὰ πιστούμενος μᾶλλον τοῖς παρ᾽ ἑαυτοῦ λόγοις τὰ τῷ τυράννῳ προακουσθέντα, ὡς εἴη μὲν στρατιώτης Χριστοῦ καὶ αὐτοῦ μόνου προσκυνητής· τοὺς δὲ παρ᾽ αὐτῶν λεγομένους καὶ σεβομένους θεοὺς τοσοῦτον ἀπέχει τιμᾶν, ὅτι καὶ μυκτηρίζει σαφῶς καὶ βδελύττεται ὡς δὲ καὶ ἀπειλοῦσιν αὐτοὶ βασάνους, τότε ἀνιαθήσεται πάσχων, ὅταν εἰδῇ τοὺς κολαστὰς ἢ φιλανθρώπως αὐτάς, ἢ ἐλάττους ἐπάγοντας τῆς ἐπιθυμίας. «Τιμαὶ δέ», φησιν, «αἱ παρὰ σοῦ, βασιλεῦ, καὶ ἅπερ δίδως τοῖς πειθομένοις σοι ἀγαθά, πῶς ἂν θέλξωσι τὸν καὶ αὐτό σοι τὸ ἐπίφθονον τῆς ἀρχῆς, αὐτὴν ἐκείνην τὴν βασιλείαν, σύναμα πλούτοις καὶ θησαυροῖς, ἴσον καὶ λεπτῇ κόνει περιφρονοῦντά τε καὶ ἀτιμάζοντα; Εἰ δὲ καὶ θάνατον ἐπαγάγοις, τότε μοι τὸ εὐκταιότατον ἴσθι ποιῶν καὶ πρὸς τὴν ἀληθῆ ζωήν, καὶ τὸν αὐτῆς πλέον ἐμοὶ ποθούμενον παραπέμπων Χριστόν.»*

*Τούτων ἐπειδὴ Μαξιμιανὸς ἤκουσε, μετὰ φρονήματος ἀτρέπτου καὶ γενναίου τοῦ παραστήματος, ἐλευθέρου τε στόματος εἰρημένων, τὸ παραυτίκα τὴν βάσανον ἀναβάλλεται, σοφώτερόν τι μᾶλλον ποιῶν, οὐ φιλανθρωπότερον. Ἠβούλετο γὰρ μετάνοιαν αὐτῷ ἐμβαλεῖν καὶ πάρεσιν τῆς θερμῆς ἐνστάσεως τὸν μεταξὺ χρόνον, καὶ διὰ τοῦτο τό γε νῦν ἔχον αὐτοῦ που τὸν Δημήτριον δημοσίου γειτονοῦντος λουτροῦ καμάραι καμίνων εἰς φρουρὰν ἐλάμβανον. Μαξιμιανὸς δὲ τοῦ θεάτρου ἐπιβάς, ὃ κατ᾽ ἐκεῖνο συνεκρότει τῆς ὥρας, τοὺς παγκρατιαστάς τε*

*συναγαγών, τὴν πόλιν ἐκκλησιάζων ἦν, καὶ τὴν ἀγωνίαν διατιθέμενος, αὐτὸς ἐπὶ μετεώρου τοῦ βήματος προκαθήμενος.*

*Ὁ μάρτυς δὲ πρὸς τὴν εἱρκτὴν ἀπαγόμενος ἥδετό τε ὁμοῦ καὶ ἀνιαρῶς διέκειτο· ἥδετο μέν, ὅτι μικρὸν ὅσον οὔπω τοῦ μαρτυρίου ἀξιωθήσεσθαι ἔμελλεν, ἠνιᾶτο δέ, ὅτι μὴ καὶ θᾶττον ἐπιόντας αὐτῷ τοὺς κολαστὰς ἐθεᾶτο, καὶ πρὸς βασάνους ἤδη καὶ τὸν θάνατον συνηρπάζετο. Τοσοῦτος γὰρ Δημητρίῳ τοῦ διὰ Χριστὸν ἀποθανεῖν ἀγὼν ἦν, ὅση Μαξιμιανῷ πάλιν τοῦ τὸν ἄνδρα ἑλεῖν διὰ τῶν χρηστοτέρων σπουδή. Τὴν εἱρκτὴν τοίνυν ὁ μάρτυς κατειληφώς, «Ὁ Θεός», ἔλεγεν, «εἰς τὴν βοήθειάν μου πρόσσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Ὅτι σὺ ἡ ὑπομονή μου, Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου. Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός· ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής. Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός. Ψαλῶ τῷ Θεῷ μου, ἕως ὑπάρχω. Διὰ τοῦτο ἀγαλλιάσεται τὰ χείλη μου, ὅταν ψάλλω σοι, καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου.»*

*Καὶ τῆς εὐχῆς αὐτῷ τελεσθείσης, ὁρᾷ σκορπίον ἕρποντα κατὰ γῆς τὸ κέντρον τε ἠρκότα, καὶ αὐτοῦ τὸν πόδα βαλεῖν μέλλοντα. Ὁ δὲ τῷ σταυρῷ σφραγισάμενος, καὶ τὸν ἐπάνω ὄφεων καὶ σκορπίων τῷ οἰκείῳ πλάσματι δόντα πατεῖν ἐπικαλεσάμενος, νεκρὸν ἐκεῖνον εὐθέως, μᾶλλον δὲ τὸν ἐν αὐτῷ νοητὸν σκορπίον ὑποκρυπτόμενον, ἀπεργάζεται. Καῖ παραχρῆμα θεῖος ἄγγελος ἐπιφανείς, στέφανον αὐτοῦ τῇ κορυφῇ ἐπιτίθησι, προσειπών, «Εἰρήνη σοι, ἀθλητὰ τοῦ Χριστοῦ, ἴσχυε καὶ ἀνδρίζου.» Οὕτως ὁ ταχὺς εἰς παράκλησιν τῶν φοβουμένων αὐτὸν Κύριος ἅμα τῇ τῆς εἱρκτῆς κατακλείσει καὶ πρὸς τὸ παρὸν ἡμέρως ἄγαν παραμυθεῖται τὸν ἀθλητήν, καὶ πρὸς τὸ μέλλον προθυμίας ἐμπίπλησιν. Ἀλλὰ Δημήτριον μὲν οὕτως ἡ φρουρὰ εἶχε.*

*Μαξιμιανῷ δὲ τὸ τῶν μονομάχων συνεκροτεῖτο θέατρον, καὶ*

*τἆλλα ὅσα τὰ τοῦ πεντάθλου συνεπλήρου θεάματα. Ὁ δὲ ἐκ περιωπῆς καθῆστο, διατριβὴν ἡδίστην τὸν ἀγῶνα ποιούμενος. Ἥδετο γάρ, ὡς ἔοικεν, αἱμάτων ἀνθρωπίνων ὁρῶν ἔκχυσιν. Ἦν δέ τις ἀνὴρ βάρβαρος τῶν ἐπιτηδείων Μαξιμιανῷ, πρός τε χεῖρα γενναῖος, καὶ πρὸς πάλην οὐχ ἥκιστα ἀγαθός, μέγεθός τε τοῦ μετρίου μείζων, καὶ παρὰ τοῦτο σφόδρα κεχαρισμένος αὐτῷ, καὶ λόγου κομιδῇ πολλοῦ ἀξιούμενος· Λυαῖος ὄνομα τῷ ἀνδρί, πατρὶς Οὐάνδαλα.*

*Οὗτος τά γε εἰς ῥώμην σώματος πάντων κρατεῖν ἀλαζονευόμενος, ἐπ᾽ ὀκρίβαντος τότε στάς, ὡς ἐπίδηλος εἴη τῷ θεάτρῳ παντί, τὸν βουλόμενον εἰς πάλην προεκαλεῖτο. Εἴργαστο δὲ ἄρα τῷ Μαξιμιανῷ κύκλος σανίσι διειλημμένος συχναῖς ἐφ᾽ ὃν οἱ μονομαχεῖν μέλλοντες εἰσήεσαν, καὶ τὸ παγκράτιον ὑπήρχοντο καὶ τὴν πάλην. Ἐπεὶ τοίνυν τῇ τοῦ σώματος ῥώμῃ πάντων ἐκράτει Λυαῖος, καὶ πᾶς ὅστις εἰς χεῖρας αὐτῷ ἐρχόμενος, χαμαὶ κείμενος εὐθὺς ἐθεᾶτο, ἢ καὶ θάνατον ἐκ τοῦ παραχρῆμα σπασάμενος, τοσοῦτον ἥδεσθαι τῷ τυράννῳ παρεῖχεν, οὓς κατέβαλλε τοὺς συμπλεκομένους, ὅσον οὐ πολλῷ ὕστερον λύπῃ περιβαλεῖν αὐτὸν ἔμελλεν.*

*Ἀνὴρ γάρ τις, ὄνομα Νέστωρ, τὴν μὲν ἡλικίαν κομιδῇ νέος, ἄρτι τὸν ἴουλον ἐπανθοῦντα φέρων, ἰδεῖν δὲ ἥδιστος, καὶ κάλλει διαπρεπέστατος, γνωστὸς τῷ περιδόξῳ μάρτυρι Δημητρίῳ τελῶν, ὁρῶν οὕτω Μαξιμιανὸν περὶ τὸν βάρβαρον διακείμενον, καὶ πολλὰ πρὸς τοῖς μονομαχίας ἄθλοις καὶ χρήματα προτιθέντα, τοῦτο μὲν τὸ ὑπερήφανον Λυαίου μισήσας, τοῦτο δὲ καὶ τὰ ὑπὸ τοῦ θείου μάρτυρος γινόμενα θαύματα κατιδών, καὶ ὅπως αὐτῷ πλεῖστοι προσιόντες τὴν εἰς Χριστὸν θεοσέβειαν ἐδιδάσκοντο, ἓν δὲ τοῦτο θελήσας γενέσθαι τῶν Δημητρίου θαυμάτων, τὸ ταῖς εὐχαῖς ἐκείνου καθοπλισθέντα λῦσαί τε Λυαίου τὸ θράσος καὶ τὴν ὀφρὺν αὐτὴν τοῦ βαρβάρου καταβαλεῖν,*

*προστρέχει τῷ μάρτυρι, καὶ τῶν ποδῶν ἐκείνου τῶν ἁγίων προκείμενος, «Δοῦλε τοῦ Θεοῦ Δημήτριε», λέγει, «πρόθυμός εἰμι καὶ ὀργᾷ μοι ἔνδον ἡ ψυχὴ Λυαίῳ πρὸς συμπλοκὴν συνελθεῖν, εἰ μόνον αὐτὸς ὁπλίσεις με ταῖς εὐχαῖς, καὶ ταύταις τὴν κραταιὰν χεῖρα συμμαχοῦσαν παράσχῃς.»*

*Τί οὖν ὁ θεῖος Δημήτριος; Ὥσπερ αἰτήσας αὐτὸς μᾶλλον ἢ αἰτηθείς, μικροῦ τῇ τελειώσει τὴν αἴτησιν ἐπιφθάνει καὶ ταχέως ἐπιβαλὼν αὐτῷ τὴν ἐν Χριστῷ σφραγῖδα εἰς τὸ μέτωπόν τε καὶ τὴν καρδίαν, ἀφίησιν, ἐπειπών. «Καὶ τὸν Λυαῖον νικήσεις, καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσεις·» ὅπερ ταυτὸν ἦν εἰπεῖν, «Καὶ τὸν φανερὸν ἀντίπαλον καὶ τὸν ἀφανῆ νικήσεις.» Οὕτως οὐ μόνον θάρσος ἐνῆκεν αὐτοῦ τῇ ψυχῇ, ἀλλὰ καὶ περὶ τοῦ μέλλοντος ἀσφαλέστατα προσεφθέγξατο. Αὐτίκα γοῦν ὁ Νέστωρ ἀφικόμενος εἰς τὸ στάδιον καὶ διὰ τῶν βαθμίδων καταπηδήσας, τόν τε χιτῶνα ἀποτίθεται, καὶ ἑαυτὸν δῆλον καθίστησι τῷ βασιλεῖ παραστάς. Μαξιμιανὸς δὲ τὴν πολλὴν τόλμαν ἐκείνην τοῦ νεανίσκου καταπλαγείς, καὶ ἄλλο τι εἶναι ὑπολαβὼν ἢ ἀνδρείας ἐπίδειξιν τὸ γινόμενον, ἐγγυτέρω παραστῆναι κελεύει, καί, «Ὦ νεανίσκε», συμβουλεύων φησίν, «οἶδ᾽ ὅτι χρημάτων ἔνδεια εἰς τοῦτό σε τόλμης ἠνάγκασεν ἐπαρθῆναι, ἵνα ἢ περιγενόμενος, πλοῦτον σεαυτῷ ἀθρόον περιποιήσῃ, ἢ ἀποτυχών, πενίαν ὡς ἐχθρὸν ἄσπονδον μετὰ καὶ ζῆν ἀποφύγῃς. Ἐγὼ δέ σε καὶ τῆς ἡλικίας, καὶ τῆς καλὸν ἐπιλαμπούσης σοι ὥρας οἰκτίρων, παρέξω καὶ ὑπὲρ μόνης γε τῆς τόλμης ἄξια καὶ ἱκανὰ χρήματα.*

*Καὶ λαβὼν ἄπιθι μετὰ τοῦ ζῆν ἀπολαύων καὶ τῶν χρημάτων. Λυαίῳ δὲ σεαυτὸν τὸ παράπαν μὴ ἀντιστήσῃς· πολλοὺς γὰρ τοῦ ζῆν ἀπήλλαξε, καὶ τῶν καταπολύ σου ῥωμαλεωτέρων.» Ταῦτα ὁ Νέστωρ ἀκούσας, οὔτε ἥρπασε τὴν τοῦ βασιλέως φιλοτιμίαν, οὔτε πάλιν πρὸς τὸν τοῦ Λυαίου ἔπαινον ἐδειλίασε. Τῷ δὲ βασιλεῖ, «Οὐ χρημάτων ἐπιθυμῶ», ἔφη, «οὐδὲ παρὰ*

*τοῦτο ἐμαυτὸν εἰς τόνδε τὸν ἀγῶνα καθῆκα, ἀλλὰ δόξης ἐρῶν μᾶλλον καὶ Λυαίου κρείττων ἀναφανῆναι βουλόμενος. Ἀπώμοτον γὰρ ἐμοὶ μὴ ὅτι γε τὸ πλουτεῖν, ἀλλὰ καὶ αὐτὸ τὸ ζῆν, δόξης εἴξαντι Λυαίῳ καὶ τῶν πρωτείων ἐκείνῳ παραχωρήσαντι.» Ταῦτα οὕτω λεχθέντα καὶ βασιλέα καὶ τοὺς περὶ αὐτὸν ἅπαντας ἠρέθισαν εἰς ὀργήν· ὅπως γὰρ ὡπλίσθη, καὶ ἐφ᾽ ᾧ πεποιθὼς ἐκεῖνος οὕτως ἐφθέγγετο, αὐτοὶ ἀγνοοῦντες, ἀλαζονείας μόνης καὶ κενοῦ τύφου τὰ ῥήματα ὑπελάμβανον. Ὁ μὲν οὖν βασιλεὺς πολὺς ἦν εἰς τὸν ἀγῶνα διεγείρων Λυαῖον καὶ τὴν ὁρμῆς καὶ θάρσους ἔμπλεων παροξύνων ψυχήν.*

*Νέστορι δὲ τὸ θάρσος οἱ Δημητρίου λόγοι καὶ Χριστὸς ἦν, πρὸς ὃν ἀνατείνας τοὺς ὀφθαλμούς, «Ὁ Θεός», ἔλεγε, «Δημητρίου, δὸς ἐμὲ τὸν βραχὺν τὴν ἡλικίαν Δαυῒδ Γολιὰθ ἄλλον καταισχῦναι Λυαῖον. Σοὶ γὰρ πεποιθὼς τὸν ἀγῶνα τοῦτον ἐν μέσῳ πολλῶν ἠράμην, ἵνα τὸ σὸν ὄνομα δοξασθῇ τοῦ μόνου ἀληθῶς Θεοῦ, καὶ τοῖς ἐν σοὶ δύναμιν ποιουμένοις ἐπιπέμποντος βοήθειαν ἐξ ἁγίου.» Οὕτως ἔφη, καὶ ἅμα τὸν ἀκινάκην σπασάμενος, καὶ τὸ θέατρον εἰσπηδήσας, τῆς συμπλοκῆς ἤδη γενομένης, βάλλει καιρίως κατὰ τῆς καρδίας τὸν βάρβαρον καὶ εὐθὺς τὸν μὲν ἀναιρεῖ, σχεδὸν δὲ καὶ Μαξιμιανὸν τῇ περὶ αὐτὸν λύπῃ· πολλῷ δὲ μᾶλλον εἰπεῖν καὶ πλάνην αὐτήν, καὶ σὺν ἐκείνῃ τὸν ταύτης αἴτιον, τὸν κρυπτόν, φημι, Μαξιμιανὸν θανατοῖ.*

*Μαξιμιανῷ μέντοι τῷ βασιλεῖ οὐκ ἦν ἔτι ἀνεκτὸν ἡ καθέδρα ἀλλὰ πλήρης ὀργῆς καὶ κατηφείας εὐθὺς ἐξανέστη, καὶ πρὸς τὰς βασιλείους αὐλὰς δεινὰ στρέφων καθ᾽ ἑαυτὸν ἀπεχώρει, ἐπισκοτῆσαι τῷ φέγγει τῆς ἀληθείας ὁ δυσσεβὴς βουλόμενος, Νέστορός τε τὴν νίκην καὶ δι᾽ ἐκείνου τὸ πρὸς Χριστὸν ἀμαυρῶσαι σέβας, γοητείαν ἐκ πολλῆς ἀνοίας τὸ πρᾶγμα καλῶν. Ἐπεὶ οὐκ ἄν, φησι, παρὰ τοιοῦδε τοιαύτας ἀνδραγαθίας ἐπιδειξάμενος*

www.tezaurliturgic.ro

*ἀνῃρεῖτο. Ἀμέλει καὶ Νέστορα τὸν γενναῖον μεταπεμψάμενος, ὡς ἐπὶ πράγματι ὁμολογουμένῳ καὶ οὐδεμιᾶς δεομένου ζητήσεως, «Εἰπέ μοι, νεανίσκε», λέγει, «τίσι μαγείαις χρησάμενος ἢ τίνας ἔχων τοὺς συνεργούς, Λυαῖον ἀνῄρηκας τὸν τοσοῦτον;» Πρὸς ταῦτα ὁ Νέστωρ οὐδὲν ὑποδειλιάσας, ἀλλὰ θαῤῥήσας πάντως, ὅτι ὁ δοὺς ἐκεῖνον τὸν ὑπερήφανον ἀνελεῖν, αὐτὸς δώσει καὶ προσήκουσαν τὴν περὶ αὐτοῦ θέσθαι ἀπολογίαν, «Οὐδέν», ἔφη, «βασιλεῦ, τοιοῦτον οὐδὲ ἐμοί, οὔτε ἄλλῳ Χριστιανῶν· συνεργὸς δέ μοι πρὸς τοῦτο τῶν ἀνθρώπων οὐδείς, ὅτι μὴ μόνος ὁ Δημητρίου Θεός, ὁ Θεός, βασιλεῦ, τῶν Χριστιανῶν.*

*Τούτου φανερὸς ἆθλος ὁ Λυαίου θάνατος, ὃς ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ Σηὼν καὶ Ὢκ καὶ μυρίους ἄλλους πολλῷ μᾶλλον ἢ Λυαῖον τὴν ῥώμην ἐπιφανεῖς εὐχερῶς ἀνεῖλεν, οὐ καθ᾽ ἕνα μόνον, ἀλλὰ καὶ κατὰ πλῆθος συναθροισαμένους. Τί μὴ λέγω τὰ ἐκείνου μόνου ἀληθῶς ἄξια, οὗ ἔργον οὐρανὸς καὶ γῆ καὶ τὰ ἐν αὐτοῖς ἅπαντα;» Οὐκ ἤνεγκε τὰ μεγάλα ταῦτα ἡ φαύλη Μαξιμιανοῦ ἀκοή, ἀλλὰ τῶν καλῶν λόγων μισθούς, καὶ τῆς νίκης αὐτῷ βραβεῖα τὸν διὰ ξίφους ἐπάγει θάνατον. Νέστωρ μὲν οὖν οὕτω τοῦ διὰ Χριστὸν μακαρίου τέλους ἐπιτυγχάνει, καὶ τῷ ἰδίῳ ξίφει δέχεται τὴν τομήν, οὕτω μὲν Μαξιμιανοῦ κελεύσαντος, ἵνα κἀκεῖνο τάχα μαρτυρικῷ αἵματι καθαγιασθῇ, Μινουκιανοῦ δὲ προτίκτωρος πρὸς τὴν σφαγὴν ὑπουργήσαντος. Καὶ οὕτω πρὸς Χριστόν, ὃν ἐφίλησε, παραπέμπεται, παρ᾽ οὗ καὶ τῆς διπλῆς νίκης ἀπολήψεται τοὺς στεφάνους.*

*Ἐντεῦθεν ὑποβολαὶ κατὰ Δημητρίου πάλιν καὶ διαβολαὶ πιθανώτεραι, ὡς αὐτὸς εἴη τοῦ Λυαίου σφαγῆς αἴτιος. Αὐτίκα γοῦν Μαξιμιανὸς ὀξύτατα χολωθείς, καὶ ἅμα οἰωνισάμενος ὡς οὐκ ἀγαθὸν αὐτῷ συνάντημα Δημήτριος γένοιτο πρὸς τὸ στάδιον ἀνιόντι, κελεύει τὸν μάρτυρα ἐν αὐταῖς αἷς ἐφρουρεῖτο*

*καμίνοις λόγχαις ἀναιρεθῆναι. Ὃ δὴ καὶ γίνεται. Καὶ ὁ καλὸς σὺ τὰ πάντα, Δημήτριος, ὁ λίαν τοῦ Δεσπότου περιεχόμενος, ὁμοίως αὐτῷ τὴν πλευρὰν λογχεύῃ, καὶ τοῦτο ἀφορμὴν καὶ ὁδὸν εὑρίσκεις τῆς πρὸς ἐκεῖνον ἀφίξεως· μακάριος μὲν τοῦ βίου, μακαριώτερος δὲ τοῦ τέλους, καὶ τῶν στεφάνων γενόμενος, καὶ τῆς εἰς αἰῶνας αὐτῷ τῷ ποθουμένῳ συγκατοικήσεως.*

*Εἶχε μὲν οὖν οὕτω ταῦτα, καὶ ὁ νεκρὸς τοῦ μάρτυρος κατὰ γῆς ἔῤῥιπτο, καὶ οὐδεὶς αὐτοῦ λόγος μέχρι τινός. Πάντως δὲ οὔτε ὅσιον ἦν, οὔτε Θεοῦ ὅλως ἄξιον, ὑπὲρ οὗ πέπονθεν ἐκεῖνο τὸ ἱερὸν σῶμα, οὕτως αὐτὸ παριδεῖν. Οὔκουν οὐδὲ παρεῖδεν. Ἀλλὰ τῶν φιλοχρίστων τινὲς ὑποβολαῖς ἐκείνου νυκτὸς προσελθόντες, καὶ ἀτίμως κείμενον τὸ κομιδῇ τίμιον ἀνελόμενοι εὐλαβῶς περιστέλλουσιν. Εἶτα καὶ κόνιν ἐπιβαλόντες ἐν αὐτῷ τῷ τόπῳ ἔνθα δὴ καὶ τετελείωτο θεοφιλῶς θάπτουσιν. Εἷς δέ τις τῶν οἰκετῶν τοῦ ἁγίου παραστὰς αὐτῷ τὴν μακαρίαν ὑφισταμένῳ σφαγήν, καὶ ὡς οἷόν τε ἦν, τὸ θεῖον ἐκεῖνο αἷμα εἰς τὸ ἱερὸν τοῦ μάρτυρος ἀνελόμενος ἐπώμιον, ἀλλὰ καὶ ὃν ἐφόρει κατὰ χεῖρα δακτύλιον, καὶ αὐτὸν συλλαβὼν καὶ τῷ μαρτυρικῷ αἵματι περιχρίσας, πολύ τι χρῆμα τεραστίων εἰργάζετο δι᾽ αὐτοῦ.*

*Καὶ οὐδὲν ἦν οὔτε τῶν νοσημάτων, οὔτε τῶν πονηρῶν πνευμάτων οὕτως ἰσχυρόν, ὥστε εἰς ἐκείνου πεῖραν ἐλθόν, μὴ εὐθὺς ἡττᾶσθαι καὶ πρὸς φυγὴν τρέπεσθαι· ὡς πλήρη γενέσθαι τῆς τοιαύτης φήμης τῶν τεραστίων τὴν πόλιν Θεσσαλονικέων ἅπασαν. Ὅθεν οὐδὲ εἰκὸς ἦν ταῦτα οὔτε Μαξιμιανὸν λαθεῖν, οὔτε τὸν φθόνον ὑπενεγκεῖν. Καὶ διὰ τοῦτο χειροῦται παραχρῆμα καὶ ὁ τῶν ἀγαθῶν δὴ τούτων ἐπίτροπος οἰκέτης, καὶ ἀναιρεῖται. Τριβουνάλιον τὸ τῆς ἐκτομῆς χωρίον· Λοῦπος ὁ καλὸς οἰκέτης κατωνομάζετο. Χρόνου δὲ παριόντος καὶ τῶν σημείων ἐν ᾧ τὸ τοῦ μάρτυρος ἐκρύπτετο σῶμα, τοῦτο μὲν Μακεδονίαν, τοῦτο δὲ καὶ Θετταλίαν διατρεχόντων, ἤδη δὲ*

*καὶ τῆς εἰδωλικῆς ἀχλύος εἰς ἀκριβῆ αἰθρίαν μεταβαλούσης, Λεόντιός τις ἀνὴρ τήν τε δόξαν λαμπρός, τήν τε πρὸς Χριστὸν πίστιν μάλα θερμὸς τοὺς μὲν ἐπαρχικοὺς τότε τῶν Ἰλλυρικῶν κατακοσμῶν θρόνους, εἰς δὲ τὴν Δακῶν ἀπιών, νόσῳ βαρυτάτῃ κάτοχος γίνεται, οὕτως αὐτὸν πιεζούσῃ, ὡς καὶ σιτίων ἄγευστον καὶ ποτοῦ πιεῖν, τὸν δὲ πᾶσι φευκτὸν θάνατον χρῆμά τι νομίζειν ἐπιεικῶς ποθεινότατον, καὶ τοῦ συνενεχθέντος αὐτὸν δεινοῦ μόνην ἐλευθερίαν.*

*Ἐπεὶ οὖν ἰατροὶ μὲν τῆς νόσου φανερῶς ἡττῶντο, φίλων δὲ παρουσίαι πρὸς παραμυθίαν τοῦ πάθους κόπος κενὸς ἐνομίζοντο, ἐλπίς τε ἦν ἀπαλλαγῆς τοῦ νοσήματος οὐδεμία, ἐν τούτῳ τῷ χαλεπῷ κλύδωνι καὶ ἀφύκτῳ ἱερά τις ἄγκυρα τῷ ἐπάρχῳ ἡ πρὸς τὸν θεῖον τοῦ μάρτυρος ναὸν καταφυγὴ γίνεται. Ἔνθα δὲ καὶ κλινοπετὴς εἰσαχθεὶς καὶ κατὰ τὸν τόπον, ἐν ᾧ τὸ ἱερὸν ἐκεῖνο ὑπὸ γῆν κέκρυπτο σῶμα, κατατεθεὶς (ὢ θείας ἐπισκοπῆς! ὢ πράγματος ἀποῤῥήτου!), ἤρκει μὲν εἰς δεῖγμα σαφὲς τῆς Δημητρίου χάριτος καὶ δυνάμεως, καὶ εἰ τεθεὶς καὶ χρόνον τινὰ προσμείνας καὶ θερμότατα δεηθεὶς ᾔσθετο τῆς ἐπικουρίας. Νῦν δὲ τοῦτό ἐστι τὸ καινότατον, τοῦτο τῶν ἐκείνου θαυμάτων τὸ χαριέστατον, ὅτι ὁμοῦ συνέδραμε πάντα, ἡ ἐν τῷ ναῷ τοῦ νοσοῦντος κατάθεσις, ἡ τοῦ μάρτυρος διὰ τῶν ἐκείνου χειλέων ἀνάκλησις, καὶ ἡ τοῦ νοσήματος εὐχερὴς ἀπόθεσις. Οὕτω ταχείας Λεόντιος τῆς θεραπείας τυχών, ταχεῖαν καὶ αὐτός, ὡς εἶχε, τὴν ἀμοιβὴν ἀποδίδωσι.*

*Καὶ τὸν μικρὸν οἰκίσκον, ὃς τὸ ἱερὸν εἶχε τοῦ μάρτυρος σῶμα, ἐπὶ βραχέος κομιδῆ καὶ στενοῦ τοῦ σχήματος ὄντα, τοῖς περιβόλοις τε τοῦ λουτροῦ καὶ τῷ σταδίῳ ἀπειλημμένον, καταστρέψας αὐτός, εἰς ναὸν αὐτῷ τῷ ἄστει Θεσσαλονίκης ἐξ αὐτῶν ἐδείματο τῶν κρηπίδων· ὃς καὶ νῦν ὁρᾶται μέσος τοῦ δημοσίου λουτροῦ καὶ τοῦ σταδίου κάλλιστα διηρμένος, οὐδενὸς τῶν*

*ἄλλων, ὅσοι πρὸς θαῦμα καὶ ἡδονὴν ὀφθαλμοὺς κινοῦσι κάλλους ἢ μεγέθους, ἀπολειπόμενος. Μέλλων δὲ ὁ φιλευσεβὴς οὗτος καὶ πρὸς τὸ Ἰλλυρικὸν ἀπιέναι, καί τινα τῶν μερῶν τοῦ ἱεροῦ σώματος λαβεῖν βουληθείς, ὥστε κἀκεῖσε ναὸν τῷ εὐκλεεῖ μάρτυρι ἀναστῆσαι, οὐκ ἔσχε συνευδοκοῦντα τὸν ἅγιον, ἀλλὰ νυκτεριναῖς αὐτὸν ἐπιφανείαις εἴργει τοῦ ἐπιχειρήματος. Διὰ ταῦτα καὶ δεύτερον πλοῦν, ὃ λέγεται, τὴν χλαμύδα τοῦ μάρτυρος σεπτοῖς αἵμασι τοῖς ἐκείνου πεφοινιγμένην, καί τι τοῦ ἐπωμίου λαβών, ὃ σύνηθες ὀράριον ὀνομάζειν, καὶ κιβωτῷ τιμίᾳ τὸ ἀληθῶς τίμιον καταθέμενος, οὕτω τῷ μάρτυρι μὲν ἀφοσιοῖ τὸν πόθον, ἑαυτῷ δὲ τὴν μεγίστην περιποιεῖται ἀσφάλειαν.*

*Ἀμέλει καὶ τὴν ἐπὶ τὸ Σίρμιον ὥρᾳ χειμῶνος διαβαίνειν μέλλων, ἤδη παρὰ ταῖς ὄχθαις τοῦ Ἴστρου γενόμενος, ἐπεὶ πολὺς ἦν ἐκεῖνος, καὶ ἐπὶ μέγα τὸ ῥεῖθρον ἐξαίρων ἐντεῦθέν τε οὐδενὶ τῶν πάντων διαβατὸς γινόμενος· καὶ ὁ μὲν χρόνος πολὺς μεταξὺ ἦν, ἔληγε δὲ οὐδαμῶς τὸ ῥεῖθρον, ἀλλὰ καὶ ὅτι τοῖς βουλομένοις ἀπηγόρευε τὴν διάβασιν, ἐν ἀθυμίαις ὁ ἀνὴρ ἦν λογισμοῖς τε ἐβάλλετο καὶ ἀπορίᾳ συνείχετο. Ἐπιφανεὶς οὖν ὁ θεῖος αὐτῷ Δημήτριος, «Πᾶσαν ἀθυμίαν», ἔφη, «καὶ ἀπιστίαν ὅ,τι πόῤῥω θέμενος ἀπὸ τῆς ψυχῆς, ὃ ἐπιφέρῃ μετὰ χεῖρας ἔχων διάβηθι τὸν ποταμὸν ἀδιστάκτως.»*

*Πείθεται τῷ φανέντι ὁ ἔπαρχος, καὶ ἔωθεν τοῦ ὀχήματος ἐπιβὰς ἐχώρει διὰ τοῦ ῥείθρου μετὰ χεῖρας τὴν σορὸν ἔχων, ἄνω δὲ τοὺς ὀφθαλμοὺς μετὰ τῆς ψυχῆς, ἡσυχῇ τοῦ ῥεύματος ὑποχωροῦντος αὐτῷ, καὶ εἴκοντος νεύμασιν ἀθεάτοις, ἀξίαν μὲν θαύματος, οὐ μὴν ἀναξίαν καὶ τῆς πρὸς τὸν μάρτυρα πίστεως, τὴν διάβασιν ὑποστάς. Οὕτως οὖν ἀβλαβὴς διελθών, καὶ πρὸς τῷ Σιρμίῳ γενόμενος τὴν ἱερὰν ἐκείνην σορὸν μετὰ τοῦ ἐν αὐτῇ θησαυροῦ τῷ παρ᾽ αὐτοῦ νεουργηθέντι ναῷ τῷ μάρτυρι δίδωσιν. Ἐν γειτόνων δὲ οὗτος τῷ τῆς καλλινίκου*

www.tezaurliturgic.ro

*μάρτυρος Ἀναστασίας ἵδρυται σηκῷ· ἵνα καὶ μάρτυρες μάρτυσιν ἄνω τε καὶ κάτω ταῖς σκηναῖς πλησιάζουσι. Πολλῶν μὲν τῶν θαυμάτων δηλαδὴ καὶ ἰάσεων, καὶ παρ᾽ αὐτήν γε τὴν ὁδὸν πλεῖστοι τῆς ἁγιαστικῆς ἐκείνης φερομένης χλαμύδος ἀπέλαυσαν χάριτι καὶ δυνάμει Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ εἰς τοὺς ἀτελευτήτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.»*

Ἐν τῷ Ἁγιολογίῳ καταγράφονται Ἅγιοι, τιμώμενοι κατὰ τριάδας. Ὁ ἀριθμὸς τρία ἐν τῇ Ἐκκλησίᾳ τὴν Ἁγίαν Τριάδα σημαίνει. Ἐπίσης καταγράφονται Ἅγιοι, τιμώμενοι κατὰ ξυνωρίδας. Ὁ ἀριθμὸς δύο τὸ συναδελφικὸν καὶ τὸ αὐτάδελφον σημαίνει.

Ἡ ξυνωρὶς τῶν Ἁγίων οὐδεμίαν σχέσιν ἔχει πρὸς τοὺς Διοσκούρους τῆς ἀρχαίας μυθολογίας. Οἱ Διόσκουροι ἐκφράζουσιν ἀρχαίας δοξασίας διπλῆς γεννήσεως πρὸς ἐπίτευξιν ἀθανασίας καὶ συμμετοχῆς ἐκ περιτροπῆς τοῦ θνητοῦ μέρους εἰς τὸ ἀθάνατον καὶ τἀνάπαλιν.

Ὅταν ὁ χριστιανισμὸς ἐπεκράτησε καὶ διὰ διαταγμάτων ἐγένετο μόνη ἐπίσημος θρησκεία, τὰ ἀρχαῖα ἱερὰ ἐγκατελείφθησαν καὶ ἠρημώθησαν. Κατεκρημνίζοντο καὶ ἐν ταῖς θέσεσιν αὐτῶν ἀνεγείροντο χριστιανικοὶ ναοί. Μέλη αὐτῶν, ὡς κίονες καὶ κιονόκρανα, ἐσκυλεύοντο πρὸς χρῆσιν ἐν χριστιανικοῖς ναοῖς.

Οἱ ἐγκαθιστάμενοι Ἅγιοι ἐν τῇ θέσει τῶν ἀρχαίων θεῶν εἶχον φαινομενικόν τινα συσχετισμὸν πρὸς τοὺς θεοὺς τούτους. Ὁ διαφυγὼν τὴν κατακρήμνισιν Παρθενών, ναὸς τῆς παρθένου Ἀθηνᾶς, μετετράπη εἰς ναὸν τῆς Παρθένου Θεοτόκου. Τὰ ἱερὰ τῶν Διοσκούρων Κάστορος καὶ Πολυδεύκους, προστατῶν τῶν ναυτιλλομένων καὶ θεραπευτῶν τῶν νοσούντων, ἀντικατεστάθησαν ὑπὸ ἱερῶν τῶν Ἀναργύρων Ἁγίων Κοσμᾶ

καὶ Δαμιανοῦ, τὰ ὅμοια τελούντων. Ἡ ἐπικάθισις τῶν Ἁγίων Κοσμᾶ καὶ Δαμιανοῦ ἐπὶ τῶν Διοσκούρων ἐγένετο ἐν αὐτῇ τῇ Κωνσταντινουπόλει ἐν δυσὶ ναοῖς, ἐν τῷ Κοσμιδίῳ καὶ ἐν τῷ Ζεύγματι.

Ἡ πάταξις τοῦ σκορπίου ὑπὸ τοῦ Ἁγίου Δημητρίου τὴν τήρησιν τῆς κεφαλῆς τοῦ ὄφεως ὑπὸ τοῦ Χριστοῦ σημαίνει.

Ὁ σκορπίος τὸν ὑποκρυπτόμενον νοητὸν σκορπίον σημαίνει.

Ἡ καταβολὴ τοῦ Λυαίου ὑπὸ τοῦ Νέστορος τὴν καταβολὴν τοῦ αἰσθητοῦ καὶ τοῦ νοητοῦ ἐχθροῦ σημαίνει.

Ἡ θανάτωσις ἐν τῇ εἱρκτῇ τοῦ Ἁγίου Δημητρίου τὴν θανάτωσιν ἐν εἱρκτῇ τοῦ Ἰωάννου τοῦ Προδρόμου σημαίνει.

Ἡ λόγχισις τοῦ Ἁγίου Δημητρίου τὴν λόγχισιν τοῦ Χριστοῦ ἐπὶ τοῦ σταυροῦ σημαίνει.

Ἡ διάβασις τοῦ ἀδιαβάτου Ἴστρου ἐπὶ τῆς χλαμύδος τοῦ Ἁγίου τὴν θαυματουργικὴν διάβασιν τῆς Ἐρυθρᾶς θαλάσσης σημαίνει.



www.tezaurliturgic.ro

# ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΜΗΝΑΣ

Ὁ Ἅγιος Μεγαλομάρτυς Μηνᾶς ἐμαρτύρησεν ἐν Κοτυαείῳ τῆς Φρυγίας Σαλουταρίας ἐπὶ αὐτοκρατόρων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ. Ἡ μνήμη αὐτοῦ τιμᾶται τῇ ἑνδεκάτῃ Νοεμβρίου. Τὴν καταγωγὴν εἶλκεν οὗτος ἐκ τῆς χώρας Αἰγυπτίων. Τὸ μαρτύριον αὐτοῦ ἀποτελεῖ διάλογον μεταξὺ τοῦ ἡγεμόνος Πύῤῥου καὶ τοῦ Ἁγίου. Ὁ διώκτης ἀσκεῖ βίαν, ὅπως τιμηθῶσιν οἱ θεοί, ὁ Ἅγιος ὑπερασπίζεται τὴν εἰς Χριστὸν πίστιν καὶ πιστοποιεῖ λόγῳ καὶ ἔργῳ τὴν ἀνίκητον ἀπόφασιν αὐτοῦ, ὅπως θυσιασθῇ ὑπὲρ αὐτῆς.

Κατὰ τὸ μαρτύριον ἐξῆλθε διάταγμα παρὰ τῶν αὐτοκρατόρων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ὅπως πάντες θεραπεύσωσι τοὺς θεοὺς διὰ τὴν παρεχομένην εὐστάθειαν καὶ εὐεργεσίαν, οἱ δὲ ἀντιλέγοντες, ὅπως πάσῃ τιμωρίᾳ ἀπόλωνται. Οἱ κήρυκες ἐκάλουν ἄνδρας καὶ γυναῖκας, ὅπως προσέλθωσιν εἰς τοὺς οἴκους τῶν θεῶν. Ὁ Ἅγιος Μηνᾶς τότε ἐστρατεύετο. Μὴ ὑπομένων τὰ γινόμενα καὶ μὴ θέλων, ὅπως συμμετάσχῃ εἰς αὐτά, ἀπεχώρησε τῆς στρατείας αὐτοῦ καὶ ἐκρύβη ἐν τόποις ἐρήμοις καὶ ἀβάτοις.

Χρόνου ἱκανοῦ διελθόντος, κατανυγεὶς ὑπὸ τῆς χάριτος τοῦ Κυρίου, ὁ Μηνᾶς κατῆλθεν εἰς τὴν πόλιν. Ἤγετο τότε τὸ γενέθλιον τῶν βασιλέων, καὶ πᾶσα ἡ πόλις ἦν συνηγμένη ἐν τῷ

θεάτρῳ. Ὁ Ἅγιος Μηνᾶς εἰσῆλθεν εἰς τὸ θέατρον, ψάλλων. Ἐγένετο σιγὴ διὰ τὴν παῤῥησίαν τοῦ ἀνδρὸς καὶ πάντες ἐθεώρουν τοῦτον, καὶ ἀσκητικὸν σχῆμα ἔχοντα. Ὁ ἡγεμὼν Πύῤῥος ἐπυνθάνετο τίς ἂν εἴη οὗτος. Ἤρξατο τότε διάλογος γνωριμίας καὶ ὁμολογίας:

ΜΗΝΑΣ: «*Ἐγὼ δοῦλός εἰμι τοῦ Χριστοῦ, τοῦ βασιλεύοντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.*»

ΠΥΡΡΟΣ: «*Ξένος εἶ ἢ ἐνθάδιος, ὅτι οὕτως παραχρῆμα ἐτόλμησας εἰσελθεῖν καὶ ἐμποδίσαι τελεσθῆναι τὸ τῶν αὐτοκρατόρων γενέθλιον;*»

ΣΤΡΑΤΙΩΤΑΙ: «*Τοῦτον ἡμεῖς γνωρίζομεν πρὸ ἐτῶν πέντε στρατευόμενον ἐν τῷ νουμέρῳ τῶν Ῥουτιλιακῶν τῶν ὄντων ὑπὸ Φιρμιλιανὸν τὸν τριβοῦνον.*»

ΠΥ.: «*Λέγε μοι, στρατιώτης ἦς, καθὼς ἀναφέρει περὶ σοῦ ἡ τάξις;*»

ΜΗ.: «*Ναί, στρατιώτης ἤμην καὶ θεωρήσας προστάγματα ἀσεβείας ἐπιφοιτῶντα ἀνεχώρησα ἀπὸ τῆς στρατείας.*»

ΠΥ.: «*Ποίας οὖν προφάσεως γενομένης ἀνεχώρησας τῆς στρατείας, Ἕλλην ὢν ἢ χριστιανός;*»

ΜΗ.: «*Χριστιανός. Καὶ πρὸς τὸ μὴ μετασχεῖν με τῆς παρανομίας τοῦτο ἐποίησα.*»

Μετὰ ταῦτα ὁ Πύῤῥος διέταξεν, ὅπως ὁ Ἅγιος Μηνᾶς ἐγκλεισθῇ ἐν τῷ δεσμωτηρίῳ, ἐπειδὴ κατ᾽ ἐκείνην τὴν ἡμέραν ἦν ἀπησχολημένος περὶ τὸ γενέθλιον τῶν βασιλέων. Κατὰ τὴν ἑπομένην ἡμέραν, προκαθίσας ἐπὶ δικαστηρίῳ ἐν τῷ γυμνασίῳ, διέταξεν, ὅπως προσαχθῇ ὁ Ἅγιος Μηνᾶς. Προσάγει τοῦτον ὁ Σύμμαχος, βοηθὸς κομμενταρήσιος.

ΣΥΜΜΑΧΟΣ: «*Μηνᾶν τὸν ἀπὸ στρατιωτῶν κελευσθέν-*

*τα ἐμβληθῆναι ὑπὸ τῆς σῆς ἐξουσίας ἐν τῷ δεσμωτηρίῳ πρὸς ἀσφάλειαν, τοῦτον, κύριέ μου, δημοσίᾳ σοι προσφέρω.»*

ΠΥ.: *«Τῇ χθὲς ἡμέρᾳ, ἀνοσιώτατε, τίνος χάριν ἐτόλμησας εἰσελθεῖν ἐν τῷ θεάτρῳ καὶ ἐμπόδιον γενέσθαι τῶν ἀγωνιζομένων ἐν τῷ γενεθλίῳ πρὸς καταφρόνησιν τῶν αὐτοκρατόρων, μάλιστα ὅτι καὶ λέγεις ἑαυτὸν Χριστιανὸν εἶναι; λέγε μοι τοίνυν, τίνος ἕνεκεν κατέλιπες τὴν στρατείαν καὶ ποῦ διῆγες καὶ πόθεν εἶ;»*

ΜΗ.: *«Ἐγὼ μέν εἰμι τῆς τῶν Αἰγυπτίων χώρας, διὰ δὲ τὸ θέλειν με στρατεύεσθαι τῷ ἐπουρανίῳ βασιλεῖ ἀπέστην τῆς προσκαίρου στρατείας ταύτης.»*

ΠΥ.: *«Ποῦ ἦς ἕως τοῦ νῦν;»*

ΜΗ.: *«Διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ εἱλόμην μᾶλλον ἐν ἐρήμοις μετὰ θηρίων ἀγρίων διατριβὴν ἔχειν ἢ μεθ᾽ ὑμῶν ἀπολέσθαι τῶν μὴ εἰδότων τὸν Θεόν. Γέγραπται γάρ· Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου.»*

ΠΥ.: *«Θῦσον τοῖς θεοῖς, ἵνα πάντα σοι συγχωρηθείη καὶ τὰ μάλιστα, ὅτι στρατιώτης ὢν ἔφυγες τὴν στρατείαν χριστιανὸν σεαυτὸν ἀποκαλῶν. Νῦν οὖν οἰκτίρησον σεαυτὸν καὶ προσελθὼν θῦσον τοῖς θεοῖς, ἵνα καὶ τὴν στρατείαν σου ἀπολάβῃς καὶ σεαυτὸν ἐντιμότερον καὶ ἀβλαβῆ διατηρήσῃς.»*

ΜΗ.: *«Ἐγὼ εὔχομαι τῷ βασιλεῖ τῶν αἰώνων εὐαρεστῆσαι καὶ παρ᾽ αὐτοῦ τὸν στέφανον τῆς ἀθανασίας κομίσασθαι· μὴ τοίνυν νομίσῃς ἀνύσαι τι διὰ τῶν ἀπειλῶν σου· πάντων γὰρ ὧν ἐπαγγέλλῃ βασάνων καταφρονῶ διὰ τὴν πρὸς Χριστόν μου ἀγάπην.»*

ΠΥ.: *«Ἀποτείνατε αὐτὸν ἐκ τεσσάρων καὶ χρήσασθε αὐτῷ βουνεύροις ὠμοῖς λέγοντες αὐτῷ· Στρατιώτης ὢν πείθου τοῖς προστάγμασι τῶν αὐτοκρατόρων.»*

www.tezaurliturgic.ro

ΜΗ.: «*Ἐμοὶ σπουδή ἐστιν τοῖς τοῦ Χριστοῦ προστάγμασι πειθαρχεῖν τοῦ μεγάλου βασιλέως.*»

Ἤρξαντο τὰ βασανιστήρια. Προτρέπεται ὁ Ἅγιος τρίς, ὅπως θύσῃ τοῖς θεοῖς, ἵνα ἀπαλλαγῇ τούτων, ἀλλὰ παραμένει ἀκλόνητος. Ὁ ἡγεμὼν Πύῤῥος διατάσσει, ὅπως ἑτοιμασθῶσι καὶ ἄλλαι βάσανοι, καὶ ὁ Ἅγιος κρεμᾶται ἐπὶ ξύλου. Ὁ διάλογος συνεχίζεται μεταξὺ τῶν βασανιστηρίων, γινομένων δριμυτέρων. Ὁ Πύῤῥος προτείνει τῷ Ἁγίῳ τριῶν ἡμερῶν ἄνεσιν, ἵνα, σκεψάμενος, μεταβάλῃ γνώμην. Ὁ Ἅγιος ἀμέσως ἀπήντησεν ὅτι αἱ τρεῖς ἡμέραι παρῆλθον ἤδη, καὶ αὐτὸς παραμένει χριστιανός.

Ἀξιωματοῦχός τις Ἡλιόδωρος, βλέπων τὸ ἀμετάπειστον τοῦ Ἁγίου, εἰσηγήθη τῷ Πύῤῥῳ, ὅπως τιμωρήσῃ τὸν ἄπιστον καὶ φυγόστρατον στρατιώτην κατὰ τὴν κρίσιν αὐτοῦ. Ὁ Πύῤῥος, δοκιμάσας τὸ ἀκλινὲς καὶ ἀνίκητον τῆς πίστεως τοῦ Ἁγίου, διέταξεν, ὅπως ἀποσυρθῇ οὗτος, καὶ ἐν συμβουλίῳ ἀπεφήνατο τὴν διὰ ξίφους τιμωρίαν καὶ τὴν παράδοσιν τοῦ σώματος πυρί.

Ἤχθη ὁ Ἅγιος εἰς τὸν τόπον τῆς Ποταμίας, τῆς πόλεως θεωρούσης τὴν ἄσκησιν αὐτοῦ. Ἔσπευδεν ἐπὶ τὴν προκειμένην πορείαν φαιδρᾷ τῇ ὄψει καὶ θαρσαλέῳ τῷ φρονήματι. Ἐκτείνας τὰς χεῖρας εἰς τὸν οὐρανόν, προσηυχήθη. Εἶτα, κλίνας τὰ γόνατα καὶ προτείνας τὸν αὐχένα, ἀπεκεφαλίσθη. Οἱ δήμιοι, ἐξάψαντες πυράν, ἔκαυσαν τὸ σῶμα αὐτοῦ. Φιλόχριστοί τινες, ἀνελόντες τὰ ἐναπομείναντα λείψανα τοῦ Μάρτυρος, ἀπέθεντο ἐν ἱεροῖς εὐκτηρίοις.

Ὁ ὑπόγειος τάφος τοῦ Ἁγίου Μηνᾶ ἐν τῷ συνοικισμῷ Ἀμποῦ Μίνα δυτικῶς τῆς Ἀλεξανδρείας ὑπῆρξε προσκυνηματικὸν κέντρον ἀπὸ τοῦ τετάρτου αἰῶνος. Ἐνταῦθα κατεσκευάζοντο αἱ περίφημοι φιάλαι τοῦ Ἁγίου Μηνᾶ, αἵτινες προσεφέροντο μεθ᾽ ἁγιάσματος τοῖς προσκυνηταῖς ἀπὸ τοῦ ἕκτου αἰῶνος. Παρὰ

τὸν ναὸν τοῦ Ἁγίου Μηνᾶ ὑπῆρχε φρέαρ μεθ᾽ ἡγιασμένου ὕδατος. Φιάλαι τοῦ Ἁγίου Μηνᾶ, μετὰ τῆς ἐπιγραφῆς «*Εὐλογία Ἁγίου Μηνᾶ*», ἀνευρέθησαν πολλαχοῦ, ἐν Ἀφρικῇ καὶ Εὐρώπῃ.

Κατὰ τὴν ἑλληνικὴν ἐπανάστασιν τῇ δεκάτῃ ὀγδόῃ Ὀκτωβρίου 1826, ἡμέρᾳ τοῦ Πάσχα, ὄχλος ἐκινεῖτο κατὰ τοῦ ναοῦ τοῦ Ἁγίου Μηνᾶ ἐν Ἡρακλείῳ τῆς Κρήτης. Αἴφνης ἐνεφανίσθη ἔφιππος ὁ Ἅγιος Μηνᾶς, κρατῶν ξίφος, περιτρέχων τὸν ναὸν καὶ κυνηγῶν τὸν ὄχλον. Τὸ θαῦμα τοῦτο τοῦ Ἁγίου Μηνᾶ τιμᾶται ἐν Ἡρακλείῳ κατὰ τὴν Τρίτην τῆς Διακαινησίμου.

Κατὰ τὸν δεύτερον Παγκόσμιον πόλεμον τῷ 1942 αἱ γερμανικαὶ δυνάμεις ἐν Ἀφρικῇ ἠπείλουν κατάληψιν τῆς Ἀλεξανδρείας καὶ τοῦ Σουέζ. Ἡ κρίσιμος σύγκρουσις πρὸς τὰς συμμαχικὰς δυνάμεις ἐγένετο ἐν Ἒλ Ἀλαμέιν, ἔνθα εὑρίσκονται τὰ ἐρείπια τοῦ ναοῦ τοῦ Ἁγίου Μηνᾶ καὶ πιθανῶς καὶ ὁ τάφος αὐτοῦ. Οἱ Ἕλληνες στρατιῶται τῆς Τρίτης Ὀρεινῆς Ταξιαρχίας, ἥτις συμμετεῖχεν εἰς τὴν μάχην μετὰ τῶν συμμάχων, εἶδον τὸν Ἅγιον Μηνᾶν, ὁδηγοῦντα καμήλους, νὰ εἰσδύῃ εἰς τὰς ἐχθρικὰς γραμμάς, δίδων τὴν νίκην. Τῷ 1943 ὁ πατριάρχης Ἀλεξανδρείας Χριστοφόρος ὁ Β΄ ἐξέδωσεν ἐγκύκλιον, ἀποδίδων τὴν σωτηρίαν τῆς Αἰγύπτου κατὰ τὴν μάχην τοῦ Ἒλ Ἀλαμέιν «*ταῖς πρὸς Θεὸν παρακλήσεσι τοῦ Ἁγίου καὶ Ἐνδόξου Μεγαλομάρτυρος Μηνᾶ, τοῦ Θαυματουργοῦ τῆς Αἰγύπτου.*» Ἄγων τὰ εὐχαριστήρια, ἀνελάβετο πρόγραμμα ἀνακαινίσεως τοῦ ἠρειπωμένου ναοῦ τοῦ Ἁγίου Μηνᾶ παρὰ τὸ Ἒλ Ἀλαμέιν, ὡς μνημεῖον τῶν πεσόντων κατὰ τὴν μάχην.

Ὁ βίος τοῦ Ἁγίου Μαγαλομάρτυρος Μηνᾶ τρέχει οὕτω:

«*Ἔτους δευτέρου τῆς βασιλείας Διοκλητιανοῦ καὶ ἔτους πρώτου Γαΐου Οὐαλερίου Μαξιμιανοῦ· μετὰ τὴν ἀναίρεσιν Νουμεριανοῦ τοῦ πρὸ αὐτῶν βασιλεύσαντος διαδεχόμενοι ἐκεῖνοι*

*τὴν βασιλείαν τὸν σεσιγημένον διωγμὸν τὸν πρὸ αὐτῶν γενόμενον οὗτοι πάλιν πάσῃ σπουδῇ ἀνεκαλέσαντο διὰ προσταγμάτων πᾶσαν τὴν οἰκουμένην κινήσαντες. Ὅθεν κατὰ πᾶσαν πόλιν καὶ ἐπαρχίαν ἐκτεθέντων τῶν ἀθεωτάτων προσταγμάτων ἦλθον καὶ ἐν τῇ Κοτυαίων μητροπόλει Φρυγίας Σαλουταρίας, ἧς ἡγεμόνευε κατ᾽ ἐκεῖνον τὸν καιρὸν Ἀργυρίσκος ὁ κράτιστος ἡγεμὼν ταξιαρχοῦντος Φιρμιλιανοῦ τοῦ ἀριθμοῦ τῶν λεγομένων Ῥουτιλιακῶν, ἐν οἷς ἀνεφέρετο καὶ ὁ μακάριος Μηνᾶς ὁ ἀληθινὸς στρατιώτης τοῦ Χριστοῦ καὶ οἷόν τις ἐν ἐσκοτισμένοις ἄστροις ἡμεροφαὴς ἀστὴρ ἐν μέσῳ αὐτῶν διαπρέπων, τῷ δὲ γένει τῆς Αἰγυπτίων χώρας ὁρμώμενος.*

*Καὶ δὴ προτεθέντος τοῦ προστάγματος δημοσίᾳ οἱ ἄρχοντες τὸ προστεταγμένον ἐξετέλουν. Ἦν δὲ ἡ γραφὴ ἡ ἐμφερομένη ἐν τοῖς διατάγμασιν αὕτη· «Βασιλεὺς Διοκλητιανὸς καὶ βασιλεὺς Μαξιμιανὸς τοῖς τὰ ἡμέτερα φρονοῦσι χαίρειν. Πολλῆς εὐσταθείας καὶ εὐεργεσίας παρὰ τῶν θεῶν τετυχηκότες ἀναγκαῖον ἡγησάμεθα καὶ ἡμεῖς πᾶσαν σπουδὴν καὶ θεραπείαν περὶ αὐτοὺς καὶ τοὺς τούτων οἴκους ποιήσασθαι. Διὸ γράφομεν πᾶσι πανταχοῦ ἄρχουσί τε καὶ τοῖς κατὰ πόλιν στρατηγοῖς ἅμα τῷ ἐκτεθῆναι τὰς ἡμῶν διατάξεις μηδὲν ἀμελὲς περὶ τοὺς ἡμετέρους εὐεργέτας γενέσθαι, ἀλλὰ μετὰ πάσης ἐπιμελείας καὶ σπουδῆς πάντας πανταχοῦ μετὰ γυναικῶν καὶ τέκνων τὴν προσήκουσαν θεραπείαν τοῖς θεοῖς ἐπιτελεῖν, τοῖς τε ἐν στρατείαις καὶ πολιτεύμασι καὶ ἁπλῶς πάσῃ τύχῃ. Εἰ δέ τις ἀντείποι πρὸς τὰ ἡμῖν δοκοῦντα, τοῦτον κελεύει τὸ ἡμέτερον κράτος ἀπαραιτήτως πάσῃ τιμωρίᾳ ἀπολέσθαι.»*

*Εὐθέως οὖν οἱ κήρυκες κατὰ πᾶσαν πόλιν ἐβόων, ὥστε πάντας ἄνδρας τε καὶ γυναῖκας ἐπὶ τοὺς τῶν θεῶν οἴκους ἀπαντᾶν. Πολλῆς οὖν ταραχῆς γενομένης καὶ συγχύσεως δεινοτάτης πάντων βίᾳ ἑλκομένων ἐπὶ τὸ ἐκτελεῖν τὰ μυσαρὰ μυστήρια,*

ὁ τρισμακάριος Μηνᾶς θεωρήσας τὴν πλάνην καὶ τὴν ἐνέργειαν τοῦ πονηροῦ εἰς ὕψος ἐπαιρομένην οὐχ ὑπομείνας τὴν τῶν πραγμάτων θέαν ἀνεχώρησε τῆς στρατείας αὐτοῦ καὶ ἐν τόποις ἐρήμοις καὶ ἀβάτοις διέτριβεν μὴ βουλόμενος τῆς βδελυρᾶς καὶ ἀσεβοῦς αὐτῶν θρησκείας συμμέτοχος γενέσθαι.

Χρόνου δὲ διελθόντος ἱκανοῦ κατανυγεὶς ὑπὸ τῆς χάριτος τοῦ Κυρίου κατῆλθεν ἐπὶ τὴν πόλιν. Γενεθλίου δὲ ἀγομένου τῶν βασιλέων καὶ πάντων συνηγμένων ἐν τῷ θεάτρῳ ζέων τῷ πνεύματι καὶ ἐῤῥωμένος τῇ πρὸς Θεὸν εὐσεβείᾳ ἐπεισῆλθεν ἐν τῷ θεάτρῳ τοῦ δικαστοῦ καθεζομένου καὶ τοὺς ἀγῶνας θεωροῦντος ψάλλων καὶ λέγων· «Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν.» Σιγῆς δὲ γενομένης καὶ πάντων ὡς ἐν ἐκστάσει γεγονότων ἐπὶ τῇ τοῦ ἀνδρὸς παῤῥησίᾳ μάλιστα θεωρούντων αὐτὸν ἀσκητικὸν σχῆμα ἔχοντα ἐπυνθάνετο ὁ ἡγεμών, τίς ἂν εἴη. Ὁ δὲ μακάριος Μηνᾶς ἀνέκραγε λέγων· «Ἐγὼ δοῦλός εἰμι τοῦ Χριστοῦ τοῦ βασιλεύοντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.» Ἀκούσας δὲ ταῦτα Πύῤῥος ὁ ἡγεμὼν ἔφη αὐτῷ· «Ξένος εἶ ἢ ἐνθάδιος, ὅτι οὕτως παραχρῆμα ἐτόλμησας εἰσελθεῖν καὶ ἐμποδίσαι τελεσθῆναι τὸ τῶν αὐτοκρατόρων γενέθλιον;» Ἀτενίσαντες δὲ αὐτῷ τινες τῆς τάξεως εἶπον τῷ ἡγεμόνι· «Τοῦτον ἡμεῖς γνωρίζομεν πρὸ ἐτῶν πέντε στρατευόμενον ἐν τῷ νουμέρῳ τῶν Ῥουτιλιακῶν τῶν ὄντων ὑπὸ Φιρμιλιανὸν τὸν τριβοῦνον.» Εἶπεν οὖν αὐτῷ ὁ ἡγεμών· «Λέγε μοι, στρατιώτης ἦς, καθὼς ἀναφέρει περὶ σοῦ ἡ τάξις;» Μηνᾶς λέγει· «Ναί, στρατιώτης ἤμην καὶ θεωρήσας προστάγματα ἀσεβείας ἐπιφοιτῶντα ἀνεχώρησα τῆς στρατείας.» Πύῤῥος ἡγεμὼν λέγει· «Ποίας οὖν προφάσεως γενομένης ἀνεχώρησας τῆς στρατείας, Ἕλλην ὢν ἢ Χριστιανός;» Ὁ δὲ μακάριος Μηνᾶς εἶπεν· «Χριστιανός. Καὶ πρὸς τὸ μὴ μετασχεῖν με τῆς παρανομίας τοῦτο ἔπραξα.» Τότε ὁ ἡγεμὼν

*ἐκέλευσεν αὐτὸν ἀναληφθῆναι ἐν τῷ δεσμωτηρίῳ διὰ τὸ ἀπασχολεῖσθαι αὐτὸν περὶ τὸ γενέθλιον τῇ ἡμέρᾳ ἐκείνῃ.*

*Καὶ τῇ ἑξῆς προκαθίσας πρὸ βήματος δημοσίᾳ ἐν τῷ γυμνασίῳ ἐκέλευσεν ἀχθῆναι τὸν μακάριον Μηνᾶν. Σύμμαχος βοηθὸς κομμενταρήσιος εἶπεν· «Μηνᾶν τὸν ἀπὸ στρατιωτῶν κελευσθέντα ἐμβληθῆναι ὑπὸ τῆς σῆς ἐξουσίας ἐν τῷ δεσμωτηρίῳ πρὸς ἀσφάλειαν, τοῦτον, κύριέ μου, δημοσίᾳ σοι προσφέρω.» Τότε ὁ Πύῤῥος ὁ ἡγεμὼν διὰ τοῦ βοηθοῦ εἶπε τῷ μάρτυρι· «Τῇ χθὲς ἡμέρᾳ, ἀνοσιώτατε, τίνος χάριν ἐτόλμησας εἰσελθεῖν ἐν τῷ θεάτρῳ καὶ ἐμπόδιον γενέσθαι τῶν ἀγωνιζομένων ἐν τῷ γενεθλίῳ πρὸς καταφρόνησιν τῶν αὐτοκρατόρων, μάλιστα ὅτι καὶ λέγεις ἑαυτὸν Χριστιανὸν εἶναι; λέγε μοι τοίνυν, τίνος ἕνεκεν κατέλιπες τὴν στρατείαν καὶ ποῦ διῆγες καὶ πόθεν εἶ;» Μηνᾶς λέγει· «Ἐγὼ μέν εἰμι τῆς τῶν Αἰγυπτίων χώρας, διὰ δὲ τὸ θέλειν με στρατεύεσθαι τῷ ἐπουρανίῳ βασιλεῖ ἀπέστην τῆς προσκαίρου στρατείας ταύτης.» Πύῤῥος ἡγεμὼν λέγει· «Ποῦ ἦς ἕως τοῦ νῦν;» Μηνᾶς λέγει· «Διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ εἱλόμην μᾶλλον ἐν ἐρήμοις μετὰ θηρίων ἀγρίων διατριβὴν ἔχειν ἢ μεθ᾽ ὑμῶν ἀπολέσθαι τῶν μὴ εἰδότων τὸν Θεόν. Γέγραπται γάρ· Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου.»*

*Πύῤῥος ἡγεμὼν λέγει· «Θῦσον τοῖς θεοῖς, ἵνα πάντα σοι συγχωρηθείη καὶ τὰ μάλιστα, ὅτι στρατιώτης ὢν ἔφυγες τὴν στρατείαν Χριστιανὸν σεαυτὸν ἀποκαλῶν. Νῦν οὖν οἰκτίρησον σεαυτὸν καὶ προσελθὼν θῦσον τοῖς θεοῖς, ἵνα καὶ τὴν στρατείαν σου ἀπολάβῃς καὶ σεαυτὸν ἐντιμότερον καὶ ἀβλαβῆ διατηρήσῃς.» Μηνᾶς εἶπεν· «Ἐγὼ εὔχομαι τῷ βασιλεῖ τῶν αἰώνων εὐαρεστῆσαι καὶ παρ᾽ αὐτοῦ τὸν στέφανον τῆς ἀθανασίας κομίσασθαι· μὴ τοίνυν νομίσῃς ἀνύσαι τι διὰ τῶν ἀπειλῶν σου· πάντων γὰρ ὧν ἐπαγγέλλῃ βασάνων καταφρονῶ διὰ τὴν*

*πρὸς Χριστόν μου ἀγάπην.» Πύῤῥος ἡγεμὼν εἶπεν· «Ἀποτείνατε αὐτὸν ἐκ τεσσάρων καὶ χρήσασθε αὐτῷ βουνεύροις ὠμοῖς λέγοντες αὐτῷ· Στρατιώτης ὢν πείθου τοῖς προστάγμασιν τῶν αὐτοκρατόρων.» Ὁ δὲ μακάριος Μηνᾶς εἶπεν· «Ἐμοὶ σπουδή ἐστιν τοῖς τοῦ Χριστοῦ προστάγμασιν πειθαρχεῖν τοῦ μεγάλου βασιλέως.»*

*Βασανιζομένου δὲ αὐτοῦ ἰσχυρῶς καὶ ἤδη τοῦ αἵματος αὐτοῦ πεπληρωκότος τὴν γῆν Πηγάσιος πρῖγκιψ ἑστὼς εἶπεν· «Θῦσον τοῖς θεοῖς, ἄνθρωπε, πρὶν ἢ τὰς σάρκας σου ταῖς μάστιξι καταξανθῆναι.» Ὁ δὲ μακάριος Μηνᾶς ἀναβοήσας εἶπεν αὐτῷ· «Σύμβουλε τοῦ σκότους καὶ πάσης ἀνομίας ὁδηγέ, τοῦ δικαστοῦ σου καθεζομένου καὶ προτρεπομένου μοι οὐκ ἀνέχομαι, καὶ σοὶ ἔχω πεισθῆναι; ἐγὼ τὸν Θεὸν ἔχω βοηθὸν τὸν δυνάμενον καὶ τὰς βασάνους σου ταύτας ἀφανεῖς ποιῆσαι καὶ ὑμᾶς καὶ τοὺς τυράννους ὑμῶν καταργῆσαι ὑπὸ μίαν ῥοπὴν τοὺς βουλομένους τοὺς τοῦ Θεοῦ δούλους ἀποστῆσαι τῆς ἀληθείας καὶ εἰς τὴν τῶν εἰδώλων πλάνην ἐκτραπῆναι καταναγκάζοντας.»*

*Πύῤῥος ἡγεμὼν εἶπεν· «Ἑτοιμαζέσθωσαν αὐτῷ ἄλλαι βάσανοι πρὸς τὴν σκληροκαρδίαν αὐτοῦ· τέως δὲ κρεμασθήτω ἐπὶ ξύλου.» Τούτου δὲ γενομένου Πύῤῥος ἡγεμὼν εἶπεν· «Ἐσωφρονίσθης, Μηνᾶ, ἢ οὐδέπω ᾔσθου τῶν βασάνων;» Μηνᾶς λέγει· «Οἴῃ διὰ τῆς μικρᾶς ταύτης βασάνου περιγενέσθαι τοῦ ἐν ἐμοὶ λογισμοῦ; γνῶθι οὖν ὅτι οἱ τίμιοι καὶ ἔνδοξοι στρατιῶται τοῦ μεγάλου βασιλέως παρίστανταί μοι γενναιότερον πρὸς πᾶσαν στρέβλωσιν καὶ τιμωρίαν τὴν ὑπὸ σοῦ εἰς ἐμὲ γενησομένην διατηροῦντες.» Πύῤῥος ἡγεμὼν λέγει· «Ἅψασθε αὐτοῦ τῶν σαρκῶν λέγοντες αὐτῷ· Βασιλέα ἔχων ἕτερον βασιλέα μὴ ὁμολόγει.» Μηνᾶς λέγει· «Ἀγνοῶν τὸν ἐπουράνιον βασιλέα βλασφημεῖς καὶ τολμᾷς τοὺς φθαρτοὺς καὶ ἐκ γῆς γογονότας ἐξομοιοῦν τῇ τοῦ Θεοῦ μεγαλωσύνῃ τοῦ δωρησαμένου καὶ τούτοις τὴν τιμὴν ταύτην*

*καὶ ἔχοντος ἐξουσίαν πάσης ἀρχῆς καὶ πνοῆς.» Πύῤῥος ἡγεμὼν λέγει· «Ποῖός ἐστιν οὗτος ὁ Θεός, ὃν λέγεις τοῖς βασιλεῦσι τὴν τιμὴν δεδωρηκέναι καὶ τοῦ κόσμου παντὸς κατεξουσιάζειν;» Μηνᾶς λέγει· «Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· αὐτὸς γάρ ἐστιν ὁ πάντα δημιουργήσας, ᾧ καὶ ὑποτέτακται τὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.» Πύρρος ἡγεμὼν λέγει· «Οὐκ οἶδας ὅτι οἱ βασιλεῖς ὀργιζόμενοι διὰ τὸ ὄνομα τοῦ Χριστοῦ ἐκέλευσαν ὑμᾶς κολάζεσθαι καὶ σὺ ἐπιμένεις ὁμολογῶν τὸ ὄνομα τοῦτο;» Μηνᾶς λέγει· «Εἰ ὀργίζονται οἱ βασιλεῖς, τί πρὸς ἐμέ; ἐγὼ εὔχομαι μέχρι τέλους ἔχων τὴν ὁμολογίαν ταύτην ἀπαλλαγῆναι τοῦ κόσμου τούτου τοῦ ματαίου. Γέγραπται γάρ· Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ; Θλῖψις ἢ στενοχωρία ἢ κίνδυνος ἢ διωγμὸς ἢ λιμὸς ἢ μάχαιρα; γίνωσκε οὖν ὅτι οὐδὲν τῶν ἐναντίων δύναται τῶν τοῦ Χριστοῦ δούλων περιγενέσθαι.» Ὁ δὲ ἡγεμὼν ἐκέλευσε τριχίνοις ὑφάσμασι τὰς ἐκδαρείσας ὑπὸ τῶν βασάνων καὶ πληγῶν σάρκας τοῦ ἁγίου ψήχειν καὶ τρίβειν ἐπὶ πλέον· τοῦ δὲ ἁγίου μάρτυρος Μηνᾶ μηδ᾽ ὅλως αἰσθανομένου τῶν βασάνων Πύῤῥος ἡγεμὼν εἶπεν· «Οὕτω διάκεισαι ὡς ἀλλοτρίου σώματος βασανιζομένου ἀναισθήτως φέρων τὰς βασάνους;» Μηνᾶς λέγει· «Ἀληθῶς οὐκ αἰσθάνομαι βοηθὸν ἔχων τὸν σωτῆρά μου Ἰησοῦν Χριστόν· τοῖς γὰρ φοβουμένοις αὐτὸν πάντοτε συνεργεῖ εἰς τὸ ἀγαθόν.»*

*Πύῤῥος ἡγεμὼν λέγει· «Προσενέγκατε αὐτῷ κανδήλας πυρός, ἵνα κἂν οὕτως τὴν σκληρότητα αὐτοῦ νικῆσαι δυνηθῶμεν.» Προσενεχθέντος δὲ αὐτῷ τοῦ πυρὸς καὶ ἐπὶ δύο ὥρας καιομένου τοῦ σώματος αὐτοῦ οὐδὲν ἀπεκρίνατο. Πύῤῥος ἡγεμὼν λέγει· «Οὐδὲ τοῦ πυρὸς αἰσθάνῃ, βιοθάνατε;» Μηνᾶς λέγει· «Ἰησοῦς Χριστός ἐστιν ὁ ἐνδυναμῶν με, δι᾽ ὃν καὶ ταῦτα πάσχω. Ὅθεν οὐδὲ αἰσθάνομαι τῶν βασάνων. Γέγραπται γὰρ ἡμῖν, ὅτι κἂν διὰ πυρὸς διέλθῃς, φλὸξ οὐ κατακαύσει σε. Καὶ*

www.tezaurliturgic.ro

*πάλιν· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ.» Πύῤῥος ἡγεμὼν λέγει· «Στρατιώτης ὢν πῶς τοσαύτας γραφὰς ἐπίστασαι;» Ὁ δὲ μακάριος Μηνᾶς εἶπεν· «Παρήγγειλεν ἡμῖν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς λέγων· «Ἡνίκα ἂν σταθήσεσθε ἐπὶ ἡγεμόνων καὶ βασιλέων, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσητε καὶ τί ἀποκριθήσεσθε.» Πύῤῥος ἡγεμὼν εἶπεν· «Προῄδει οὖν ὁ Χριστὸς ὑμῶν ὅτι μέλλετε ταῦτα πάσχειν;» Μηνᾶς λέγει· «Ναί, ὡς Θεὸς προῄδει τὰ μέλλοντα γίνεσθαι· αὐτὸς γάρ ἐστιν ὁ εἰδὼς πάσας τὰς ἐνθυμήσεις ἡμῶν, καθὼς γέγραπται, ὅτι οὐδεὶς προγνώστης εἰ μὴ εἷς, ὁ Θεός. Καὶ διὰ τοῦτο ταύτας ἡμῖν δέδωκε τὰς ἐπαγγελίας.»*

*Πύῤῥος ἡγεμὼν λέγει· «Θῦσον λοιπὸν καὶ ἄπελθε εἰς τὴν στρατείαν σου ἵνα μὴ κατακαυθῇς.» Ὁ δὲ μακάριος Μηνᾶς εἶπεν· «Οὐ προεῖπόν σοι ὅτι ἐγὼ τῷ ἐπουρανίῳ Θεῷ στρατεύομαι; ποίει οὖν ὃ θέλεις· τοῦ μὲν γὰρ σώματός μου ἐξουσίαν ἔχεις, τῆς δὲ ψυχῆς μου καὶ τοῦ ἐν ἐμοὶ λογισμοῦ Ἰησοῦς ὁ Χριστὸς ὁ Κύριος καὶ Δεσπότης παντὸς τοῦ κόσμου κατεξουσιάζει.» Πύῤῥος ἡγεμὼν λέγει· «Βούλει, Μηνᾶ, ἐνδώσω σοι δύο ἢ τρεῖς ἡμέρας, ὅπως σκεψάμενος ἀπαλλαγῇς τῆς μανίας ταύτης;» Μηνᾶς λέγει· «Ἐσκεψάμην πολλάκις καὶ τοῦτο εἱλόμην τὸ μὴ ἀρνήσασθαι τὸν Θεόν μου. Γίνωσκε οὖν ὅτι ἐμοὶ καὶ αἱ τρεῖς ἡμέραι παρεληλύθασι καὶ χριστιανός εἰμι· ἄλλο παρ᾽ ἐμοῦ οὐδὲν ἔχεις ἀκοῦσαι· οὐ θύω δαιμοσί ποτε.»*

*Τότε ὁ ἡγεμὼν θυμωθεὶς σφόδρα ἐκέλευσε τριβόλους ὀξεῖς σιδηροῦς γενέσθαι καὶ σκορπισθῆναι αὐτοὺς ἐπὶ τοῦ ἐδάφους καὶ οὕτω δεθέντα αὐτὸν ἐκ τοῦ τραχήλου καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν ἕλκεσθαι ἐπάνω αὐτῶν. Καὶ τούτου γενομένου ἐπὶ*

*ἱκανὰς ὥρας ὁ μακάριος Μηνᾶς ἔλεγεν· «Κἂν χείρονα τούτων ἐπινοήσῃς, ἀσεβέστατε, οὐκ ἀρνοῦμαι τὸν Θεόν μου οὐδὲ θύω δαίμοσιν οὐδὲ ποιῶ τὸ θέλημα τοῦ πατρός σου τοῦ λεγομένου Σατανᾶ.» Πύῤῥος ἡγεμὼν λέγει· «Τύπτετε αὐτὸν πλουμβάτοις κατὰ τοῦ σπονδύλου, ἵνα μὴ τοὺς θεοὺς δαίμονας ἀποκαλῇ.» Ὡς δὲ ἐτύπτετο ἐπὶ πολύ, Πύῤῥος ἡγεμὼν λέγει· «Τύπτετε αὐτὸν καὶ εἰς τὰς σιαγόνας· ὁρῶ γὰρ αὐτὸν ταῖς βασάνοις ἐμμένοντα.» Τυπτομένου δὲ αὐτοῦ καὶ μηδὲν ἀποκρινομένου Ἡλιόδωρος κουρίωσος εἶπεν· «Κύριε ἡγεμών, οὐκ οἶδας ὅτι ἀπονενοημένον ἐστὶ τὸ τῶν Χριστιανῶν γένος καὶ βασανιζόμενοι πλέον ὑπομένουσι; ἡδὺς γὰρ αὐτοῖς ἐστιν ὁ θάνατος ὑπὲρ τὴν ζωήν. Ἀπόφηναι οὖν κατ᾽ αὐτοῦ πρὸς τὴν μωρίαν αὐτοῦ καὶ μὴ κόπους σεαυτῷ πάρεχε, ἀλλ᾽ ὡς ἀκαθοσίωτον στρατιώτην καὶ φυγόντα τὴν στρατείαν αὐτοῦ κόλασον ὡς ἂν βούλῃ.» Πύῤῥος ἡγεμὼν λέγει· «Θῦσον, Μηνᾶ, κἀγώ σε ἀποστέλλω εἰς τὸν νούμερόν σου γράψας καὶ τῷ ἐκεῖ τριβούνῳ, ἵνα τιμῆς μᾶλλον καὶ μὴ βλάβης τύχῃς.» Ὁ ἅγιος Μηνᾶς εἶπεν· «Εἴη ἡ τιμή σου ἐκείνη εἰς ἀπώλειάν σοί τε καὶ τῷ ὑποβάλλοντί σοι κατὰ τοῦ δούλου τοῦ Θεοῦ· ἐγὼ δὲ σπουδάζω τὴν ἐν οὐρανοῖς τιμὴν ἀπολαβεῖν καὶ τῆς ἐκεῖσε στρατείας ἄξιος εὑρηθῆναι, καθὼς γέγραπται, ὅτι ἡμῶν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. Ἡ γὰρ ἐνταῦθα τιμὴ πρόσκαιρος οὖσα εἰς οὐδὲν λογίζεται παρὰ τῷ Θεῷ· ἡ δὲ πίστις καὶ ὁμολογία τοῦ Χριστοῦ φωτὸς ἀϊδίου καὶ ζωῆς αἰωνίου κληρονόμους ἡμᾶς ἀποκαθιστᾷ.» Θεωρήσας οὖν ὁ ἡγεμὼν τὸ στεῤῥὸν καὶ ἀκλινὲς τῆς ἀκινήτου πίστεως τοῦ ἁγίου μάρτυρος Μηνᾶ ἐκέλευσεν αὐτὸν μεταστῆναι καὶ ποιήσας συμβούλιον ἀπόφασιν ἐξήνεγκε περιέχουσαν τὸν τύπον τοῦτον· «Μηνᾶν τὸν ἀκαθοσίωτον στρατιώτην καὶ τῶν χριστιανῶν ὑπέρμαχον μὴ βουληθέντα ὑπακοῦσαι τοῖς προστάγμασι τῶν αὐτοκρατόρων καὶ θῦσαι τοῖς θεοῖς κελεύω τῇ τοῦ ξίφους ὑπαχθῆναι τιμωρίᾳ καὶ τὸ λείψανον τοῦ σώματος αὐτοῦ πυρὶ*

*παραδοθῆναι πρὸς ἐπίδειξιν πάντων ἀποπληρῶν τὸ πρόσταγμα τῶν αὐτοκρατόρων.»*

*Ταύτην τοίνυν λαβὼν τὴν ἀπόφασιν ὁ τρισμακάριος τοῦ Χριστοῦ μάρτυς Μηνᾶς εὐθέως ἀπήγετο εἰς τὸν τόπον τῆς Ποταμίας πάσης τῆς πόλεως συνδραμούσης ἐπὶ τὴν θεωρίαν τῆς ἀθλήσεως αὐτοῦ· αὐτὸς δὲ φαιδρᾷ τῇ ὄψει καὶ θαρσαλέῳ τῷ φρονήματι γαυριῶν ἐπὶ τὸν τόπον ἐβάδιζεν τοῦ Θεοῦ εὐδοκοῦντος καὶ ὡς ἀληθῶς πᾶν θνητὸν καὶ ἀνθρώπινον εἰς οὐδὲν ἔχων ἀτρέπτῳ ψυχῇ καὶ ἀταράχῳ λογισμῷ προσωμίλει τοῖς γνωρίμοις μηδενὸς αὐτῷ παρόντος λυπηροῦ. Πάντας δὲ δι᾽ εὐχῆς παραθέμενος τῷ Θεῷ ἔσπευδεν ἐπὶ τὴν προκειμένην πορείαν.*

*Καὶ ταῦτα ἔπραττεν οὐδὲν ἕτερον ἐννοῶν ἢ ἄνω ἔχων τὸ πρόσωπον εἰς τὸν οὐρανὸν καὶ τὸν Χριστὸν ἐπικαλούμενος χάριν τε μεγάλην ὁμολογῶν τῷ καταξιώσαντι αὐτὸν τηλικούτων ἀγαθῶν. Ἐκτείνας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανὸν εἶπεν· «Εὐχαριστῶ σοι, Δέσποτα καὶ Κύριε τῶν ἁπάντων, ὅτι οὐκ ἐγκατέλιπές με οὐδὲ ἀπέστης ἀπ᾽ ἐμοῦ πρὸς τὸ μὴ ἀπολέσθαι με μετὰ τῶν ἀνόμων καὶ ἀσεβῶν ἀνθρώπων, ἀλλ᾽ ἔδωκάς μοι ἀνεξάρνητον τὸ ἅγιον ὄνομά σου διαφυλάξαι. Καὶ τὰ νῦν δέομαί σου ἐν τῇ ὥρᾳ ταύτῃ, δός μοι τελείως τὴν ὑπομονὴν καὶ διατήρησόν μου τὴν ψυχήν, ἵνα νίκην ἀράμενος κατὰ τοῦ τυράννου προσκυνήσω μετὰ παῤῥησίας τῷ ἁγίῳ βήματι τοῦ Χριστοῦ σου.» Καὶ ταῦτα εἰπὼν θεὶς τὰ γόνατα αὐτοῦ καὶ προτείνας τὸν αὐχένα εὐθέως ἀπεκεφαλίσθη. Καὶ εἶθ᾽ οὕτως ἐξάψαντες πυρὰν μεγάλην ἔκαυσαν τὸ σῶμα τοῦ μακαρίου Μηνᾶ. Καὶ οὕτως ἐμαρτύρησε χαίρων, ἡ δὲ τιμία καὶ ἁγία αὐτοῦ ψυχὴ ἀνελήφθη εἰς οὐρανούς.*

*Ἦν δὲ ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς Μηνᾶς τῷ μὲν γένει Αἰγύπτιος, τῷ δὲ τρόπῳ πλήρης πίστεως καὶ πνεύματος ἁγίου ἀνάπλεως, πρᾶός τε ἀνὴρ καὶ ἐπιεικὴς καὶ πνέων εὐωδίας τοῦ ἁγίου Πνεύματος.*

*Τῆς δὲ τοῦ μακαρίου τελειώσεως γενομένης Θεοῦ βουλήσει φιλόχριστοί τινες τὰ ἐγκαταλειφθέντα λείψανα τοῦ σώματος αὐτοῦ ἐκ τῆς πυρᾶς ἀνελόμενοι ἀπέθεντο ἐν ἱεροῖς εὐκτηρίοις πρὸς ἄληστον μνήμην ἐπὶ τὸ τὸν τοῦ Θεοῦ λαὸν προσευχόμενον ἁγιάζεσθαι εἰς ἔπαινον καὶ δόξαν τοῦ ἁγίου μάρτυρος Μηνᾶ. Ἐμαρτύρησε δὲ ὁ ἅγιος καὶ πανένδοξος μάρτυς τοῦ Χριστοῦ Μηνᾶς ἐν τῇ Κοτυαίων μητροπόλει, μηνὶ νοεμβρίῳ ιαʹ, βασιλεύοντος Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, κατὰ δὲ ἡμᾶς βασιλεύοντος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.»*

Ὁ παρατεθεὶς βίος τοῦ Ἁγίου Μηνᾶ παρουσιάζει θεατρικὴν δομήν. Εἶναι συντεταγμένος κατὰ διάλογον, ὥστε δύναται νὰ παρασταθῇ, ἔστω καὶ ὑποτυπωδῶς.

Τὸ θρησκευτικὸν θέατρον ἀνεπτύχθη ἐν τῇ Δύσει. Τὰ Πάθη τοῦ Χριστοῦ καὶ βίοι Ἁγίων ὑπῆρξαν θέματα αὐτοῦ. Μετὰ τὰς σταυροφορίας καὶ τὰς προκυψάσας νέας καταστάσεις θρησκευτικὸν θέατρον ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἐπαρουσιάζετο καὶ ἐν ἑλληνικαῖς χώραις. Θρησκευτικὰ ᾄσματα παρὰ τῷ ἑλληνικῷ λαῷ, οἷον *Ἡ ἔγερσις τοῦ Λαζάρου*, *Ὁ θρῆνος τῆς Παναγίας*, *Ἡ Ἀνάστασις τοῦ Χριστοῦ*, ἔχοντα θεατρικὴν δομήν, συνετάγησαν κατὰ Δυτικὰ θεατρικὰ πρότυπα. Ὡς αἱ ἀρχαῖαι τραγῳδίαι κατέληξαν εἰς ἀφηγηματικὰς παρακαταλογάς, οὕτω καὶ τὰ θρησκευτικὰ δράματα κατέληξαν εἰς ἀφηγηματικὰ ᾄσματα.

Ἡ ἀποχώρησις τοῦ Ἁγίου εἰς ἐρήμους καὶ ἀβάτους τόπους τὴν ἀποχώρησιν τοῦ Χριστοῦ εἰς τὴν ἔρημον πρὸς κατανίκησιν τοῦ ἀντιθέου σημαίνει.

Ἡ κρέμασις τοῦ Ἁγίου ἐπὶ ξύλου τὴν Σταύρωσιν τοῦ Χριστοῦ σημαίνει.

Ἡ τριπλῆ προτροπὴ τοῦ Ἁγίου, ὅπως θύσῃ τοῖς θεοῖς, καὶ

www.tezaurliturgic.ro

ἡ τριπλῆ ἄρνησις αὐτοῦ, ὡς καὶ ἡ πρότασις ἀνέσεως τριῶν ἡμερῶν τῶν βασανιστηρίων, ἵνα σκεφθῇ καὶ ματαβάλῃ γνώμην ὁ Ἅγιος, τὸ ἱερὸν τρία σημαίνει.

Τὸ ἁγίασμα ἐκ τοῦ φρέατος τοῦ Ἁγίου τὸ φρέαρ τοῦ Ἰακὼβ καὶ τὴν κολυμβήθραν τοῦ Σιλωὰμ σημαίνει.

Ἡ νικητήριος ἐμφάνισις τοῦ Ἁγίου τὴν νίκην τοῦ Ἀρχαγγέλου Μιχαὴλ κατὰ τοῦ Ἑωσφόρου καὶ τῶν ἀγγέλων αὐτοῦ σημαίνει.

www.tezaurliturgic.ro

# ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΜΕΡΚΟΥΡΙΟΣ

Τὸ παρατιθέμενον μαρτύριον τοῦ Ἁγίου Μεγαλομάρτυρος Μερκουρίου ἔχει ὁμοιότητας πρὸς τὸ ἀνωτέρω παρατεθὲν μαρτύριον τοῦ Ἁγίου Μηνᾶ.

Ὁ Ἅγιος Μερκούριος ἐμαρτύρησεν ἐν Καισαρείᾳ τῆς Καππαδοκίας ἐπὶ αὐτοκράτορος Δεκίου. Ἡ μνήμη αὐτοῦ τιμᾶται τῇ εἰκοστῇ πέμπτῃ Νοεμβρίου. Ἡ Νικομήδεια τῆς Φρυγίας καὶ ἡ Καισάρεια τῆς Καππαδοκίας ἦσαν πόλεις, ἔνθα ἐμαρτύρουν Ἅγιοι.

Ἐξῆλθε κατὰ τὸν καιρὸν ἐκεῖνον διάταγμα παρὰ τῶν βασιλέων Δεκίου καὶ Οὐαλεριανοῦ, ὅπως πάντες πανταχοῦ θύωσι τοῖς θεοῖς διὰ τὰς εὐεργεσίας αὐτῶν καὶ τὴν νίκην κατὰ τῶν ἐχθρῶν. Οἱ ἀπειθοῦντες τῷ διατάγματι θὰ ἐνεκλείοντο ἐν φυλακαῖς καὶ θὰ ἐβασανίζοντο· καί, ἂν ἐπείθοντο, θὰ ἐτιμῶντο, ἂν ἀντέλεγον, θὰ ἐτιμωροῦντο. Ἐξαιρέτως οἱ χριστιανοὶ θὰ ἐτιμωροῦντο διὰ ξίφους, ἢ θὰ ἐῤῥίπτοντο εἰς βυθόν, ἢ θὰ παρεδίδοντο βορὰ τοῖς ὀρνέοις καὶ τοῖς κυσί. Οἱ πειθαρχοῦντες τοῖς θείοις δόγμασι θὰ ἀπέλαυον μεγίστων τιμῶν καὶ δωρεῶν.

Συνέβη τότε βάρβαρα ἔθνη νὰ ἄρξωνται πολέμου κατὰ τῶν Ῥωμαίων. Οἱ βασιλεῖς, ἑτοιμάζοντες τὸ στράτευμα, ἐκήρυξαν ἐπιστράτευσιν. Κατέφθανον κοόρτεις ἀφ᾽ ἑκάστης πόλεως,

www.tezaurliturgic.ro

ἦλθε καὶ ἡ κοόρτις τῶν λεγομένων Μαρτησίων, οὖσα ὑπὸ τὴν πρώτην Ἀρμενίαν, ὑπὸ τριβοῦνον, ὀνόματι Σατορνῖνον. Ὡδήγει τὰ ῥωμαϊκὰ στρατεύματα ὁ βασιλεὺς Δέκιος.

Τῆς μάχης μεταξὺ Ῥωμαίων καὶ βαρβάρων οὔσης ἀμφιῤῥόπου, ἐφάνη στρατιώτῃ, ὀνόματι Μερκουρίῳ, ἐκ τῆς κοόρτεως τῶν Μαρτησίων, ἀνήρ τις ὑπερμεγέθης, λευχείμων, ἐν τῇ δεξιᾷ χειρὶ ῥομφαίαν κατέχων καὶ λέγων αὐτῷ:

*«Μὴ φοβηθῇς μηδὲ δειλιάσῃς· ἀπεστάλην γὰρ τοῦ βοηθῆσαί σοι καὶ νικηφόρον ἀναδεῖξαι. Δέξαι οὖν τὴν ῥομφαίαν ταύτην καὶ εἴσελθε κατὰ τῶν βαρβάρων καὶ νικήσας μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου.»*

Ὁ στρατιώτης Μερκούριος ἐνόμισεν ὅτι ὁ ἐμφανισθεὶς εἶναι εἷς τῶν ἀρχόντων τοῦ βασιλέως. Δεξάμενος τὴν ῥομφαίαν καὶ ἀναζωπυρήσας τῷ πνεύματι, ὥρμησε κατὰ τῶν βαρβάρων καὶ ἀπέκτεινε τὸν ῥῆγαν αὐτῶν καὶ πλῆθος ἄλλων. Οἱ βάρβαροι ἔφυγον, τροπωθέντες ὑπὸ τῶν Ῥωμαίων.

Ὁ Δέκιος, μαθὼν ὅτι ἡ νίκη ὀφείλεται εἰς τὴν μονομαχίαν τοῦ στρατιώτου Μερκουρίου, ἀνεκήρυξεν αὐτὸν στρατηλάτην καὶ κατέστησεν ἀρχηγὸν τοῦ στρατοπέδου. Νομίσας ὅτι ἦρε νίκην διὰ τῆς προνοίας τῶν θεῶν, ἔχαιρε καὶ εὐωχεῖτο καθ' ἑκάστην πόλιν κατὰ τὴν πορείαν αὐτοῦ πρὸς τὴν Ῥώμην.

Κατά τινα νύκτα ἐμφανίζεται τῷ Ἁγίῳ Μερκουρίῳ ὁ ἄγγελος, ὃν εἶδε τὸ πρῶτον ἐν τῇ μάχῃ, καὶ ὑπομιμνήσκει αὐτῷ ὅτι μετὰ τὸν ἆθλον κατὰ τῶν βαρβάρων πρέπει νὰ ἀθλήσῃ ὑπὲρ τοῦ ἐνδόξου Βασιλέως, λαμβάνων τὸν στέφανον τῆς νίκης ἐν τῇ βασιλείᾳ Αὐτοῦ μετὰ πάντων τῶν Ἁγίων. Ὁ Ἅγιος ἐγνώριζε τὴν πίστιν ἐκ προγόνων. Ὁ πατὴρ αὐτοῦ Γορδιανὸς ἐδίδασκεν αὐτὸν ὅτι μακάριος εἶναι ὅστις στρατεύεται τῷ ἐπουρανίῳ Βασιλεῖ.

Ὁ βασιλεὺς ἐκάλεσε τὸν Ἅγιον Μερκούριον μετ᾽ ἄλλων ἀξιωματούχων, ἵνα προσφέρωσι θυσίαν εἰς τὸν ναὸν τῆς Ἀρτέμιδος. Ὁ Ἅγιος ἀπεχώρησεν, ἐπιστρέψας εἰς τὸ στρατηγεῖον αὐτοῦ. Τῶν μεγιστάνων τις κατήγγειλε τοῦτον, λέγων ὅτι ὁ μεγαλυνθεὶς ὑπὸ τοῦ Βασιλέως διαφόροις ἀξιώμασι δὲν προσῆλθεν εἰς τὴν θυσίαν, ἀλλὰ καὶ ἀναστατοῖ καὶ ἄλλους, ἵνα μὴ σέβωνται τοὺς θεούς.

Ἵνα γνῷ τἀληθῆ αὐτοπροσώπως ὁ βασιλεύς, διέταξεν, ὅπως προσαχθῇ ὁ Ἅγιος Μερκούριος. Ὑπέμνησεν εἰς αὐτὸν ὅτι ἐτίμησεν αὐτὸν ἐνώπιον πάντων τῶν ἀρχόντων διὰ τὴν βουλήσει τῶν θεῶν ὑπ᾽ αὐτοῦ γενομένην νίκην. Παρὰ ταῦτα, ὡς αὐτὸς ἀκήκοε παρά τινων, οὗτος ἐξουθενεῖ τὰς τιμὰς αὐτοῦ, μὴ προσκυνῶν τοῖς θεοῖς. Ὁ Ἅγιος Μερκούριος, ἀποδυσάμενος τὸν παλαιὸν ἄνθρωπον καὶ ἐνδυθεὶς τὸν νέον, ἀπήντησε θαρσαλέως πρὸς αὐτόν:

*«Λάβε τὴν τιμήν σου ταύτην ἀπ᾽ ἐμοῦ· ἐγὼ γάρ, ὡς οἶμαι, κατ᾽ ὀφειλὴν εἰς τοῦτο ἦλθον ἐν τῷ πολέμῳ νικήσας τοὺς βαρβάρους διὰ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ· πλὴν δέξαι τὰ παρὰ σοῦ, ὡς ἔφης, ἐμοὶ δωρηθέντα· γυμνὸς γὰρ ἐξῆλθον ἐκ κοιλίας μητρός μου· γυμνὸς καὶ ἀπελεύσομαι ἐν ἐκείνῳ τῷ κόσμῳ.»*

Ἀποδυσάμενος τὴν χλαμύδα καὶ λύσας τὴν ζώνην, ἔῤῥιψεν εἰς τοὺς πόδας τοῦ βασιλέως, λέγων:

*«Χριστιανός εἰμι καὶ πάντες ἀκούσατε ὅτι χριστιανός εἰμι.»*

Ὁ βασιλεὺς διέταξεν, ὅπως ὁ Ἅγιος ἐγκλεισθῇ ἐν φυλακῇ. Κατὰ τὴν νύκτα ἐπαρουσιάσθη ἄγγελος, ἐνδυναμῶν αὐτόν.

Τῇ ἑπομένῃ, προκαθίσας ὁ βασιλεὺς ἐπὶ τοῦ βήματος, διέταξεν, ὅπως προσαχθῇ ὁ Ἅγιος. Μεταξὺ τούτων ἤρξατο θεατρικὸς διάλογος:

ΔΕΚΙΟΣ: «*Οὕτως σοι πρέπει τοιαύτη τιμὴ διὰ τὴν κακίστην σου γνώμην;*»

ΜΕΡΚΟΥΡΙΟΣ: «*Ἐμοὶ πρέπει ἡ τιμὴ αὕτη· τὰ γὰρ παρερχόμενα ἔλαβες, τὰ δὲ εἰς αἰῶνα διαμένοντα ἀντὶ τούτων κομιοῦμαι.*»

ΔΕ.: «*Λέγε μοι σὺ τὸ γένος σου καὶ τὴν πατρίδα.*»

ΜΕ.: «*Εἰ θέλεις μαθεῖν τὸ γένος μου καὶ τὴν πατρίδα, ἐγώ σοι ἐρῶ. Ὁ πατήρ μου Γορδιανὸς ἐκαλεῖτο, Σκύθης τῷ γένει· ἐστρατεύετο δὲ ἐν τῷ ἀριθμῷ τῶν Μαρτησίων. Ἡ δὲ πατρίς μου, εἰς ἣν σπεύδω, ἐστὶν ἡ ἐπουράνιος Ἱερουσαλήμ· πόλις δέ ἐστιν τοῦ ἐπουρανίου βασιλέως.*»

ΔΕ.: «*Τὸ ὄνομα τοῦτο ἐκ γονέων κέκλησαι ἢ ἐν τῇ στρατείᾳ ἐκλήθης Μερκούριος;*»

ΜΕ.: «*Ἐν τῇ στρατείᾳ ὑπὸ τοῦ τριβούνου ἐκλήθην Μερκούριος· ὁ γὰρ πατήρ μου Φιλοπάτορά με ἐκάλεσεν.*»

ΔΕ.: «*Τί οὐ ποιεῖς κατὰ τὰ προσταχθέντα πᾶσιν ἀνθρώποις καὶ προσκυνεῖς τοῖς θεοῖς, ἀπολαμβάνων τὴν προτέραν σου τιμήν; ἢ μᾶλλον αἱρεῖσαι ἐν βασάνοις ἀποθανεῖν; Λέγε τάχιστα, εἰδὼς ὅτι διὰ τοῦτο ἐκλήθης.*»

ΜΕ.: «*Ἐγώ, ὡς ἔφης, εἰς τοῦτο ἐλήλυθα, ἵνα νικήσω σε καὶ τὸν διάβολον τὸν εὑρετὴν πάσης κακίας καὶ στέφανον νίκης κομίσωμαι παρὰ τοῦ ἀγωνοθέτου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου. Μὴ οὖν βράδυνε, μηδὲ ἀναβάλλου, ἀλλὰ πλήρου εἰς ἐμὲ κατὰ τὰ παριστάμενά σοι· ἔχω γὰρ θώρακας πίστεως καὶ τὸν θυρεόν, δι᾽ ὧν νικήσω πᾶσαν ἐπίνοιαν κινουμένην κατ᾽ ἐμοῦ.*»

Ὁ βασιλεὺς διέταξεν, ὅπως ὁ Ἅγιος μετεωρισθῇ εἰς τέσσαρας πασσάλους. Ἤρξαντο τὰ μαρτύρια, ἐπιδεινούμενα. Ἵνα μὴ τάχιον ἀποθάνῃ, ὁ Ἅγιος ἐλύθη τῶν δεσμῶν καὶ κατεκλείσθη ἔν τινι οἴκῳ. Κατὰ τὴν νύκτα ἄγγελος, ἐμφανισθείς, ἀποκατέστησε τὸ

σῶμα αὐτοῦ ὑγιὲς ἐκ τῶν πληγῶν. Ὁ Ἅγιος προσηνέχθη πάλιν ἐπὶ δικαστηρίῳ. Ὁ βασιλεύς, καταπλαγεὶς ἐκ τῆς θεραπείας τῶν πληγῶν αὐτοῦ, ἀποδίδει ταύτην εἰς τὴν μαγείαν τῶν χριστιανῶν. Ὁ Ἅγιος λέγει ὅτι ἐθεράπευσεν αὐτὸν ὁ Ἰησοῦς Χριστός.

Ἐπηκολούθησαν νέα μαρτύρια. Καιομένου τοῦ σώματος τοῦ Ἁγίου, ἀντὶ κνίσης ἔπνει εὐωδία ἀρωμάτων. Γνοὺς ὁ βασιλεὺς ὅτι ὁ Ἅγιος εἶναι ἀμετάθετος, ἀπεφήνατο αὐτῷ θάνατον διὰ ξίφους ἐν Καισαρείᾳ. Ὁ Ἅγιος μετεφέρθη, ὡς φορτίον, ἐπὶ ζῴου, εἰς Καισάρειαν. Ἐκεῖ, ἐπιῤῥωσθεὶς ὑπὸ ὀπτασίας τοῦ Χριστοῦ, ἐκάλεσε τοὺς ἐντεταλμένους, ὅπως ποιήσωσι τὸ κελευσθὲν αὐτοῖς. Ηὐχήθη ὑπὲρ τῶν δημίων καὶ ἀπετμήθη τὴν κεφαλήν.

Μετὰ τὴν τελείωσιν τοῦ Μάρτυρος τὸ σῶμα αὐτοῦ ἐγένετο λευκόν, ὡσεὶ χιών, ἐκπέμπον μύρων καὶ θυμιαμάτων εὐωδίαν. Τὸ σῶμα αὐτοῦ κατετέθη ἐν τῷ τόπῳ τῆς τελειώσεως αὐτοῦ, ἔνθα ἐπιτελοῦνται ἰάσεις.

Ἐν τῷ μαρτυρίῳ ἀναφέρεται ὅτι ὁ Ἅγιος Μερκούριος κατὰ τὴν μάχην ἀπέκτεινε τὸν ῥῆγα τῶν βαρβάρων. Ὁ ὅρος ῥὴξ ἀπηχεῖ τὴν ἐθιμοτυπίαν τοῦ Βυζαντίου νὰ θεωρῇ μόνον βασιλέα ἐπὶ γῆς τὸν βασιλέα τῆς Κωνσταντινουπόλεως, πάντας δὲ τοὺς ἄλλους ἀκολουθοῦντας αὐτῷ καὶ καλουμένους ῥῆγας.

Ὁ Ἅγιος ἀπέκτεινε ἀνώνυμον ῥῆγα ἀνωνύμων βαρβάρων, οὓς ὁ Συμεὼν Μεταφράστης ἀποκαλεῖ Σκύθας. Μεταγενεστέρως ὁ Ἰωάννης Μαλάλας, ὁ Ἰωάννης Δαμασκηνὸς καὶ ὁ Νικηφόρος Γρηγορᾶς ἐταύτισαν τὸν ἀνώνυμον ῥῆγα τῶν βαρβάρων πρὸς τὸν πολέμιον τοῦ χριστιανισμοῦ Ἰουλιανὸν τὸν Παραβάτην, πεσόντα ἐκ τοῦ ἵππου αὐτοῦ καὶ λογχισθέντα ἢ τοξευθέντα ὑπὸ τοῦ Ἁγίου Μερκουρίου μεταθανατίως. Ὁ Ἅγιος παρίσταται τείνων τὸ τόξον αὐτοῦ.

Ἡ τιμὴ τοῦ Ἁγίου Μερκουρίου διεδόθη ἰδιαιτέρως ἐν Αἰγύπτῳ, ἔνθα ἀναφέρονται πέρα τῶν τριάκοντα ναῶν καὶ μία

μονὴ αὐτοῦ. Ὁ Ἅγιος Μερκούριος, ὁ Ἅγιος Γεώργιος καὶ ὁ Ἅγιος Δημήτριος ἐπαρουσιάσθησαν ἔφιπποι κατὰ τὴν πολιορκίαν τῆς Ἀντιοχείας ὑπὸ τῶν Σταυροφόρων τῷ 1098.

Τὸ μαρτύριον τοῦ Ἁγίου Μεγαλομάρτυρος Μερκουρίου τρέχει οὕτω:

*«Βασιλεύοντος κατ᾽ ἐκεῖνον τὸν καιρὸν Δεκίου καὶ Οὐαλεριανοῦ ἐν τῇ μεγάλῃ πόλει Ῥώμῃ, κοινῇ ψήφῳ ἐδογμάτισαν πάντας πανταχοῦ θύειν καὶ σπένδειν τοῖς θεοῖς· προσκαλεσάμενοι οὖν πᾶσαν τὴν σύγκλητον ἀνέθεντο αὐτοῖς τὰ συμφώνως παρ᾽ αὐτοῖς θεσπισθέντα· καὶ εὑρόντες αὐτοὺς συμψήφους ὄντας τῆς βουλῆς αὐτῶν, ἐχάρησαν λίαν. Εὐθέως οὖν βασιλικοῖς γράμμασιν μεθ᾽ ὑπογραφῆς τῆς συγκλήτου τὰ κοινῇ δόξαντα ἀνατεθῆναι ἐκέλευσαν καὶ προετέθη ἐν τῷ καπετωλίῳ ἔχοντα τὸν τύπον τοῦτον·*

*«Βασιλεῖς αὐτοκράτορες, τροπαιοῦχοι, νικηταί, σεβαστοί, εὐσεβεῖς, Δέκιος καὶ Οὐαλεριανὸς ἅμα τῇ συγκλήτῳ ὁμοσυμφώνῳ βουλῇ τάδε· τὰς εὐεργεσίας τῶν θεῶν καὶ τὰς δωρεὰς καταμαθόντες, ἅμα δὲ καὶ ἀπολαύοντες τῆς τε νίκης τῆς κατὰ τῶν ἐχθρῶν δι᾽ αὐτῶν ἡμῖν παρασχεθείσης, οὐ μὴν δὲ ἀλλὰ καὶ τῆς τῶν ἀέρων εὐκρασίας καὶ τῆς τῶν παντοδαπῶν καρπῶν δαψιλείας, καταμαθόντες οὖν εὐεργέτας αὐτοὺς ὄντας τῆς κοινῆς λυσιτελείας, τούτου χάριν θεσπίζομεν μιᾷ ψήφῳ, ὥστε πᾶσαν τύχην ἐλευθέρων τε καὶ δούλων, στρατευομένων τε καὶ ἰδιωτῶν, τὰς εὐμενεῖς θυσίας τοῖς θεοῖς ἀποδιδόναι, προσπίπτοντας αὐτοῖς καὶ ἱκετεύοντας. Εἰ δέ τις βουληθείη τὸ θεῖον ἡμῶν γράμμα παρατρῶσαι τὸ συμφώνως ὑφ᾽ ἡμῶν ἐκτεθέν, τοῦτον προστάττομεν δεσμοῖς κατάκλειστον γενέσθαι, εἶθ᾽ οὕτως βασάνοις διαφόροις ὑποβάλλεσθαι· καὶ εἰ μὲν πεισθείη, τιμὰς οὐ τὰς τυχούσας παρ᾽ ἡμῶν κομιεῖται· εἰ δὲ ἀντιλέγοιεν,*

www.tezaurliturgic.ro

μετὰ πολλὰς αἰκίσεις τὴν διὰ ξίφους ὑπομένειν τιμωρίαν ἢ ἐν βυθῷ ῥίπτεσθαι ἢ ὀρνέοις καὶ κυσὶν βορὰν παραδίδοσθαι· ἐξαιρέτως δὲ εἴ τινες τῆς θρησκείας τῶν χριστιανῶν εὑρεθεῖεν, ταύτῃ ὑποπιπτέτωσαν τῇ ἀποφάσει. Οἱ δὲ τοῖς θείοις ἡμῶν πειθαρχοῦντες δόγμασιν μεγίστων ἀπολαύσουσι τιμῶν τε καὶ δωρεῶν· εὖ πράττετε, εὐτυχέστατοι.»

Προτεθέντος οὖν τοῦ βασιλικοῦ γράμματος, πᾶσα πόλις ταραχῆς ἐπληρώθη διὰ τὸ ἐν πάσῃ πόλει τὸ ἀσεβὲς τοῦτο γράμμα προτεθῆναι. Συνέβη δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον, πολέμου ἐπαναστάντος τοῖς Ῥωμαίοις ὑπὸ βαρβάρων, εὐτρεπίζειν τοὺς βασιλεῖς τὸ ἴδιον στράτευμα τοῦ παρατάξασθαι αὐτοῖς, κελεύσαντες καὶ τοὺς ἐν πάσαις ταῖς πόλεσι καθημένους ἀριθμοὺς ἐπὶ τὴν συμμαχίαν ἀπαντῆσαι· τῶν δὲ ἀφ᾽ ἑκάστης πόλεως καὶ πατρίδος φθανόντων εἰς τὴν τοιαύτην τοῦ πολέμου παρασκευήν, κατέλαβεν καὶ ὁ τῶν λεγομένων Μαρτησίων ἀριθμὸς τῶν ὄντων ὑπὸ τὴν πρώτην Ἀρμενίαν ὑπὸ τριβοῦνον ὀνόματι Σατορνῖνον.

Ἐξιόντος δὲ τοῦ Δεκίου ἐπὶ τὸν πόλεμον, ὁ Οὐαλεριανὸς διῆγεν ἐν τῇ Ῥώμῃ· καὶ τοῦ πολέμου συγκροτουμένου μεταξὺ τῶν βαρβάρων καὶ τῶν Ῥωμαίων, διίππαζεν χρόνος ἱκανός. Ἐπιμενόντων δὲ αὐτῶν τῇ συμβολῇ, ὅρασις ἐφάνη τινὶ ἐκ τοῦ Μαρτησίων τῶν ὄντων ὑπὸ τὴν πρώτην Ἀρμενίαν, ὀνόματι Μερκουρίῳ, ἀνήρ τις ὑπερμεγέθης, λευχείμων, ἐν τῇ δεξιᾷ χειρὶ ῥομφαίαν κατέχων καὶ λέγων αὐτῷ· «Μὴ φοβηθῇς μηδὲ δειλιάσῃς· ἀπεστάλην γὰρ τοῦ βοηθῆσαί σοι καὶ νικηφόρον ἀναδεῖξαι. Δέξαι οὖν τὴν ῥομφαίαν ταύτην καὶ εἴσελθε κατὰ τῶν βαρβάρων καὶ νικήσας μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου.» Ὁ δὲ ὡς ἐν ἐκστάσει γενόμενος ἕνα τῶν ἀρχόντων τοῦ βασιλέως εἶναι ἐνόμιζεν· καὶ δεξάμενος τὴν ῥομφαίαν καὶ ἀναζωπυρήσας τῷ πνεύματι, ἐπάνω τῶν βαρβάρων κατέδραμεν καὶ διακόψας αὐτοὺς τὸν ῥῆγα αὐτῶν ἀπέκτεινεν καὶ πολλοὺς ἑτέρους, ὥστε

*τὸν βραχίονα αὐτοῦ καμεῖν καὶ ἐκ τῶν αἱμάτων κολληθῆναι τὴν ῥομφαίαν ἐν τῇ χειρὶ αὐτοῦ· καὶ οὕτως ἔφυγον οἱ βάρβαροι καὶ ἐτροπώθησαν ὑπὸ τῶν Ῥωμαίων.*

*Τότε ὁ Δέκιος μαθὼν τὴν μονομαχίαν τοῦ ἀνδρός, καλέσας αὐτὸν ἔδωκεν αὐτῷ ἀξίαν στρατηλάτου, καταστήσας αὐτὸν ἄρχειν τοῦ στρατοπέδου· καὶ νομίσας ὁ Δέκιος διὰ τῆς προνοίας τῶν θεῶν τοῦ πολέμου κεκρατηκέναι, ἔχαιρεν πάνυ· καὶ ῥογεύσας χρήματα ἱκανὰ τοῖς στρατιώταις, ἀπέστειλεν ἕκαστον εἰς τὸν ἴδιον τόπον· αὐτὸς δὲ κατὰ πᾶσαν πόλιν εἰσιὼν εὐωχεῖτο μεγάλως, τὴν πορείαν ποιούμενος ἐπὶ τὴν Ῥώμην. Καὶ ἐν μιᾷ νυκτὶ κοιμωμένου τοῦ στρατηλάτου, παρίσταται αὐτῷ ἄγγελος Κυρίου ἐν τῷ σχήματι τῷ πρώτῳ· καὶ νύξας αὐτοῦ τὴν πλευρὰν διύπνισεν αὐτόν. Ὁ δὲ ἰδὼν αὐτὸν καὶ ἔμφοβος γενόμενος, ἔμεινεν ἐνεός· καὶ λέγει αὐτῷ ὁ ἄγγελος· «Μερκούριε, μέμνησαι τί σοι εἶπον ἐν τῇ συμβολῇ τοῦ πολέμου; βλέπε, μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου· δεῖ γάρ σε ὑπὲρ αὐτοῦ νομίμως ἀθλῆσαι καὶ στέφανον νίκης κομίσασθαι ἐν τῇ ἐνδόξῳ βασιλείᾳ μετὰ πάντων τῶν ἁγίων.» Καὶ ταῦτα εἰπών, ἀφανὴς ἐγένετο ἀπ᾽ αὐτοῦ ὁ ἄγγελος. Ὁ δὲ εἰς ἑαυτὸν γενόμενος καὶ μνησθεὶς ηὐχαρίστει τῷ Θεῷ· ᾔδει γὰρ ἐκ προγόνων τὴν πίστιν τῶν χριστιανῶν. Ὁ γὰρ πατὴρ αὐτοῦ Γορδιανὸς πριμικήριος τυγχάνων τοῦ αὐτοῦ ἀριθμοῦ ἔλεγεν πολλάκις ὅτι μακάριός ἐστιν ὃς ἂν στρατευθῇ τῷ ἐπουρανίῳ βασιλεῖ· δωρεῖται γὰρ αὐτῷ βασιλείαν οὐρανῶν. Ὁ γὰρ βασιλεὺς ἐκεῖνος λόγῳ τὰ πάντα ἐδημιούργησεν καὶ αὐτός ἐστιν ὁ μέλλων κρίνειν ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Εἰς ἑαυτὸν οὖν ἐλθὼν καὶ μνησθεὶς τῶν λόγων τοῦ πατρὸς καὶ τὴν ὀπτασίαν τὴν ὀφθεῖσαν αὐτῷ, ἤρξατο δάκρυσιν ἐξομολογεῖσθαι καὶ λέγειν οὕτως· «Οἴμοι τῷ ἁμαρτωλῷ, ὅτι δένδρου εὐθαλοῦς κλάδος ὑπάρχων γέγονα ξηρὸς μὴ ἔχων ῥίζαν ἐπιγνώσεως Θεοῦ.»*

*Καὶ ἐν τῷ λέγειν αὐτὸν ταῦτα ἐπέμφθη παρὰ τοῦ βασιλέως σελεντιάριος μετὰ καὶ ἑτέρων πλειόνων καλέσαι αὐτὸν πρὸς τὸν βασιλέα. Τοῦ δὲ παραιτησαμένου, ὑπέρθεσιν ἐποιήσατο τοῦ συνεδρίου ὁ βασιλεύς· καὶ τῇ ἑξῆς μετεστείλατο αὐτὸν Δέκιος. Τοῦ δὲ παραγενομένου καὶ τοῦ συνεδρίου πληρωθέντος, λέγει ὁ βασιλεύς· «Πορευθῶμεν ἅμα εἰς τὸν τῆς Ἀρτέμιδος ναὸν καὶ θυσίαν αὐτῇ προσκομίσωμεν.» Ὁ δὲ ἅγιος ὑποστρέψας ἀπῄει ἐν τῷ πραιτωρίῳ αὐτοῦ. Καί τις τῶν μεγιστάνων διαβάλλει αὐτὸν τῷ βασιλεῖ λέγων· «Εὐσεβέστατε, τροπαιοῦχε, νικητά, δεδοκιμασμένε ὑπὸ τῶν θεῶν τὸ βασίλειον διέπειν, γαληνῶς ἀκοῦσαί μου καταξίωσον· ὁ τιμηθεὶς ὑπὸ τῆς αὐτοκρατορικῆς ὑμῶν δεξιᾶς καὶ δοξασθεὶς ὑπὸ τῆς γαληνῶς διεπούσης βασιλείας ὑμῶν τὰ τῶν Ῥωμαίων πράγματα, οὗτος οὐ παρεγένετο ἐν τῷ ναῷ τῆς μεγάλης Ἀρτέμιδος σὺν ἡμῖν θυσίαν ἀποδώσων ὑπὲρ τοῦ ὑμετέρου κράτους.» Ὁ βασιλεὺς ἔφη· «Τίς οὗτος;» Κάτελλος ἀπὸ ὑπάτων εἶπεν· «Μερκούριος, ὃν ἐμεγαλύνατε καὶ ἐφαιδρύνατε διαφόροις ἀξιώμασιν· οὗτος καὶ ἑτέρους ἀναστατοῖ τοῦ μὴ σέβεσθαι τοὺς θεούς, δηλώσει δὲ ὑμῖν τὸ πέρας ἡ αὐτοῦ πρὸς ὑμᾶς ἀπόκρισις.» Δέκιος εἶπεν· «Τάχα φθόνῳ τινὶ ἠρμένος πρὸς τὸν ἄνδρα κατ᾽ αὐτοῦ ἐφθέγξω τοιαῦτα· ἀλλ᾽ οὐκ ἀκούσομαί σου, ἐὰν μὴ αὐτοπροσώπως γνῶ τὰ ἀληθῆ· ἀξιοπιστοτέρους γὰρ κρίνω ὀφθαλμοὺς μάρτυρας ὑπὲρ ἀκοήν· σιώπα τοίνυν καὶ μηδένα λόγον ἔχε πρὸς τὸν ἄνδρα. Καὶ εἰ μὲν διαβολικῷ τινι λογισμῷ χρησάμενος κατ᾽ αὐτοῦ ἐφθέγξω τοιαῦτα, δίκην ὑφέξεις οὐ τὴν τυχοῦσαν· εἰ δὲ ἀληθῆ φανείη τὰ παρὰ σοῦ εἰρημένα, τιμὰς καὶ δωρεὰς τεύξῃ παρ᾽ ἐμοῦ ὡς εὐνοϊκῶς διακείμενος πρὸς τοὺς θεοὺς καὶ πρὸς ἡμᾶς.» Καὶ ἐκέλευσεν αὐτὸν ἐλθεῖν μετὰ τῆς προσηκούσης τιμῆς.*

*Τοῦ δὲ παραγενομένου, ὁ Δέκιος πρὸς αὐτὸν εἶπεν· «Μερκούριε, οὐκ ἐγώ σε ἐτίμησα ἐν τῷ ἀξιώματι τούτῳ στρατοπε-*

*δάρχην σε ἀναδείξας ἐνώπιον πάντων μου τῶν ἀρχόντων διὰ τὴν ὑπὸ σοῦ βουλήσει τῶν θεῶν γενομένην νίκην τοῦ πολέμου; καὶ πῶς παραλογισάμενός μου τὴν τιμὴν τρόπον τινὰ κακοηθείας ἀνελάβου καὶ ἐξουθενῆσαι βούλει τὰς ἐμὰς τιμὰς μὴ προσκυνῶν τοῖς θεοῖς, καθὼς ἤδη ἀκήκοα παρά τινων;» Ὁ δὲ γενναῖος στρατιώτης τοῦ Χριστοῦ ἀποδυσάμενος κατὰ τὸν ἀπόστολον τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ ἐνεδύσατο τὸν νέον τὸν κατὰ Θεὸν κτισθέντα διὰ τοῦ βαπτίσματος, καὶ θαρσαλέᾳ τῇ φωνῇ εἶπεν πρὸς αὐτόν· «Λάβε τὴν τιμήν σου ταύτην ἀπ᾽ ἐμοῦ· ἐγὼ γάρ, ὡς οἶμαι, κατ᾽ ὀφειλὴν εἰς τοῦτο ἦλθον ἐν τῷ πολέμῳ νικήσας τοὺς βαρβάρους διὰ τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ· πλὴν δέξαι τὰ παρὰ σοῦ, ὡς ἔφης, ἐμοὶ δωρηθέντα· γυμνὸς γὰρ ἐξῆλθον ἐκ κοιλίας μητρός μου· γυμνὸς καὶ ἀπελεύσομαι ἐν ἐκείνῳ τῷ κόσμῳ.» Καὶ ἀποδυσάμενος τὴν χλαμύδα καὶ λύσας τὴν ζώνην ἔῤῥιψεν εἰς τοὺς πόδας τοῦ βασιλέως κράζων καὶ λέγων· «Χριστιανός εἰμι καὶ πάντες ἀκούσατε ὅτι χριστιανός εἰμι.» Τότε ὁ Δέκιος χολέσας πάνυ, ἅμα δὲ καὶ θαυμάσας τὴν παῤῥησίαν αὐτοῦ καὶ ἐπὶ τῷ κάλλει καὶ μεγέθει αὐτοῦ ἐκπλαγεὶς ἐκέλευσεν αὐτὸν βληθῆναι ἐν τῇ φυλακῇ εἰπών· «Οὗτος ὁ ἄνθρωπος οὐ συνῆκεν τὴν τιμήν· κἂν τῆς ἀτιμίας αἴσθηται», νομίζων μεταπεῖσαι αὐτοῦ τὸν εὐσεβῆ λογισμόν. Ἀπαγομένου δὲ αὐτοῦ ἐν τῇ φυλακῇ, ἔχαιρεν ὁ μάρτυς καὶ ἠγάλλετο δοξάζων τὸν Θεόν· καὶ τῇ νυκτὶ ἐκείνῃ παρίσταται αὐτῷ ἄγγελος Κυρίου λέγων· «Θάρσει, Μερκούριε, καὶ μὴ δειλιάσῃς· πίστευε εἰς ὃν ὡμολόγησας Κύριον. Δυνατὸς γάρ ἐστιν αὐτὸς λυτρώσασθαί σε ἐκ πάσης θλίψεως.» Καὶ τῇ ὀπτασίᾳ τοῦ ἀγγέλου πλεῖον ἐνεδυναμώθη.*

*Τῇ δὲ ἑξῆς προκαθίσας ὁ βασιλεὺς ἐπὶ τοῦ βήματος ἐκέλευσεν παραστῆναι αὐτὸν καί φησιν πρὸς αὐτόν· «Οὕτως σοι πρέπει τοιαύτη τιμὴ διὰ τὴν κακίστην σου γνώμην;» Ὁ μάρτυς ἔφη·*

*«Ἐμοὶ πρέπει ἡ τιμὴ αὕτη· τὰ γὰρ παρερχόμενα ἔλαβες, τὰ δὲ εἰς αἰῶνα διαμένοντα ἀντὶ τούτων κομιοῦμαι.» Ὁ βασιλεὺς ἔφη· «Λέγε μοι σὺ τὸ γένος σου καὶ τὴν πατρίδα.» Μερκούριος εἶπεν· «Εἰ θέλεις μαθεῖν τὸ γένος μου καὶ τὴν πατρίδα, ἐγώ σοι ἐρῶ. Ὁ πατήρ μου Γορδιανὸς ἐκαλεῖτο, Σκύθης τῷ γένει· ἐστρατεύετο δὲ ἐν τῷ ἀριθμῷ τῶν Μαρτησίων. Ἡ δὲ πατρίς μου, εἰς ἣν σπεύδω, ἐστὶν ἡ ἐπουράνιος Ἱερουσαλήμ· πόλις δέ ἐστιν τοῦ ἐπουρανίου βασιλέως.» Ὁ βασιλεὺς εἶπεν· «Τὸ ὄνομα τοῦτο ἐκ γονέων κέκλησαι ἢ ἐν τῇ στρατείᾳ ἐκλήθης Μερκούριος;» Ὁ μάρτυς ἔφη· «Ἐν τῇ στρατείᾳ ὑπὸ τοῦ τριβούνου ἐκλήθην Μερκούριος· ὁ γὰρ πατήρ μου Φιλοπάτορά με ἐκάλεσεν.» Ὁ βασιλεὺς εἶπεν· «Τί οὐ ποιεῖς κατὰ τὰ προσταχθέντα πᾶσιν ἀνθρώποις καὶ προσκυνεῖς τοῖς θεοῖς, ἀπολαμβάνων τὴν προτέραν σου τιμήν; ἢ μᾶλλον αἱρεῖσαι ἐν βασάνοις ἀποθανεῖν; Λέγε τάχιστα. εἰδὼς ὅτι διὰ τοῦτο ἐκλήθης.» Μερκούριος ἔφη· «Ἐγώ, ὡς ἔφης, εἰς τοῦτο ἐλήλυθα, ἵνα νικήσω σε καὶ τὸν διάβολον τὸν εὑρετὴν πάσης κακίας καὶ στέφανον νίκης κομίσωμαι παρὰ τοῦ ἀγωνοθέτου Ἰησοῦ Χριστοῦ τοῦ κυρίου. Μὴ οὖν βράδυνε μηδὲ ἀναβάλλου, ἀλλὰ πλήρου εἰς ἐμὲ κατὰ τὰ παριστάμενά σοι· ἔχω γὰρ θώρακα πίστεως καὶ τὸν θυρεόν, δι᾽ ὧν νικήσω πᾶσαν ἐπίνοιαν κινουμένην κατ᾽ ἐμοῦ.»*

*Τότε ὁ βασιλεὺς πλησθεὶς θυμοῦ εἶπεν· «Ἐπειδὴ λέγεις ἔχειν θώρακα πίστεως καὶ θυρεόν, γυμνὸς ὑπάρχων, κελεύω σε ταθῆναι εἰς τέσσαρας πάλους καὶ μετεωρισθῆναι ἀπὸ τῆς γῆς.» Τούτου δὲ γενομένου, λέγει αὐτῷ ὁ βασιλεύς· «Ποῦ σου τὰ ὅπλα τὰ πολεμικά; μὰ τὸν Δία τὸν ἐν θεοῖς μέγιστον, μεγάλως ἀπετάθης.» Ὁ δὲ ἅγιος Μερκούριος ἀναβλέψας εἰς τὸν οὐρανὸν εἶπεν· «Κύριε Ἰησοῦ Χριστέ, βοήθει τῷ δούλῳ σου.» Καὶ πάλιν ὁ βασιλεὺς ἐκέλευσεν μαχαίραις ὀξείαις τέμνεσθαι αὐτοῦ τὸ σῶμα καὶ μετ᾽ ἐκεῖνο πῦρ ὑποστρωθῆναι, ὥστε κατ᾽*

*ὀλίγον καίεσθαι αὐτόν. Ἐκ δὲ τοῦ πλήθους τῶν αἱμάτων ἡ πυρὰ ἐσβέννυτο· καὶ ὁ ἅγιος γενναίως ἐκαρτέρει τὴν τοιαύτην βάσανον. Ὁ δὲ Δέκιος ἐκέλευσεν αὐτὸν λυθῆναι, ἵνα μὴ τάχιον ἀποθάνῃ, καὶ ἔν τινι οἴκῳ σκοτεινῷ κατακλεισθῆναι ἀσφαλῶς. Βαστάσαντες οὖν αὐτὸν ἔῤῥιψαν ἐν τῷ οἰκήματι μικρὰν ἔχοντα ἀναπνοήν, νομίζοντες ὅτι μετὰ μικρὸν τελευτᾷ· τῇ δὲ νυκτὶ ἐκείνῃ φαίνεται αὐτῷ ἄγγελος Κυρίου λέγων· «Εἰρήνη σοι, γενναῖε ἀγωνιστά», καὶ ἀποκατέστησεν αὐτὸν ὑγιῆ, θεραπεύσας τὰ ἕλκη τοῦ σώματος αὐτοῦ, ὥστε ἀναστῆναι αὐτὸν καὶ δόξαν ἀναπέμπειν τῷ Θεῷ τῷ ἐπιφανέντι αὐτῷ.*

*Πάλιν οὖν ὁ Δέκιος ἐκέλευσεν παραστῆναι αὐτόν· καὶ ἰδὼν αὐτὸν ἔφη· «Νεκρὸς ἀρθεὶς ἀπέμπροσθεν ἡμῶν νῦν ἀφ᾽ ἑαυτοῦ περιπατεῖς, τάχα δὲ οὐδὲ μώλωπα ἔχεις ἐν τῷ σώματί σου;» Καὶ ἐκέλευσεν τοῖς δορυφόροις καταμαθεῖν αὐτόν. Οἱ δὲ λέγουσιν αὐτῷ· «Μὰ τὴν θειότητά σου εὐσεβῆ, ὡς μὴ λαβόντος αὐτοῦ ψηλαφιῶν, οὕτως ἐστὶν τὸ σῶμα αὐτοῦ τρυφερόν, σπίλον μὴ ἔχον.» Δέκιος εἶπεν· «Πάντως ἔχει λέγειν ὅτι ὁ Χριστός μου ἐθεράπευσέν με· μή τινα εἰσηνέγκατε πρὸς θεραπείαν αὐτοῦ ἐν τῷ φρουρίῳ;» Οἱ δὲ λέγουσιν πρὸς αὐτόν· «Μὰ τὸ ὑμέτερον κράτος τὸ διέπον πᾶσαν τὴν οἰκουμένην, οὐδεὶς οὐδὲ ἐθεάσατο αὐτόν. Προσεδοκῶμεν γὰρ ὅτι μετὰ μικρὸν τελευτᾷ· πῶς δὲ ὑγιὴς παρίσταται, οὐκ οἴδαμεν.» Ὁ βασιλεὺς εἶπεν· «Ὁρᾶτε τὴν μαγείαν τῶν χριστιανῶν, ὁποία ἐστίν; πῶς πρὸ τούτου νεκρὸς ἐνομίζετο, ἄρτι δὲ ὑγιὴς παρίσταται;» Καὶ θυμοῦ πλησθεὶς λέγει· «Τίς ὁ θεραπεύσας σε; λέγε μετὰ πάσης ἀληθείας· ἄνευ γὰρ βοηθείας οὐκ οἶμαι θεραπευθῆναί σε.» Ὁ ἅγιος Μερκούριος εἶπεν· «Ὡς προεῖπας μὴ θέλων, ὁ Κυριός μου Ἰησοῦς Χριστὸς ὁ ἀληθινὸς ἰατρὸς ψυχῶν καὶ σωμάτων αὐτός με ἐθεράπευσεν, φαρμακοὺς δὲ καὶ ἐπαοιδοὺς καὶ κληδονιζομένους καὶ εἰδωλολάτρας ἀπαγορεύει καὶ δεσμοῖς ἀλύ-*

*τοις δήσας πυρὶ γεέννης παραπέμπει, ἀνθ᾿ ὧν οὐκ ἐπέγνωσαν τὸν ἀληθινὸν Θεὸν τὸν ποιήσαντα αὐτούς.» Ὁ βασιλεὺς εἶπεν· «Πάλιν, τὸ σῶμά σου ἀναλώσω τοῖς αἰκισμοῖς καὶ ἴδω εἰ θεραπεύσει σε ὁ Χριστός σου, ὃν σὺ λέγεις.» Ὁ ἅγιος Μερκούριος εἶπεν· «Πιστεύω εἰς τὸν Κύριόν μου Ἰησοῦν Χριστόν, ὅτι ὅσας τιμωρίας ἐπαγάγης μοι, οὐδέν με ἀδικήσεις. Αὐτὸς γὰρ εἶπεν μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, ἀλλὰ φοβήθητε μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ· ὅς μετὰ θάνατον πάλιν ἀναστήσει με ἐν τῇ φοβερᾷ διακρισίᾳ αὐτοῦ.»*

*Καὶ θυμωθεὶς ὁ βασιλεὺς προσέταξεν σούβλας πεπυρωμένας προσφέρειν ταῖς παρειαῖς αὐτοῦ. Τούτου δὲ γενομένου, ἀντὶ κνίσης εὐωδία ἀρωμάτων ἐκ τοῦ σώματος αὐτοῦ ἔπνει εἰς τοὺς περιεστῶτας. Ὁ δὲ Δέκιος εἶπεν· «Ποῦ ὁ ἰατρός σου; ἐλθέτω καὶ θεραπευσάτω σε νῦν· εἶπας γὰρ ὅτι καὶ μετὰ θάνατον δυνατός ἐστιν πάλιν ἀναστῆσαί με.» Ὁ ἅγιος Μερκούριος εἶπεν· «Ποίει ὃ θέλεις· ἐξουσίαν τοῦ σώματός μου ἔχεις. Τῆς δὲ ψυχῆς μου ὁ Θεὸς ἐξουσιάζει· ὅσον γὰρ τὸ σῶμά μου φθείρεται, τοσοῦτον ἡ ψυχή μου ἄφθαρτος διαμένει.» Πάλιν ὁ βασιλεὺς ἐκέλευσεν αὐτὸν κρεμασθῆναι κατακέφαλα καὶ εἰς τὸν τράχηλον αὐτοῦ λίθον παμμεγέθη ἀποδεθῆναι, ὅπως ἀγχόμενος ὑπὸ τοῦ λίθου ἐν δεινῇ τιμωρίᾳ τὴν ψυχὴν ἀποῤῥήξῃ. Ἔμεινεν δὲ ὁ μάρτυς ἐπὶ τῇ τοιαύτῃ τιμωρίᾳ ἐπὶ ὥραν πολλήν. Ἰδὼν δὲ ὁ Δέκιος ὅτι γενναίως ὑποφέρει τὰς ἐπαγομένας αὐτῷ τιμωρίας καὶ οὐδὲν τῶν χαλεπῶν ἅπτεται αὐτοῦ, ἐκέλευσεν τὸν μὲν λίθον λυθῆναι ἀπὸ τοῦ τραχήλου αὐτοῦ, φραγελλωθῆναι δὲ αὐτὸν χαλκῷ φραγελλίῳ, ἕως οὗ τὸ αἷμα αὐτοῦ τὸ ἔδαφος ἐπλήρωσεν. Ὁ δὲ ὄντως ἀδάμας ὑπέμενεν τὰς θλίψεις πάσας εὐχαριστῶν τῷ Θεῷ καὶ λέγων· «Δόξα σοι, ὁ Θεός, ὅτι κατηξίωσάς με ὑπὲρ τοῦ ὀνόματός σου φραγελλωθῆναι.»*

*Γνοὺς δὲ ὁ βασιλεὺς ὅτι ἀμετάθετον ἔχει τὸν λογισμὸν πρὸς τὸ μὴ πεισθῆναι αὐτόν, συμβούλιον ποιησάμενος, ἅμα δὲ καὶ σπεύδων τοῦ παραγενέσθαι ἐν τῇ Ῥώμῃ, ἔδωκεν αὐτῷ ἀπόφασιν τὴν διὰ ξίφους εἰπών· «Μερκούριον τὸν τοὺς θεοὺς ἐξουθενήσαντα καὶ τὸ σεβάσμιον δόγμα τῆς ἡμετέρας ἡμερότητος εἰς οὐδὲν λογισάμενον κελεύει τὸ κράτος μου ἐν τῇ χώρᾳ τῶν Καππαδοκῶν ἀπενεχθῆναι κἀκεῖ τὴν κεφαλὴν ἀποτμηθῆναι πρὸς ἐπίδειξιν πολλῶν· ὅστις γὰρ βασιλεῖ ἀντιπράττει τιμώμενος καὶ δοξαζόμενος ὑπ᾽ αὐτοῦ, μετὰ πολλὰς αἰκίας τῇ διὰ ξίφους τιμωρίᾳ ὑποβληθήσεται.» Καὶ λαβόντες αὐτὸν οἱ ἐπιτεταγμένοι ἀπήγαγον, ἐπιδήσαντες ἐπὶ ζώου ἑκατέρωθεν διὰ τὸ σῶμα τοῦ μάρτυρος διαλελύσθαι ἀπὸ τῆς ὑπερβολῆς τῶν βασάνων. Φθάνοντες δὲ κατὰ μονήν, ἠρέμα ἀποτιθέμενοι αὐτόν, οὕτως ἀνέπαυον· καὶ οὕτως ἐν ὀλίγαις ἡμέραις μακρὰν ὁδὸν βαδίσαντες, ἔφθασαν ἐν τῇ Καισαρέων πόλει· καὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος λέγει· «Μερκούριε, δεῦρο λοιπὸν ἀναπαύου, τὸν δρόμον τετέλεκας, τὴν πίστιν τετήρηκας· ἀπολάμβανε τὸν στέφανον τῆς ἀθλήσεώς σου· ὧδε γὰρ κεκλήρωταί σοι τελειωθῆναι.» Καὶ ὁ μάρτυς τῇ ὀπτασίᾳ τοῦ σωτῆρος ἐπιῤῥωσθεὶς τοῖς μετ᾽ αὐτοῦ οὖσιν λέγει· «Δεῦτε λοιπόν, ἀδελφοί, ποιήσατε τὸ κελευσθὲν ὑμῖν· ὁ δὲ Κύριός μου ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ ὑμᾶς καταξιώσει τῆς χάριτος αὐτοῦ καὶ δώσει ὑμῖν εὑρεῖν ἔλεος μετὰ πάντων τῶν δικαίων.» Καὶ ταῦτα εἰπὼν ἀπετμήθη τὴν κεφαλήν, τελειωθεὶς ἐν τῇ ὁμολογίᾳ τοῦ σωτῆρος ἡμῶν Θεοῦ, μηνὶ νοεμβρίῳ εἰκάδι πέμπτῃ.*

*Παράδοξον δὲ θαῦμα ἐγένετο, ὃ ἄξιον μνημονεῦσαι. Μετὰ γὰρ τὴν τελείωσιν αὐτοῦ αὐτὸ τὸ σῶμα τοῦ μάρτυρος ἐγένετο λευκὸν ὡσεὶ χιών, μύρων καὶ θυμιαμάτων εὐωδίαν ἐκπέμπον· καὶ διὰ τὸ σημεῖον τοῦτο πολλοὶ ἐπίστευσαν τῷ Χριστῷ· κατέθεντο δὲ τὸ ἅγιον αὐτοῦ σῶμα ἐν ᾧ τόπῳ ἐτελειώθη, ἔνθα καὶ ἰάσεις*

*ἐπιτελοῦνται, εἰς δόξαν Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ, ἅμα τῷ ἁγίῳ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ εἰς τοὺς ἑξῆς καὶ ἀτελευτήτους ἅπαντας αἰῶνας τῶν αἰώνων, ἀμήν.»*

Ἡ Ἐκκλησία μυστηριακῷ τῷ τρόπῳ ἀποτελεῖ τὸ σῶμα τοῦ Χριστοῦ. Συμπεριλαμβάνει τὴν θριαμβεύουσαν ἄνω ἐν οὐρανοῖς καὶ τὴν ἀγωνιζομένην κάτω ἐπὶ τῆς γῆς. Τελεσιουργεῖ τὸ Πάθος καὶ τὴν Ἀνάστασιν τοῦ Χριστοῦ. Ἥδρασται ἐπὶ τοῦ μαρτυρίου. Μάρτυρες ἀνεφάνησαν, οὐ μόνον κατὰ τοὺς παλαιοὺς διωγμούς, ἀλλ' ἐν παντὶ διωγμῷ ἐν τῇ Ἱστορίᾳ. Τὸ νέφος τῶν Νεομαρτύρων ἀποτελεῖ τὴν συνεχιζομένην παράδοσιν τῆς Ἐκκλησίας.

Ἡ νίκη τοῦ Ἁγίου Μερκουρίου κατὰ τοῦ Ῥηγὸς καὶ τῶν στρατευμάτων αὐτοῦ τὴν νίκην τοῦ Ἀρχαγγέλου Μιχαὴλ κατὰ τοῦ Ἑωσφόρου καὶ τῶν ἀγγέλων αὐτοῦ σημαίνει. Αὕτη σημαίνει καὶ τὴν προετοιμασίαν αὐτοῦ πρὸς τὸ μαρτύριον.

Τὸ ξίφος, τὸ δοθὲν ἐξ οὐρανοῦ τῷ Ἁγίῳ Μερκουρίῳ, τὴν νικητήριον ῥομφαίαν τοῦ Ἀρχαγγέλου Μιχαὴλ σημαίνει.

Ὁ ἐμφανισθεὶς τῷ Ἁγίῳ Μερκουρίῳ λευχείμων ἄγγελος τὸν Ἀρχάγγελον Μιχαὴλ σημαίνει, προστάτην τοῦ ἰουδαϊκοῦ ἔθνους καὶ τῆς χριστιανικῆς Οἰκουμένης.

Ὁ μετεωρισμὸς τοῦ Ἁγίου Μερκουρίου εἰς τέσσαρας πασσάλους τὴν Σταύρωσιν τοῦ Χριστοῦ σημαίνει.

Ἡ θεραπεία τῶν πληγῶν τοῦ Ἁγίου Μερκουρίου τὰς θαυματουργικὰς ἰάσεις τοῦ Χριστοῦ σημαίνει. Αἱ θαυματουργικαὶ ἰάσεις τοῦ Χριστοῦ τὴν ἐν τῷ Παραδείσῳ ἀποκατάστασιν σημαίνουσι.

Τὸ γενόμενον λευκόν, ὡσεὶ χιών, σῶμα τοῦ Μάρτυρος τὴν ἁγνότητα καὶ τὴν κατάταξιν ἐν τῷ Παραδείσῳ σημαίνει.

Ἡ ἐκπεμπομένη ἐκ τοῦ σώματος τοῦ Μάρτυρος εὐωδία μύρων καὶ θυμιαμάτων τὴν χάριν τοῦ Ἁγίου Πνεύματος σημαίνει.

www.tezaurliturgic.ro



# ΑΓΙΟΣ ΝΙΚΟΛΑΟΣ
# ΕΠΙΣΚΟΠΟΣ ΜΥΡΩΝ

Ὁ Ἅγιος Νικόλαος ἐγεννήθη εἰς τὰ Πάταρα καὶ ἐγένετο ἐπίσκοπος τῶν Μύρων Λυκίας, ἀρχομένου τοῦ τετάρτου αἰῶνος. Ὁ ἀρχαιότερος βίος αὐτοῦ συνετάγη ὑπὸ τοῦ πατριάρχου Κωνσταντινουπόλεως Μεθοδίου τέσσαρας αἰῶνας μετὰ τὴν ἐν εἰρήνῃ κοίμησιν αὐτοῦ, ἐκ προφορικῶν παραδόσεων. Ὁ βίος ἀποτελεῖ ἐγκώμιον, ὥστε ἐμφανίζει τὰς ὑπερβολὰς τοῦ εἴδους αὐτοῦ. Σκοπὸς τοῦ βίου εἶναι ἡ διὰ τῆς ὁμωνυμίας ἀναίρεσις τοῦ διακόνου Νικολάου, ἑνὸς τῶν ἑπτὰ διακόνων, προσηλύτου ἐξ Ἀντιοχείας καὶ ἀρχηγοῦ τῆς αἱρέσεως τῶν Νικολαϊτῶν, καὶ ἡ προβολὴ τοῦ προτύπου ἱεράρχου.

Ὁ Ἅγιος Νικόλαος παρουσιάζεται ὡς ὁ ἀνύστακτος ποιμενάρχης, προστρέχων εἰς πάσας τὰς ἀνάγκας τοῦ ποιμνίου αὐτοῦ, ψυχικὰς καὶ ὑλικάς. Γηπονεῖ τὰς ψυχὰς πρὸς σωτηρίαν, καθαιρεῖ τοὺς ναοὺς καὶ τοὺς βωμοὺς τῆς εἰδωλολατρίας, ἐκδιώκων τὰ ἐνοικοῦντα δαιμόνια, τρέφει τὸν λαὸν ἐν λιμῷ, εἰρηνεύει στάσεις, σῴζει ἐκ θανάτου καταδίκους συκοφαντηθέντας, συντρέχει τοῖς πένησι καὶ δεομένοις. Ἀποτελεῖ κατὰ τὸ ἀπολυτίκιον αὐτοῦ *«κανόνα πίστεως καὶ εἰκόνα πραότητος, ἐγκρατείας διδάσκαλον.»*

Πρὸς τὸν σκοπὸν παρουσιάσεως τοῦ Ἁγίου ὡς προτύπου ἀρχιερέως ἐπιστρατεύονται καὶ ἀποδίδονται αὐτῷ στοιχεῖα ἐκ διαφόρων πηγῶν. Διὰ τὰ παρείσακτα ταῦτα στοιχεῖα ἡ Καθολικὴ Ἐκκλησία διέγραψε τῷ 1969 τὸν Ἅγιον Νικόλαον ἐκ τοῦ λειτουργικοῦ Ἁγιολογίου αὐτῆς.

Ὁ βίος τοῦ Ἁγίου Νικολάου, ἐπισκόπου Μύρων, ἀπεῤῥόφησε περὶ τὸν δέκατον αἰῶνα τὸν βίον τοῦ ὁμωνύμου καὶ συμπατριώτου Ἁγίου Νικολάου, ἡγουμένου τῆς Μονῆς τῆς Σιὼν καὶ ἀκολούθως ἐπισκόπου Πινάρων τῆς Λυκίας. Θαύματα, ἀποδιδόμενα τῷ Ἁγίῳ Νικολάῳ τῆς Σιών, ἀπεδόθησαν τῷ Ἁγίῳ Νικολάῳ τῶν Μύρων.

Ὁ Ἅγιος Νικόλαος τῆς Σιὼν ἐγεννήθη ἔν τινι χωρίῳ τῆς Λυκίας καὶ ἀπέθανεν ἐν Μύροις τῇ δεκάτῃ Δεκεμβρίου 564. Ἡ Σιὼν ἦν μονὴ ἐν Λυκίᾳ, οὕτως ὀνομαζομένη. Ἐν τῇ ἡλικίᾳ τῶν δεκαεννέα ἐτῶν ὁ θεῖος αὐτοῦ ἐνεπιστεύθη αὐτῷ τὴν μονὴν τῆς Σιών. Ἐταξίδευσε δὶς εἰς Ἱεροσόλυμα. Κατὰ τὸ τέλος τῆς ζωῆς αὐτοῦ ἐχειροτονήθη ἐπίσκοπος Πινάρων τῆς Λυκίας. Κατὰ τὴν ζωὴν αὐτοῦ ἐπετέλεσε πολλὰ θαύματα.

Ὁ βίος τοῦ Ἁγίου Νικολάου τῆς Σιὼν συνετάγη κατὰ τὸν ἕκτον αἰῶνα ὑπὸ αὐτόπτου τῆς κηδείας αὐτοῦ βάσει προσωπικῶν ἀναμνήσεων καὶ στοιχείων ἐκ τῶν ἀρχείων τῆς μονῆς τῆς Σιών. Μετὰ τὴν ἀποῤῥόφησιν τοῦ Ἁγίου Νικολάου τῆς Σιὼν τὰ θαύματα αὐτοῦ ἀπεδόθησαν τῷ Ἁγίῳ Νικολάῳ Μύρων.

Ὁ Ἅγιος Νικόλαος Μύρων προβάλλεται ὡς πρότυπον ἀρχιερέως, ἀσκοῦντος ἐγκράτειαν καὶ ἠθικὸν βίον ἀπὸ τῆς πρώτης ἡλικίας αὐτοῦ, ἄντικρυς ἀντιθέτου τῶν Νικολαϊτῶν. Οἱ Νικολαῗται, ἀνάγοντες τὴν ἀρχὴν αὐτῶν εἰς τὸν ὁμώνυμον διάκονον Νικόλαον, προσήλυτον ἐξ Ἀντιοχείας, ἐπρέσβευον ὅτι πραγματικὴν λατρείαν τοῦ Θεοῦ ἀποτελεῖ τὸ κατὰ φύσιν ζῆν, ἄνευ ἠθικῆς ἐγκρατείας. Κατὰ τὸν βίον αὐτοῦ:

www.tezaurliturgic.ro

*«Τὸ μὲν οὖν δημοτικὸν τοῦτο καὶ ἀγοραῖον διέπτυσεν, ἑταιρείας δὲ ἀκόσμους, φημί, καὶ ὁμιλίας ἀμαθεῖς ἐκκλίνας, καὶ τὸ γυναιξὶ δὲ συλλαλεῖν, ἢ καὶ διδόναι ὀφθαλμὸν ὅλως ἀπαγορεύσας, τῆς ἀληθοῦς ἐπεμέλετο σωφροσύνης, εἶτα καὶ ταῖς ἔξω διατριβαῖς ἅπαξ χαίρειν εἰπών, τοῖς θείοις ἐσχόλαζεν οἴκοις, οἶκον αὐτὸς ἑαυτὸν ἄξιον τῷ Δεσπότῃ κατασκευάζων.»*

Διαπονῶν ἐν τῇ μελέτῃ τῶν θείων γραφῶν, ἐκοσμεῖτο μυρίαις χάρισι, ἀλλὰ καὶ τὸ ἦθος αὐτοῦ, νεάζοντος ἔτι, ἦν πρεσβυτικόν. Διὰ τὸ ἐν πᾶσι τέλειον ἦν παιδιογέρων, ὡς εἰκονίζεται ἐν τῇ βυζαντινῇ ἁγιογραφίᾳ καὶ ὁ παντέλειος Χριστὸς κατὰ τὴν παιδικὴν καὶ βρεφικὴν ἡλικίαν Αὐτοῦ. Κατὰ τὸ πρεσβυτικὸν ἦθος αὐτοῦ ὁ Ἅγιος Νικόλαος εἰκονίζεται ὡς μεσῆλιξ μετ᾽ ἀρχομένης φαλάκρας.

Ὁ ἱδρυτὴς τῆς μονῆς τῆς Σιὼν ὁμώνυμος Νικόλαος, ζήσας κατὰ τὸν ἕκτον αἰῶνα, ἀναφέρεται ἐν τῷ βίῳ ὡς πρὸς πατρὸς θεῖος αὐτοῦ. Γνώμῃ τούτου ὁ τότε ἐπίσκοπος Μύρων χειροτονεῖ τὸν Νικόλαον πρεσβύτερον. Μετὰ τὴν χειροτονίαν αὐτοῦ ὁ Ἅγιος ἔδωκεν ἑαυτὸν ἀγρυπνίαις καὶ νηστείαις καὶ προσευχαῖς, ὥστε νὰ διατηρῇ τὴν ἱερωσύνην καθαρὰν καὶ ἄχραντον, διαγωγὴν τῶν ἀσωμάτων ἐν σώματι θνητῷ. Ὁ θεῖος Νικόλαος, θέλων νὰ ἐπισκεφθῇ τοὺς ἁγίους τόπους ἐν Παλαιστίνῃ, ἐγχειρίζει τὴν φροντίδα τοῦ ναοῦ τῆς Ἁγίας Σιών, ὃν αὐτὸς ἐδείματο, τῷ Ἁγίῳ Νικολάῳ καὶ ἄλλοις ἐναρέτοις νέοις. Ἀπάραντος τοῦ θείου, οὗτοι ἐνήργουν τὴν οἰκονομίαν τοῦ ναοῦ, ὡσπερανεὶ ἐτύγχανεν ἐκεῖνος παρών.

Μετὰ τὸν θάνατον τῶν γονέων αὐτοῦ διένειμε τὴν καταλειφθεῖσαν περιουσίαν τοῖς πένησι, γενόμενος χεὶρ ἄνετος παντὶ δεομένῳ.

Ἐν τῷ βίῳ τοῦ Ἁγίου Νικολάου συνέρρευσαν διάφοροι διη-

γήσεις πρὸς ἔκφρασιν τοῦ προτύπου ἀρχιερατικοῦ ἤθους. Ἡ διὰ τοῦ γάμου σωτηρία τῶν τριῶν θυγατέρων πτωχεύσαντος πλουσίου, ὅστις θὰ παρέδιδεν αὐτὰς εἰς αἰσχρὰν ζωήν, ἀποτελεῖ ἀναίρεσιν τῆς ἀκολασίας τῶν Νικολαϊτῶν.

Κατὰ τὴν διήγησιν ἀνήρ τις πλούσιος, πτωχεύσας καὶ στερούμενος τῶν ἐπιτηδείων, ὅπως συναρμόσῃ ἀνδρὶ τὰς τρεῖς παγκάλους θυγατέρας αὐτοῦ, γνώμην ἔσχεν, ὅπως ἐκδώσῃ αὐτὰς εἰς ζωὴν Νικολαϊτῶν. Μαθὼν τοῦτο ὁ Ἅγιος Νικόλαος, ἔλαβε πηρίδιον χρυσοῦ καὶ ἔῤῥιψε κατὰ τὴν νύκτα ἔκ τινος θυρίδος εἰς τὸν οἶκον τοῦ ἀνδρός. Ὁ ἀνήρ, εὑρὼν τὸν χρυσόν, ἀποκατέστησε τὴν πρώτην θυγατέρα. Ταὐτὸ ἐγένετο καὶ περὶ τῆς δευτέρας, ἐλθούσης τῆς ὥρας αὐτῆς. Ἀναμένων ὁ ἀνὴρ καὶ τρίτην ῥῖψιν χρυσοῦ καὶ ἀπορῶν τίς ὁ εὐεργέτης αὐτοῦ, ἐκαιροφυλάκτει. Ἀκούσας τὸν θόρυβον τῆς ῥίψεως καὶ τοῦ τρίτου πηριδίου, ἐδίωξε τὸν δράστην, φεύγοντα προτροπάδην. Φθάσας αὐτόν, ἔμαθεν ὅτι εὐεργέτης αὐτοῦ ἦν ὁ Ἅγιος Νικόλαος. Ὁ Ἅγιος ἐξώρκισεν αὐτόν, ὅπως μὴ ἀποκαλύψῃ τὴν ἐλεημοσύνην, ἐνόσῳ οὗτος ἔζῃ.

Ὁ Ἅγιος Νικόλαος, ὡς οἱ Μάρτυρες, ἐπεθύμησεν, ὅπως αὐλισθῇ εἰς ἐρημίαν, ὡς προετοιμασίαν συνάψεως πρὸς τὸν Θεόν. Ἐρημία αὐτοῦ ἦν ἡ Παλαιστίνη καὶ οἱ Ἅγιοι Τόποι, ἔνθα ἔζησε κατὰ τὴν ἐπίγειον ζωὴν Αὐτοῦ ὁ Χριστός:

*«Ἐπειδὴ δὲ καὶ τελεωτέρας ἀρετῆς ἤρα, καὶ μείζονος ἀπολαῦσαι τῆς παρὰ Θεῷ οἰκειώσεως, λαμβάνει μὲν αὐτὸν ἡσυχίας ἔρως, ὠδίνει δὲ τὴν ἀποδημίαν οὕτω θερμῶς, ὡς μὴ ὂν ἄλλως αὐτῷ τοῦ ποθουμένου τεύξεσθαι. «Σχολάσατε γάρ», φησι, «καὶ γνῶτε.» Διὸ καὶ μακρὰν ποιεῖν ἑαυτὸν ἔγνω, καὶ κατὰ τὸν προφήτην εἰς ἔρημον αὐλισθῆναι. Ἐρημία μὲν γὰρ μήτηρ ἡσυχίας, ἡσυχία δὲ θείων ἐννοιῶν καὶ θεωρίας, οἰκειότατα Θεῷ συναπτού-*

www.tezaurliturgic.ro

*σης. Καί ποτε δόξαν αὐτῷ τὴν Παλαιστίνην ἰδεῖν, ὥστε τοῖς ἁγίοις ἐντυχεῖν τόποις, ἐν οἷς ὁ ὑπὲρ ἡμῶν παθὼν Κύριος τὰς ἐν κόσμῳ διατριβὰς ἐποιεῖτο, πλοίου ἐπιβὰς ἐξ Αἰγύπτου νῦν ἀναχθέντος ἐκεῖσε καταίρει, ὁμοῦ μὲν τὴν φίλην διψῶν ἐρημίαν, ὁμοῦ δὲ καὶ εἰς θέαν, ὡς ἤδη ἔφημεν, τῶν ἁγίων τόπων φερόμενος. Ἀλλ᾽ ὁ μὲν περὶ τούτου λόγος ἀναμεινάτω· ἡμεῖς δὲ τῷ πλῷ βραχύ τι προσδιατρίψομεν. Ἔπλει μὲν οὖν εὐθὺ τῆς Αὐγύπτου. Τοῖς δὲ ναύταις οὐδὲν τοῦ μέλλοντος προγνωσθέν, τρικυμίαν οὗτος αὐτοῖς καὶ πνευμάτων ἀγριωτέρων ἐμβολὰς προαγγέλλει. Αὐτὸν γὰρ ἔφη τὸν πονηρὸν ἰδεῖν ἐπιβάντα μὲν τῆς νεώς, τὰ δὲ τοῦ ἱστοῦ καὶ τὰ τῶν πηδαλίων ἅμα καλῴδια μαχαίρᾳ διατεμόντα, ὅλην τε περισχόντα τὴν ναῦν καὶ περιδινήσαντα, καὶ τῷ βυθῷ πειρώμενον αὔτανδρον καθεῖναι. Οὕτως ἔφη, καὶ παραχρῆμα ὥσπερ ἔκ τινος ἀπόπτου συνθήματος σφοδρά τις λαῖλαψ, τῶν νεφῶν διαπνεύσασα, εἰς κλύδωνα μέγιστον τὸ πέλαγος αἴρει, αὐτοί τε οἱ συμπλέοντες οὐδὲν ἧττον ἐκυμαίνοντο τὰς ψυχάς, καὶ παρὰ τῷ μεγάλῳ στάντες, ηὔχοντο μὲν τῷ Θεῷ, ἐδέοντο δὲ αὐτοῦ ἐπαμῦναι πικρῶς κινδυνεύουσι, καὶ μηδεμίαν ἐλπίζουσι τοῦ κακοῦ λύσιν, ὥσπερ ἀπὸ τοῦ προειπεῖν αὐτὸν καὶ τὸ δύνασθαι βοηθεῖν ἐλπίσαντες. Ὁ δὲ θαῤῥεῖν τε ἐκέλευε καὶ ταχεῖαν αὐτοῖς ἔσεσθαι τὴν ἀπαλλαγὴν τοῦ κακοῦ προεφώνει· διὸ καὶ συνῳδὰ τοῖς ῥηθεῖσι τὰ πράγματα ἠκολούθει, καὶ τὰ λυποῦντα πάντα ὀξέως ἐλύετο. Ἥ τε γὰρ θάλασσα ἡμεροῦτο, καὶ εἰς γαλήνην ἀκριβῆ μετεβάλλετο, καὶ αὐτοὶ τῶν θρήνων εὐθὺς ἐκλαθόμενοι, πρὸς εὐθυμίαν ἐτράποντο. Ἐντεῦθεν Θεῷ μὲν καὶ τῷ αὐτοῦ θεράποντι τὴν χάριν διωμολόγουν. Διπλῇ δὲ τούτων θαυμάζοντες ἦσαν, τῷ τε προειπεῖν ἅμα τὴν τῶν σκυθρωπῶν ἔφοδον, καὶ τῷ λῦσαι ῥᾳδίως τὰ σκυθρωπά.»*

Ἐν Παλαιστίνῃ ὁ Ἅγιος Νικόλαος ἐπεσκέφθη τὸν Γολ-

γοθᾶν. Νυκτός, διανοιγεισῶν αὐτῷ αὐτομάτως τῶν πυλῶν, εἰσῆλθεν εἰς τὸν ναὸν καὶ προσεκύνησε τὸν σωτήριον Σταυρόν:

*«Ἐκεῖθεν ἀπάρας πρὸς τὸν τοῦ Χριστοῦ τάφον, καὶ παρὰ τὸν σεβάσμιον αὖθις Γολγοθᾶν ἔρχεται, οὗ γε καὶ ὁ σωτήριος ὑπὲρ ἡμῶν ἐπάγη σταυρός. Ἔπειτα καὶ τῷ τοῦ θείου σταυροῦ ξύλῳ νυκτὸς πρόσεισι, καὶ προσιόντι αὐτόματοι αἱ τοῦ ἱεροῦ διανοίγονται πύλαι, θερμὴν δὲ τὴν προσευχὴν καὶ συχνὴν ἐκεῖσε προσενεγκὼν τὴν προσκύνησιν, ἀφθονωτέραν καρποῦται τοῦ ἀγαθοῦ Πνεύματος τὴν ἐνέργειαν.»*

Ὁ ἐπισκεφθεὶς τὴν Παλαιστίνην καὶ προσκυνήσας τὸν Τίμιον Σταυρὸν εἶναι ὁ Ἅγιος Νικόλαος τῆς Σιών. Κατὰ τὴν ἐποχὴν τοῦ Ἁγίου Νικολάου Μύρων δὲν εἶχεν εὑρεθῆ ὁ Τίμιος Σταυρός, οὐδὲ ὁ Μέγας Κωνσταντῖνος εἶχεν ἀνεγείρει τὸν ναὸν τῆς Ἀναστάσεως ἐν Ἱεροσολύμοις.

Λάθρᾳ διάγων ὁ Ἅγιος Νικόλαος, ὥστε νὰ διαφεύγῃ τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων, πλέον ἐγίνετο δῆλος διὰ τὴν ἀρετὴν αὐτοῦ. Χηρεύσαντος τότε τοῦ θρόνου τῶν Μυρέων, προβάλλεται οὗτος, διστάζων, θαυματουργικῷ τῷ τρόπῳ ὡς πρόεδρος ὑπὸ τῶν ἐπισκόπων καὶ τῶν λογάδων τοῦ κλήρου. Ἡ σύνοδος τῶν ἐπισκόπων σὺν τῷ λοιπῷ κλήρῳ, ἀφοῦ ἐτέλεσε πᾶν τὸ νενομισμένον ἐπ᾽ αὐτῷ, ἔχρισε τοῦτον ἀρχιερέα τῶν Μυρέων.

Ὁ Ἅγιος Νικόλαος οὐκ ἔφθη ἀναβὰς ἐπὶ τὸν ἀρχιερατικὸν θρόνον καὶ ἤρξατο διωγμὸς τῶν χριστιανῶν. Ὁ Ἅγιος ἐν τῷ βίῳ αὐτοῦ παρουσιάζεται ὡς Μάρτυς, ἀλλ᾽ ἀναίμακτος. Συλλαμβάνεται, βασανίζεται καὶ ἐγκλείεται εἰς φυλακὴν μετ᾽ ἄλλων χριστιανῶν.

Ἀλλὰ θείᾳ βουλήσει ἀνέλαβε τὰ σκῆπτρα ὁ Κωνσταντῖνος καὶ παρῆλθον οἱ Διοκλητιανοὶ καὶ οἱ Μαξιμιανοὶ καὶ οἱ προϊστάμενοι τοῦ ἑλληνισμοῦ. Αἱ φυλακαὶ ἀνεῴχθησαν καὶ ἠλευ-

www.tezaurliturgic.ro

θερώθησαν οἱ δέσμιοι. Ἠλευθερώθη καὶ ὁ Ἀρχιερεὺς Νικόλαος καὶ ἐπέστρεψεν εἰς τὴν ἕδραν αὐτοῦ.

Ἀποκατασταθεὶς ὁ Ἅγιος Νικόλαος, ἀνελάβετο τὴν ἐξάλειψιν τῶν βωμῶν τῆς εἰδωλολατρίας. Μεταξὺ τῶν ἐξαλειφθέντων ἦν καὶ ὁ ναὸς τῆς Ἀρτέμιδος:

*«Τοιαῦτα τῷ ἁγίῳ διαθλοῦντι κατὰ δαιμόνων ἔπεισί τις ἄνωθεν ἔννοια θειοτέρα, μηδὲ τοῦ τῆς Ἀρτέμιδος ἀποσχέσθαι ναοῦ, ὃς κάλλει τε κάλλιστος ἦν, καὶ μεγέθει τῶν ἄλλων μέγιστος, ἀπατηλοῖς δαίμοσι διατριβὴ πολυέραστος. Ὁρμῆς τοιγαροῦν ἐπὶ τοῦτον πλείονος αὐτὸν εἰσελθούσης, καὶ νεανικώτερον αὐτῷ ἐμβαλών, λέων, ὅ φασι, μετὰ ξίφους, οὐχ ὅσοις ὑπερανίστατο καθήρει, ἀλλὰ καὶ αὐτῶν ἐξανέσπα κρηπίδων, ἵνα μηδὲ μικρόν τι τῆς πλάνης ζώπυρον, μηδὲ ῥίζα ὑπολειφθῇ, δυναμένη τοὺς ἄφρονας πρὸς ταύτην παρακαλεῖν, καὶ συνελόντα φάναι, τὰ μὲν εἰς ἀέρα μετέωρα τοῦ ναοῦ τῷ ἐδάφει παρεῖχε, τὰ δὲ κάτω καὶ ὑπὸ γῆν εἰς ἀέρα ἑλίκμα. Οἵ γε μὴν πονηροὶ δαίμονες, ὥσπερ βίαιόν τι καὶ τυραννικὸν ὑφιστάμενοι, δυνατοὶ μὲν ἀνθίστασθαι καὶ προσμένειν οὐδαμῶς ἦσαν, φεύγοντες δὲ ὅμως φωνὰς ἠφίεσαν, καὶ ἀδικεῖσθαι πρὸς αὐτοῦ τὰ ἔσχατα, καὶ τῶν οἰκείων ἀπελαύνεσθαι διετείνοντο.»*

Ὡς ἐπίσκοπον, ἡ ὑστέρα παράδοσις θέλει τὸν Ἅγιον Νικόλαον νὰ συμμετέχῃ εἰς τὴν πρώτην ἐν Νικαίᾳ οἰκουμενικὴν σύνοδον. Ἀλλ᾽ ἡ συμμετοχὴ αὐτοῦ εἰς τὴν σύνοδον δὲν πιστοποιεῖται ὑπὸ τῶν πηγῶν. Παραδίδεται ὅτι κατὰ τὴν σύνοδον ἐρράπισε τὸν Ἄρειον. Διὰ τὴν στάσιν αὐτοῦ οἱ Πατέρες ἐστέρησαν αὐτὸν τῶν ἀρχιερατικῶν παρασήμων καὶ ἐκράτησαν εἰς δεσμωτήριον. Τὴν ἀποκατάστασιν αὐτοῦ ἐποιήσαντο ὁ Χριστός, προσφέρων αὐτῷ Εὐαγγέλιον, καὶ ἡ Θεοτόκος προσφέρουσα αὐτῷ ὠμοφόριον. Ὁ Ἅγιος Νικόλαος εἶναι ὁ Ἀρχιερεὺς

www.tezaurliturgic.ro

ὁ κλητὸς Χριστοῦ. Ἡ οὐράνιος κλῆσις αὐτοῦ εἰς τὴν ἀρχιερωσύνην παρίσταται ἐν τῇ εἰκόνι διὰ μικρογραφιῶν ἐν τοῖς ἄνω ἄκροις, τοῦ Χριστοῦ, προσφέροντος εὐαγγέλιον, καὶ τῆς Θεοτόκου, προσφερούσης ὠμοφόριον. Ἡ παράστασις ἑρμηνεύεται καὶ ὡς κλῆσις εἰς τὴν ἀρχιερωσύνην τοῦ Ἁγίου Νικολάου τῆς Σιών. Ὁ ναὸς τῆς Ἀρτέμιδος ἐν Ἐφέσῳ κατεσκάφη τὸν πέμπτον αἰῶνα, οὐχὶ βεβαίως ὑπὸ τοῦ προγενεστέρου Ἁγίου Νικολάου.

Ὁ Ἀρχιερεύς, οἷα ἁλιεύς, ἐντεταλμένος ὑπὸ τοῦ Χριστοῦ, πονεῖ, ὅπως ἁλιεύσῃ τὰς ψυχὰς τῶν ἀνθρώπων πρὸς σωτηρίαν. Ἡ σωτηρία τῶν ναυτιλλομένων ἐκ τοῦ θαλασσίου κλύδωνος ὑπὸ τοῦ Ἱεράρχου Νικολάου τὴν σωτηρίαν τῶν ψυχῶν σημαίνει:

*«Ναῦται γοῦν ποτε κλύδωνι χαλεπῷ περιτυχόντες, ὥστε τὴν ἐν χερσὶν ἅπασαν ἀπειπεῖν σωτηρίαν, ἐπειδὴ τὸν μέγαν Νικόλαον ὀξεῖαν ἐν τοῖσδε τοῖς παρ᾽ ἐλπίδα βοήθειαν ὑπὸ τῆς φήμης ἐμάνθανον, ὅλοι τῆς πρὸς αὐτὸν ἐλπίδος ἐκκρεμεῖς ἦσαν, τοῦτόν τε νοερῶς ἐξεκαλοῦντο κατὰ τοῦ κλύδωνος, καὶ αὐτῷ τὰς χεῖρας ἐκθύμως ὤρεγον, καὶ μόνης ἐξείχοντο τῆς παρ᾽ αὐτοῦ βοηθείας. Καὶ ὃς οὐδὲ βραχὺ μελλήσας ἐπιπηδήσας τῇ νηὶ ἐπάνω, καὶ φανερὸς τοῖς ἐκεῖ γενόμενος ὀφθαλμοῖς, «Ἰδού, κεκλήκατέ μέ», φησι, «καὶ βοηθήσων ὑμῖν πάρειμι.» Εἶτα καὶ θαῤῥεῖν αὐτοῖς διακελευσάμενος τοῦ πηδαλίου τε ἐλαμβάνετο ὑπὸ τὴν πάντων ὄψιν, καὶ ταύτῃ τὴν ναῦν ἰθύνειν τρανῶς ἐβλέπετο, πρὸς τούτοις καὶ τῇ θαλάσσῃ ἐπιτιμήσας, τὰς τρικυμίας αὐτοῖς καὶ τοὺς στροβίλους καὶ τὰ ἄλλα τὰ ἐκ τοῦ χειμῶνος κοιμίζει κακά, ὥσπερ δὴ καὶ ὁ ἐμὸς Ἰησοῦς πρότερον, καὶ οὕτως ἥμερον καὶ εὐγάληνον ἐκείνοις τὸν πλοῦν δίδωσιν. Ὡς οὖν πράῳ τῷ πνεύματι φερομένους ἡ χέρσος αὐτοὺς ἐξεδέχετο,*

*τῆς νηὸς ἀποβαίνοντες, τὸν διασώσαντα τοῦ κινδύνου ἠπείγοντο φθάνειν. Εἶτα μαθόντες εἰς τὴν ἐκκλησίαν αὐτὸν οἴχεσθαι, ἀπίασι παρὰ τὸν ναόν. Ὁ μὲν οὖν μέρος ἑαυτὸν τοῦ κλήρου ποιήσας, εἱστήκει τοῖς πολλοῖς ὅμοιος· οἱ δὲ ὡς ἐπέβαλον αὐτῷ τὰς ὄψεις μήπω τούτοις γνωσθέντι πρότερον, ἀπ᾽ αὐτῆς γοῦν τῆς ἐν τῷ πελάγει ἐπιφανείας ἀνεγίνωσκόν τε καὶ εἰς ἐκεῖνον εὐθὺς ἀνέφερον, καὶ προσδραμόντες, προσέπιπτον αὐτοῦ τοῖς ποσί, καὶ τοῖς χείλεσι τοῦτο μὲν ἠσπάζοντο, τοῦτο δὲ καὶ ἐφθέγγοντο εὐχάριστόν τι, καὶ δάκρυσιν ἡδονῆς κεκερασμένον, ὧν τε ἔπαθον μιμνησκόμενοι, καὶ ὅπως ῥυσθεῖεν σφόδρα περιχαρῶς ἐξηγούμενοι· ἔπειτα καὶ τοῖς παροῦσι κατὰ μέρος τὰ τοῦ πράγματος διηγοῦντο.»*

Βαθύτατα γηράσας ὁ Ἅγιος Νικόλαος, οὕτως ἐναρέτως βεβιωκὼς καὶ οἷόν τι μύρον ἥδιστον μυρίσας τὰ Μύρα, κατέλιπε τὸν ἐπίγειον βίον. Τὸ τίμιον σῶμα αὐτοῦ, φερόμενον ὑπὸ χειρῶν ἐπισκόπων καὶ λαμπροφορίᾳ τιμώμενον, κατετέθη ἐν τῷ ναῷ τῶν Μύρων, προχέον μύρον, ἴαμα νόσων ψυχικῶν καὶ σωματικῶν. Ἡ χάρις τοῦ Ἁγίου ἐπισκέπτεται τοὺς ἐπικαλουμένους αὐτὸν ἐν τῷ κλύδωνι τοῦ βίου. Ἡ κατάπαυσις τοῦ κλύδωνος τὴν ἁγιαστικὴν ἐνέργειαν τῆς θείας χάριτος καὶ τὴν ἀναίρεσιν τῆς πλεκτάνης καὶ ἐπηρείας τοῦ πονηροῦ σημαίνει:

*«Τῶν γοῦν ἁπανταχόθεν γῆς ἐκεῖ συῤῥεόντων καὶ ἀφθόνου μεταλαγχανόντων τῆς χάριτος, συνέβη πόῤῥω τινὰς τῆς Λυκίων διῳκισμένους, καὶ ὁδῷ συχνῶν ἡμερῶν ἀπέχοντας, ἔρωτι ληφθῆναι χρηστῷ, τὸ τοῦ ἁγίου μνῆμα καταλαβεῖν, ἀρύσασθαί τε τοῦ μύρου καὶ κατατρυφῆσαι τοῦ ἁγιάσματος. Καὶ δὴ τὰ σιτία ἐνθέμενοι τῇ νηΐ, πρὸς τὴν Λυκίαν ἀποπλεῖν ἤδη ἔμελλον. Πονηρὸν δὲ δαιμόνιον ὅ, τῷ βωμῷ πάλαι τῆς Ἀρτέμιδος ἐνοικοῦν, ὁ πολὺς Νικόλαος ἐκεῖθεν μετὰ τῶν ἄλλων ἀπώσατο, εἰς*

www.tezaurliturgic.ro

*ἔδαφος τὸν βωμὸν κατασείσας· τοῦτο δὴ τὸ πονηρὸν πνεῦμα τὸν πλοῦν ἐκεῖνον αἰσθόμενον, καὶ ἅμα μὲν μνησικακοῦν τῷ ἁγίῳ τῆς τε τοῦ νεὼ καταστροφῆς καὶ τῆς οἰκείας ἐκεῖθεν ὑπερορίας· καὶ ὅση δύναμις ἀντιβλάψαι σπουδάζον, ἅμα δὲ καὶ τοῦ ἁγιασμοῦ τοὺς ἄνδρας ἀποστερῆσαι βουλόμενον, καὶ τὸν πόθον ἀμβλῦναι, γυναῖκα ὑποκριθέν, ἄγγος τι πλῆρες ἐλαίου μετακομίζειν ἐῴκει, καὶ αὐτὸ προθυμεῖσθαι μὲν ἀποφέρειν ὡς τὸν τοῦ ἁγίου τάφον, δεδοικέναι δὲ τὸ πολὺ τοῦ πλοῦ, καὶ τοῦτο τῆς ἐπιθυμίας εἴργεσθαι. «Πῶς γὰρ καὶ τολμητόν», φησι, «γυναικὶ πέλαγος τοσοῦτον; Δέομαι τοιγαροῦν ὑμῶν, τὸ ἄγγος τουτὶ λαβόντας, μετακομίσαι τε παρὰ τὸν τάφον, καὶ τῷ τοῦ ἁγίου λύχνῳ τὸ ἔλαιον ἐμβαλεῖν.» Τοιαῦτα τὸ βδελυρὸν ἐκεῖνο δαιμόνιον ἔλεγέ τε καὶ ἐδεῖτο περὶ τοῦ ἄγγους τῶν φιλοθέων. Τὸ δὲ ἄρα πονηρά τις εἰπεῖν ἐνέργεια, καὶ ὅλως ἀξία τοῦ δεδωκότος. Πείθει τοίνυν πολλὰ δεηθέν. Καὶ λαβοῦσιν αὐτὸ μετὰ χεῖρας, ἐπεὶ ὁ τῆς πρώτης ἡμέρας αὐτοῖς πλοῦς ἤνυστο, σὸν ἄρα καὶ τοῦτο ἔργον, μέγιστε τοῦ Θεοῦ θεράπον καὶ δεξιὲ τοῖς κινδυνεύουσι παραστάτα. Νύκτωρ ἑνὶ τῶν συμπλεόντων ἐπιφανεὶς καθεῖναι κατὰ βυθοῦ τὸ ἄγγος κελεύει. Ὁ δὲ καὶ τοῖς ἄλλοις ἐσήμαινε, καὶ παραυτίκα, ὄρθρου διαναστάντες, τὸ κελευσθὲν ἐποίουν. Τὸ γοῦν πεπονηρευμένον ἑτοίμως, ὅπερ ἦν, ἀπηλέγχετο. Φλὸξ γὰρ εὐθὺς μετέωρός τε εἰς ἀέρα ἤρετο, καὶ ὀδμαὶ δυσώδεις, τὸ ὕδωρ αὐτῷ διέσχε κάτωθέν τε ἀνακαχλάσαν, βρασμώδεις ψόφους ἀνεδίδου, καὶ σπινθῆρες αἱ σταγόνες ἦσαν, ἥ τε ναῦς κλύδωνι τοσούτῳ περιληφθεῖσα, ὀλίγου ἤδη καὶ κατεδύετο, καὶ οἱ ἄνδρες τῷ παραλόγῳ τοῦ κινδύνου κατάφοβοι γεγονότες, ἀπεγνωκός τι καὶ ἄγριον ἀπέβλεπον εἰς ἀλλήλους, καὶ ὅλως ἐν ἀπόρῳ ἅπαντα τὰ ἐκείνων ἦν. Ἀλλ᾽ ὁ πόῤῥωθεν αὐτῶν τῆς σωτηρίας κηδόμενος, καὶ τὸ ἄγγος ἀφεῖναι κατὰ βυθοῦ κελεύσας, σὺ αὐτὸς κἀνταῦθα ἐπιφανείς,*

www.tezaurliturgic.ro

*τοῦ χαλεπωτάτου κινδύνου παραδόξως ῥύῃ. Ὁμοῦ τε γὰρ ἡ ναῦς βραχὺ τοῦ τόπου διέστη, καὶ τοῦ δέους αὐτοὶ ἀνείθησαν· καὶ αὔρα τις περιέπνευσε τούτους μαλακὴ καὶ εὐώδης, καὶ ἥσθησαν τῇ πνοῇ, καὶ τὰς ψυχὰς ὡς ἥδιστα διεθέτησαν.»*

Ἡ μεταμόρφωσις τοῦ δαιμονίου πρὸς ἐξαπάτησιν ἀπαντᾶται καὶ ἐν ταῖς πράξεσι τοῦ Ἁγίου Γεωργίου. Ἀνάλογον περιστατικὸν ἀπαντᾶται καὶ ἐν ᾄσματι τῆς Παναγίας τοῦ Κύκκου, καθ᾽ ὃ μισόχριστος ἀπέστειλεν, ὡς ἀφιέρωμα, εἰς τὴν μονὴν τεραστίαν λαμπάδα, ἐν ᾗ ἔκρυψε πυρῖτιν, ἵνα κατακαύσῃ αὐτήν. Ἡ Παναγία ἀπεκάλυψε κατ᾽ ὄναρ νεαρῷ δοκίμῳ τὴν ἐπιβουλὴν τοῦ ἐχθροῦ κατὰ τῆς μονῆς, παραγγείλασα, ὅπως πληροφορήσῃ τὸν ἡγούμενον πρὸς ἐξουδετέρωσιν αὐτῆς.

Τὸ τίμιον σῶμα τοῦ Ἁγίου Νικολάου εὑρίσκετο ἐν τῇ βασιλικῇ τῶν Μύρων, ἐκπέμπον μύρον, τὸ μάννα τοῦ Ἁγίου Πνεύματος. Ἰταλοὶ ἔμποροι, θέλοντες νὰ ἔχωσι προστάτην Ἅγιον ἐν τῇ θαλάσσῃ, ἔκλεψαν τὸ σῶμα τοῦ Ἁγίου Νικολάου καὶ μετεκόμισαν εἰς Μπάρι τῇ ἐνάτῃ Μαΐου 1087. Ὁ Ἅγιος ἐτιμᾶτο ἤδη ἐν Ἀπουλίᾳ ὑπὸ τῶν ἐκεῖ Ἑλλήνων. Ὠκοδομήθη νέα ἐκκλησία καὶ ὁ πάπας Οὐρβανὸς ὁ Β´ παρευρίσκετο κατὰ τὴν κατάθεσιν τοῦ σώματος αὐτοῦ. Τὸ μάννα τοῦ Ἁγίου Νικολάου ἀνέβλυζε καὶ ἐκ τοῦ νέου τάφου αὐτοῦ. Τὸ Μπάρι ἐγένετο κέντρον προσκυνήματος. Οἱ πλέοντες πρὸς προσκύνησιν τῶν Ἁγίων Τόπων ἀνεχώρουν ἐκ τοῦ λιμένος τοῦ Μπάρι, ἵνα ἔχωσιν εὐπλοΐαν παρὰ τοῦ Ἁγίου Νικολάου. Πλήθη Ῥώσσων προσκυνητῶν ἔφθανον εἰς Μπάρι, ἵνα προσκυνήσωσι τὸν Ἅγιον Νικόλαον καὶ ἀναχωρήσωσιν εἰς τοὺς Ἁγίους Τόπους. Ἡ Ῥωσσία εἶχεν εἰς τὴν πόλιν ἐκκλησίαν καὶ ξενῶνα. Ἡ Ῥωσσικὴ Ἐκκλησία συμπεριέλαβεν ἐν τῷ ἑορτολογίῳ αὐτῆς καὶ τὴν μεταφορὰν τοῦ σώματος τοῦ Ἁγίου Νικολάου εἰς Μπάρι.

Ὁ Ἅγιος Νικόλαος τιμᾶται ἐν τῇ Ἀνατολῇ ὡς προστάτης τῶν ναυτιλλομένων, ἐκ τοῦ θαύματος τῆς σωτηρίας ὑπ᾽ αὐτοῦ κινδυνευόντων ἐν θαλάσσῃ, καὶ ἐν τῇ Δύσει ὡς προστάτης τῶν παίδων, προσφέρων αὐτοῖς δῶρα, ἐκ τῆς προσφορᾶς πηριδίων χρυσοῦ εἰς τὰς τρεῖς πτωχὰς κόρας. Δῶρα προσεφέροντο τοῖς παιδίοις κατὰ τὰ Χριστούγεννα κατὰ τὰ δῶρα, τὰ προσφερθέντα ὑπὸ τῶν Μάγων τῷ Θείῳ Βρέφει, τῇ πρώτῃ τοῦ ἔτους ἐπ᾽ εὐετηρίᾳ καὶ τῇ ἑορτῇ τῶν Θεοφανίων, ἅτινα συνεορτάζοντο μετὰ τῆς Γεννήσεως. Ἐν τῇ Δύσει ἀνέλαβε τὴν προσφορὰν τῶν δώρων κατὰ τὴν παραμονὴν τῶν Χριστουγέννων ὁ Ἅγιος Νικόλαος, γενόμενος Σάντα Κλάους. Ὁ Δυτικὸς Σάντα Κλάους, φέρων πήραν μετὰ δώρων, ὑπερίπταται τῶν στεγῶν ἐπὶ ἑλκήθρου, συρομένου ὑπὸ ταράνδων. Οἱ Ἕλληνες ἐταύτισαν τὸν Σάντα Κλάους πρὸς τὸν Ἅγιον Βασίλειον.

Ὁ Ἅγιος Νικόλαος κατέχει τὴν πρώτην θέσιν ἐν ταῖς παραστάσεσι σφραγίδων Βυζαντινῶν ἀρχιερέων, ὡς πρότυπον ἀρχιερέως. Εἶναι πολιοῦχος Ἅγιος τῆς Ἀπουλίας, τῆς Αὐστρίας, τοῦ Βελγίου, τῆς Γαλλίας, τῆς Γερμανίας, τῆς Ἑλλάδος, τῆς Λωῤῥαίνης, τῆς Νεαπόλεως, τῆς Ὀλλανδίας, τῆς Ῥωσσίας, τῆς Σικελίας καὶ παρεσχάτως καὶ τῶν Ἡνωμένων Πολιτειῶν.

Ὁ βίος τοῦ Ἁγίου Νικολάου, ἐπισκόπου Μύρων, τρέχει οὕτω:

*«Σοφόν τι χρῆμα ζωγράφων χείρ, καὶ δεινὴ μὲν μιμήσασθαι τὴν ἀλήθειαν, δεινὴ δὲ τῶν πραγμάτων ἐναργῆ προθεῖναι τὰ σύμβολα, σοφώτερον δὲ ἄρα λόγος, καὶ πολλῷ γραφικῆς ἐναργέστερον δεῖξαί τε ὃ βούλεται, καὶ ὀφθαλμοῖς τὸ πρᾶγμα παραβαλεῖν καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ πλέον ἐρεθίζειν οἶδε καὶ ζήλου τι κέντρον ἐνιέναι, καὶ διανιστᾶν πρὸς τὴν μίμησιν. Αὐτίκα γοῦν ὁ τῶν κατὰ Θεὸν πολιτευσαμένων βίος, τῷ λόγῳ διατυπούμενος, πολλοὺς ἂν ἐφελκύσηται καὶ διαθερμάνῃ πρὸς ἀρετήν,*

www.tezaurliturgic.ro

*καὶ ὅλῳ αὐτοὺς πρὸς τὸν ὅμοιον ὑποθήξει ζῆλον, ὥσπερ δὴ καὶ ὁ τοῦ θείου Πατρὸς Νικολάου, καὶ τούτου γε μᾶλλον εἴπερ τινός, ὅσῳ καὶ ἀκοὴν πλέον ἡδύνει καὶ ψυχὴν εὐφραίνει, καὶ πρὸς τὴν τῶν καλῶν ἐργασίαν διανιστᾷ. Τὰ ἐκείνου τοίνυν καὶ διηγητέον ἡμῖν, καὶ τῷ λόγῳ περιληπτέον εἰς δύναμιν, καὶ πάλαι μὲν ἔκδηλα τοῖς πολλοῖς ὄντα, καὶ οὐδὲ μιᾶς οὐδ᾽ ὅλως ἱστορίας δεόμενα, πλὴν ἀλλ᾽ ὅσον ἀναλαβεῖν αὐτὰ καὶ εἰς μνήμην ἀνενεγκεῖν σήμερον, καὶ τὰς τῶν φιλαρέτων ὑμῶν εὐφρᾶναι ψυχάς. «Ἐγκωμιαζομένου γάρ», φησι, «δικαίου εὐφρανθήσονται λαοί.»*

*Τῷ μεγάλῳ τοιγαροῦν τούτῳ καὶ θαυμασίῳ Πατρὶ Πάταρα μὲν ἡ πατρίς, πόλις Λυκίας καὶ τῶν ἐπιφανῶν πρότερον. Πατέρες δὲ τὰ μὲν εἰς γένος τῶν εὖ γεγονότων, οὐσίαν δὲ αὐτάρκη, καὶ ὅση μὴ περιττή, κεκτημένοι, ἄγευστοι κοσμικῆς δόξης καὶ ἀπίστου περιφανείας, καὶ τῷ παιδὶ καλὸς τύπος τοῦ μετρίου προσκείμενοι, περὶ μόνον σχολάζειν τὸ ἀγαθόν, καὶ τοῦτο ἐκ παντὸς τρόπου μεταδιώκειν βουλόμενοι. Οὗτοι παρὰ τὰς διεξόδους τῶν ὑδάτων τῆς εὐσεβείας πεφυτευμένοι, ὁμοῦ τε καρπὸν ἐν καιρῷ διδοῦσι τὸν ὡραιότατον, ὁ θεῖος οὗτος Νικόλαος ἦν, καὶ ὁμοῦ πεδεῖται τὰς ὠδῖνας ἡ μήτηρ, ἄγονος ἐξ ἐκείνου μείνασα, οἱονεὶ τῆς φύσεως ἀπαγορευούσης τὸ μὴ τοιοῦτον ἄλλον προενεγκεῖν δύνασθαι. Ἀλλὰ τοῦτον δὴ πρῶτον ἅμα καὶ τελευταῖον ἡ μήτηρ τὸν εὐγενῆ κλάδον εἰς φῶς ἐνεγκοῦσα, πολύχουν ὅμως σὺν τῷ συζύγῳ τῷ πνεύματι δέδωκε τὸν καρπόν, τὸν τῶν ἀρετῶν σωρόν, τὴν τῶν ἀγαθῶν θάλασσαν, τὸν θαυμαστὸν ἐν πᾶσι δηλαδὴ Νικόλαον. Ἐκ τοιούτων αὐτὸς γεννηθείς, ὡς ἐοικέναι τῷ σπέρματι τὸν καρπόν, δεῖγμα τῆς πρὸς τὸν Βαπτιστὴν οἰκειότητος τὴν τῆς γεννησαμένης παρέχει στείρωσιν. Καὶ γὰρ ὁ μὲν μητέρος ὠδῖνας διαλύει τεχθείς· οὗτος δὲ κλείει ταύτας, ὥσπερ ὁ λόγος ὕστερον. Ἐπειδὴ δὲ καὶ θηλάζειν αὐτὸν κατὰ βρέφος ἐχρῆν, καὶ τῷ μητρῴῳ πα-*

www.tezaurliturgic.ro

*ρακεῖσθαι μαζῷ, ἐπισημαίνεται κἀνταῦθα Θεὸς ὁποῖος ἔσται Νικόλαος τὴν φρονοῦσαν ἡλικίαν ἀπολαμβάνων. Ὅλης μὲν γὰρ ἑβδομάδος ὅσα καὶ βρέφος τῇ θηλῇ ἐχρῆτο· ἐπειδὴ δὲ ἡ τετρὰς τῶν ἡμερῶν, ὡς δὲ καὶ ἡ Παρασκευὴ παρῆν, ἅπαξ ἐν ἑκατέρᾳ τούτων μετεῖχε γάλακτος, καὶ ταῦτα κατὰ τὸν τῆς ἑσπέρας καιρόν, ὑπὸ κανόνι τελείῳ καὶ πρὸ τῆς παιδικῆς τιθηνούμενος ἡλικίας, καὶ τὸ πρὸς ἐγκράτειαν οἰκείως ἔχειν ὑποφαίνων ἐκ προοιμίων.*

*Οὕτω τοιγαροῦν ἀναγόμενος, καὶ τὰ χρηστὰ τῶν ἠθῶν τὰ μὲν αὐτῶν ἐκείνων ἀποματτόμενος τῶν πατέρων, τὰ δὲ φύων καὶ γεωργῶν αὐτὸς οἴκοθεν, ὥσπερ τις ἀγαθὴ γῆ καὶ γενναία, ἡλικίας τε ἤδη ἥπτετο καὶ γραμματιστῇ παρεδίδοτο. Ὁ δὲ μεγέθει τε φύσεως καὶ διανοίας ὀξύτητι μικρὸν ἦν ἀκωλύτως δι᾽ ἀέρος θέων, πλεῖστα τῶν παιδευμάτων ἐν βραχεῖ καρπωσάμενος. Τὸ μὲν οὖν δημοτικὸν τοῦτο καὶ ἀγοραῖον διέπτυσεν, ἑταιρείας δὲ ἀκόσμους, φημί, καὶ ὁμιλίας ἀμαθεῖς ἐκκλίνας, καὶ τὸ γυναιξὶ δὲ συλλαλεῖν, ἢ καὶ διδόναι ὀφθαλμὸν ὅλως ἀπαγορεύσας, τῆς ἀληθοῦς ἐπεμέλετο σωφροσύνης, εἶτα καὶ ταῖς ἔξω διατριβαῖς ἅπαξ χαίρειν εἰπών, τοῖς θείοις ἐσχόλαζεν οἴκοις, οἶκον αὐτὸς ἑαυτὸν ἄξιον τῷ Δεσπότῃ κατασκευάζων. Ἐπειδὴ δὲ πρός τε τὴν τῶν θείων Γραφῶν γνῶσιν καὶ τῶν περὶ Θεοῦ δογμάτων ἀρκούντως διαπεπόνητο, μυρίαις τε χάρισιν ἐκοσμεῖτο, καὶ τὴν προσήκουσαν ἱερεῦσιν ἀκρίβειαν ἀτεχνῶς ἔσῳζεν, οὐ μὴν ἀλλὰ καὶ τὸ ἦθος αὐτῷ ἔτι νεάζοντι στάσιμόν τε καὶ πρεσβυτικὸν ἦν, πρεσβύτερον αὐτὸν ἠξίουν ψηφίζεσθαι. Ὥσπερ γὰρ τὸ γῆρας σῷζον τὴν προσήκουσαν σωφροσύνην ἔστιν ὅτε καὶ διαβάλλομεν, οὕτω δὴ καὶ νεότητα κρείττω γενομένην τῶν οἰκείων ὁρμῶν, καὶ γήρως εὐκοσμίαν συντηρεῖν δυναμένην ἀγάμεθά τε προσηκόντως καὶ πολλῶν ἐπαίνων ἀξίαν κρίνομεν. Γνώμῃ τοίνυν τοῦ πρὸς πατρὸς αὐτοῦ θείου ὑπὸ τοῦ*

τηνικαῦτα τῆς Μυρέων προέδρου χειροτονεῖται πρεσβύτερος, καὶ τῷ δεδωκότι Θεῷ ἀντιδίδοται, ὁ δῶρον ὄντως εὐχῆς τοῖς γεγεννηκόσιν αὐτὸν γενόμενος. Ὁ μέντοι ἀρχιερεὺς τῆς Μυρέων οὗτος θείου Πνεύματος εὐμοιρεῖν ἠξιωμένος, τὴν τοῦ νέου ψυχὴν ἀρεταῖς κατάκομον καθορῶν, οὐδὲν ἐπιδοιάσας καὶ περὶ τῆς μελλούσης αὐτῷ πλεονάσαι χάριτος προηγόρευσεν οὕτως εἰπών, ὡς ἔσται μὲν εὐμενὲς λυπουμένων παραμύθιον, ποιμανεῖ δὲ ψυχάς, καὶ πεπλανημένους μὲν πρὸς νομὰς τῆς εὐσεβείας ἀνακαλέσεται, σωτὴρ δὲ τοῖς ἐν κινδύνοις πᾶσιν ἀναφανεῖται· ἅπερ εἰ τῷ χρόνῳ ὕστερον διέβη, τὰ ἑξῆς τοῦ λόγου δηλώσει.

Πῶς δ᾽ ἂν εἰς γνῶσιν ἔλθοι καλῶς ὁπόση μετὰ τὴν χειροτονίαν αὐτῷ πρὸς τὴν τῶν ἀρετῶν ἐργασίαν ἐπίδοσις ἦν; ἀγρυπνίαις τε καὶ νηστείαις καὶ προσευχαῖς οἵαις ἑαυτὸν ἐδεδώκει; ὥστε καθαρὰν καὶ ἄχραντον διασώσασθαι τὴν ἱερωσύνην, ἐξ ὧν τὴν τῶν ἀσωμάτων διαγωγὴν ἐν σώματι θνητῷ κατορθώσειν ἐφιλονίκει, καὶ παρὰ τοῦτο καὶ τὰ μεγάλα περὶ αὐτοῦ οἴεσθαι τοῖς πολλοῖς ἐδίδου. Ὡς δὲ καὶ ὡς πρὸς μνήμην ἐλθὼν ἤδη θεῖος αὐτοῦ, Νικόλαος δὲ καὶ αὐτῷ ἡ κλῆσις, εἰς τοῦτο ἀρετῆς ἥκοντα τὸν νέον ἑώρα, τήν τε τοῦ θείου ναοῦ προστασίαν, ὃν πρότερον ἐπ᾽ ὀνόματι τῆς ἁγίας Σιὼν ἐκεῖνος ἐδείματό τε καὶ εἰς μοναστήριον συνεστήσατο, αὐτῷ ἐγχειρίζει, καὶ συνεργοὺς τῷ νέῳ τοῦ ἐγχειρήματος, ὅσους καὶ τῆς ἀρετῆς ᾔδει ποιεῖται, ὥστε καὶ συνδιαφέρειν αὐτῷ τὰς ἐκκλησιαστικὰς φροντίδας, καὶ τῶν ἱερῶν ἐπιμελέστατα προνοεῖν. Καὶ μὴν δή ποτε καὶ τοῦ θαυμαστοῦ τούτου Νικολάου εἰς Παλαιστίνην ἀπάραντος, ἐφ᾽ ᾧ τοὺς ἁγίους ἱστορῆσαι τόπους, ὥσπερ ὁ λόγος μετὰ ταῦτα δηλώσει, οὗτοι τὸν ἐκείνου τόπον ἐπλήρουν, καὶ τὰ τοῦ ναοῦ καὶ τὰ τῆς οἰκονομίας οὕτως ἐνήργουν, ὥσπερ ἂν εἰ ἐτύγχανε ἐκεῖνος παρών. Ἀλλὰ ταῦτα μὲν ὕστερον.

Ἄρτι δὲ τῶν πατέρων αὐτοῦ τὸν βίον ἀπολιπόντων, κληρονό-

www.tezaurliturgic.ro

μος τῆς οὐσίας οὗτος τῆς ἐκείνων καταλειφθείς, καὶ ὅσα εἰκὸς υἱὸν φιλοπάτορα ἐπὶ πατέρων ἀποδημίᾳ φιλοτέκνων ἐπιδεῖξαι διατελέσας, οὐ πρὸς τὸν κλῆρον ἀπεῖδεν εὐθύς, ὥσπερ ἄν τις ἄλλη πρὸς φιλοχρηματίαν ὁρῶσα ψυχή, οὐδ᾽ ὅπως ἂν αὐξηθείη ὁ πλοῦτος αὐτῷ καὶ διαμείνοι ῥέων ἀεί, φροντίδα γοῦν τινα καὶ σμικρὰν ἔθετο. Πάλαι γὰρ κοσμικὰς ἀπαγορεύσας ἐπιθυμίας ἔσπευδεν ἀδελφὰ δεῖξαι τῷ μετὰ ταῦτα βίῳ τὰ τοῦ βίου προοίμια, σύμφωνόν τε τῇ ἀρχῇ καὶ τὸ ἑξῆς ἅπαν ἐπιθεῖναι. Ἤκουε δὲ καὶ τοῦ θείου Δαυΐδ, «Πλοῦτος ἐὰν ῥέῃ», λέγοντος, «μὴ προστίθεσθε καρδίᾳ», καὶ τοῦ σοφοῦ Σολομῶντος, «Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σε, καὶ μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ», καὶ διὰ τοῦτο τὰς ἑαυτοῦ χεῖρας οὐ πρὸς χρημάτων παρεῖχε συναγωγῆς· ἀλλ᾽ αὐτὸς μᾶλλον χεὶρ ἦν ἄνετος παντὶ δεομένῳ, κοινὴ πανδαισία καὶ ποταμὸς πολλῷ ῥέων καὶ ἡσύχῳ τῷ ῥεύματι, ἐκεῖνο διὰ τῆς εὐποιίας τὸ δαψιλές, τοῦτο διὰ τὸ λανθάνον τῆς μεταδόσεως. Ἀλλὰ γὰρ ἄξιον ἤδη καὶ τῶν κατὰ μέρος ἐπιμνησθῆναι, ἵν᾽ ὁ πλοῦτος αὐτοῦ τῆς χρηστότητος ἀκριβέστερον γνωρισθῇ.

Ἀνήρ τις ἄδοξος ἐξ ἐνδόξου καὶ πένης ἐκ πλουσίων γενόμενος, οἷα δὴ τὸ τοῦ βίου περιπετὲς καὶ ἀνώμαλον σχεδιάζειν οἶδεν, ἐπειδὴ τοῖς ὅλοις διαπορῶν ἦν, καὶ αὐτῶν ἤδη τῶν ἀναγκαίων ἐπιλιπόντων αὐτόν, φεῦ! Μέχρι καὶ τίνων ἡ ἔνδεια βιάζεται προχωρεῖν! γνώμην ἔσχε τὰς θυγατέρας (τρεῖς δὲ ἦσαν αὐτῷ πάγκαλοι καὶ διαφερόντως ἀγαθαὶ τὴν ὄψιν) μισθοῦ πρὸς ἀκολασίαν ἐκδοῦναι τοῖς βουλομένοις, καὶ τὸ ἐντεῦθεν αὐταῖς ποριζόμενον ἑαυτοῦ τε καὶ τῶν παίδων ποιεῖσθαι τροφήν, ὥσπερ ἐκ βορβόρου φασὶ βορβορολογεῖν βουλόμενος, καὶ πόρον ἑαυτῷ πορίζειν, ποίας ἄρα πενίας οὐ χαλεπώτερον; Τὸ γὰρ ἀνδράσιν αὐτὰς νομίμῳ συναρμόσαι γάμῳ ἠβούλετο μέν, οὐκ ἠδύνατο δὲ διὰ τὸ πολὺ τῆς πενίας ὑπὸ πάντων εὐθὺς

*ἀτιμαζομένας, τοῦ σωμάτων ἔρωτος ἐνταῦθα πρὸς χρημάτων ἔρωτα τῶν δευτερείων ἀξιουμένου. Ὁ μὲν οὖν ἐν τούτοις ἦν, καὶ τὴν πονηρὰν ταύτην ὠδίνων ἔννοιαν· ἀλλὰ καὶ πρὸς ἔργον ἤδη ἐχώρει. Οὐδὲν γὰρ ἀνάγκης φασὶν ἰσχυρότερον. Τί δὲ σύ, ὁ φιλάνθρωπος, ὁ ἀγαθὸς ἐν πᾶσι Θεός, ὁ ταῖς ἡμῶν ἀνάγκαις φιλανθρώπως ἐπικαμπτόμενος, τίνα μηχανὴν εὑρίσκεις, καὶ τίνα δὴ θεραπείαν τοῦ ἀμάχου τούτου κακοῦ; Εἰς ὦτα πεσεῖν τὸ γινόμενον τῷ θεράποντί σου παρασκευάζεις, καὶ ἄγγελον αὐτὸν ἀγαθὸν ἀνδρὶ καὶ κατὰ σῶμα πιεζομένῳ καὶ περὶ ψυχὴν κινδυνεύοντι θαυμαστῶς ἐπιπέμπεις, ὁμοῦ τε τὴν πενίαν παραμυθούμενον, καὶ τῆς πρὸς ἀπώλειαν αὐτὸν φερούσης ἀπάγοντα. Πλὴν ὅρα μοι καὶ τοῦτο τῆς μεγάλης τοῦ ἁγίου ψυχῆς, πῶς συνάπτει φρονήσει τὸ συμπαθές. Οὐ γὰρ ὑπέμεινε τῷ ἀνδρὶ προσελθεῖν, οὐδὲ περὶ τούτου καὶ βραχύ τι διαλεχθῆναι, οὐδὲ τὴν εὐεργέτιδα αὐτῷ καὶ μόνον παραδεῖξαι χεῖρα, ἃ σύνηθες μικροῦ πᾶσι ποιεῖν τοῖς μικροψύχοις τὸν ἔλεον. Ἤδει γὰρ ὅτι φορτικὰ ταῦτα τοῖς ἐκ πλούτου καὶ δόξης εἰς τὸ ἀπορεῖν κατενηνεγμένοις, ἐντρέποντά τε τὰς ἐκείνων ψυχάς, καὶ εἰς μνήμην αὖθις ἐμβάλλοντα τῆς προτέρας εὐημερίας. Ἀλλ᾽ ὥσπερ ὑπερβαλέσθαι φιλονικῶν καὶ τὴν εὐαγγελικὴν ἐκεῖνος παραγγελίαν, τὸ μὴ πιστευθῆναι τὴν ἀριστερὰν τὸ μυστήριον, οὐδὲ αὐτὸν ἠβουλήθη τὸν εὖ πάσχοντα μάρτυρα τοῦ πραττομένου παραλαβεῖν· οὕτω μακρὰν ἀπεῖχε τοῦ ἥττων εἶναι φιλοδοξίας· ἐπεὶ καὶ μᾶλλον αὐτὸς ἀγαθόν τι ποιῶν ἢ ἕτεροι πονηρὰ δρῶντες τὸ λαθεῖν ἔσπευδεν. Ἀμέλει καὶ ἁδρὸν ἀπόδεσμον εἰληφὼς χρυσίου, ἀωρὶ τῶν νυκτῶν ἔξεισι, καὶ πρὸς τὴν οἰκίαν τοῦ ἀνδρὸς ἐπιστάς, τὸ μὲν χρυσίον ἔκ τινος τῶν θυρίδων εἴσω καθίησιν, αὐτὸς δὲ ᾗ ποδῶν εἶχεν εὐθὺς ἐπάνεισιν, ὥσπερ αἰσχυνόμενος ὀφθῆναι μεταδιδούς.*

*Ἕωθεν οὖν ὁ ἀνὴρ ἀναστάς, καὶ τὸ χρυσίον εὐθὺς ἐφευρών,*

*ἔπειτα τὸν δεσμὸν λύσας, ἔκπληκτος ἦν, καὶ ἑαυτὸν μᾶλλον ἐξηπατῆσθαι ᾤετο, δεδιὼς μὴ οὐχὶ χρυσὸς ᾖ τὸ ὁρώμενον, ἀλλ' ἀπάτη. Πόθεν γὰρ ἂν καὶ ὑπειλήφει τοιοῦτον, τὸ μὴ θελῆσαι τὸν εὐηργετηκότα μηδὲ συνίστορα τὸν εὖ παθόντα τῆς εὐεργεσίας παραλαβεῖν; Ὅθεν ἄκροις ἐπιτρίβων αὐτὸ δακτύλοις, καὶ περιεργότερον ἐπαφώμενος, ἐπεὶ ἔγνω χρυσὸν ἀληθῶς εἶναι, ἥδετο, ἐθαύμαζεν, ἠπορεῖτο, θερμὸν ὑφ' ἡδονῆς ἀπέσταζε δάκρυον, οὐκ εἶχεν ὅ,τι καὶ γένοιτο. Ὡς δὲ πολλὰ στρέφων καθ' ἑαυτόν, οὐδένα εἶχε τῶν γινωσκομένων ᾧ ἐπιγράψει τὸ γεγονός, ἐπὶ Θεὸν ἀνέφερε τοῦτο, καὶ δάκρυσιν εὐχαριστῶν οὐκ ἀνίει. Διὸ καὶ τοῦ πρὸς Θεὸν ἁμαρτήματος τὴν αἰτίαν ἠπείγετο πρὸ τῶν ἄλλων λύειν, καὶ μίαν τῶν θυγατέρων, ἡ πρώτη δὲ ἦν αὕτη, πρὸς γάμον ἀνδρὶ συνάπτει, τοῦ αὐτομάτως ὥσπερ ῥυέντος χρυσοῦ ἢ θεοπέμπτου, μᾶλλον εἰπεῖν, ἱκανῶς εἰς προῖκα καταβληθέντος. Ὅπερ ἐπεὶ πρὸς γνῶσιν ἦλθε τῷ θαυμασίῳ, καὶ ἔγνω κατὰ τὴν γνώμην αὐτῷ πράξαντα τὸν ἄνδρα, τοῦτο γὰρ καὶ αὐτὸς ἔσπευδε, τὸ λῦσαι διὰ τοῦ γάμου τὴν τοῦ κακοῦ πρόφασιν, εὐτρεπὴς ἦν τὰ ὅμοια καὶ πρὸς τὴν δευτέραν δρᾶσαι. Καὶ δὴ καὶ ἄλλον ἀπόδεσμον χρυσοῦ, ἰσοτάλαντον τῷ προτέρῳ, νυκτὸς ἐπιστάς, καὶ οὐδενὶ αἴσθησιν δούς, αὐτῷ ἐπιπέμπει. Ὄρθρου δὲ διαναστὰς ὁ ἀνὴρ καὶ τὸ χρυσίον ἐπίσης εὑρηκὼς κείμενον, καὶ ἰδὼν ὅπως ὁ Θεὸς ἀπόνως αὐτῷ ὕει τὸν πλοῦτον, βίον τε δίδωσιν, ὥσπερ ὁ λόγος, ἀληλεσμένον, τῇ ὁμοίᾳ εἴχετο καὶ αὖθις ἐκπλήξει. Ταύτῃ τοι καὶ εἰς γῆν πεσών, καὶ τῷ ἐδάφει τὸ μέτωπον προσερείσας, θερμοτέροις αὐτῷ τοῖς δάκρυσιν ἔβαλλε, «Θεέ», λέγων, «ἀγαθέ, Θεὲ πάντων κηδεμὼν καὶ ἀγαθοῦ παντὸς αἴτιε, οἰκονόμε τῆς ἡμῶν σωτηρίας, ὁ καὶ πρότερον διὰ τὴν ἐμὴν ἐνανθρωπήσας παράβασιν, καὶ νῦν ἅμα παισὶ τῆς ἀναγκαίας με ταύτης παγίδος τοῦ ἐχθροῦ ῥυόμενος, αὐτός μοι τὸν τοῦ σοῦ θελήματος ὑπουργόν, τὸν σὸν μιμη-*

www.tezaurliturgic.ro

τήν, τὸν ἐν ἀνθρώποις ἄγγελον, ὃς οὕτω με ἀναπλάττει πάλιν, οὕτως ἐγκαινίζει μοι τὴν εὐημερίαν, οὕτως ὀλεθρίου λύει βουλεύματος, αὐτός μοι τοῦτον ὅστις ἐστὶ γνώρισον. Ἰδοὺ γὰρ τῷ ἐλέει τῷ σῷ καὶ τὴν δευτέραν τῶν θυγατέρων ἀνδρὶ κατὰ νόμον ἐκδίδωμι, φυγοῦσαν ἤδη τὸ μνηστευθῆναι τῷ διαβόλῳ, καὶ κέρδος ἐμοὶ προσφέρειν, ζημίας ὄντως ψυχικῆς πρόξενον.»

Ταῦτά τε ἔλεγε, καὶ τῇ παιδὶ παραχρῆμα ἐτέλει τοὺς γάμους, μετέωρον ὥσπερ τὴν ψυχὴν ἔχων, ἐπὶ χρηστῶν τε ἐλπίδων ὀχούμενος, ὡς οὐδ᾽ ἐπὶ τῆς τρίτης ἂν εἰς μακρὸν ἀπορήσοι τοῦ συνοικήσοντος. Τὴν προῖκα γὰρ ἤδη καὶ διὰ χειρὸς ἔχειν ᾤετο, θαῤῥῶν, ὡς εἰκός, ἀπὸ τῶν προτέρων. Ἔνθεν τοι καὶ προσεκτικὸς ἦν, καὶ τὴν ψυχὴν ἐμπαράσκευος, μὴ καὶ λάθῃ φοιτήσας ὁ εὐεργέτης, καὶ παρασχὼν μὲν εὐφράνῃ, λυπήσῃ δὲ τῷ μηδὲ αὐτῷ δῆλος γενέσθαι τῷ εὖ πάσχοντι, μηδὲ τοῦτο μόνον ἀντιλαβεῖν θελῆσαι, τὴν ὁμολογίαν τῆς χάριτος. Ὁ μὲν δὴ οὕτω πρὸς τὴν ἐκείνου ἔλευσιν διηγρύπνει· ἐφίσταται δὲ τὸ τρίτον ὁ εὐεργέτης βαθείας νυκτὸς ἀψόφῳ ποδί, καὶ παρὰ τῷ συνήθει τόπῳ γενόμενος ἴσον χρυσοῦ καὶ αὖθις ἀπόδεσμον διὰ τῆς αὐτῆς εἰσπέμπει θυρίδος, καὶ παραχρῆμα θέων ἐπανήει. Αὐτὸς δὲ ὁ τὰς εὐεργεσίας συνήθως δεχόμενος, τοῦ εἰσπεσόντος χρυσοῦ τῶν ψόφων αἰσθόμενος καὶ τούτῳ παρεῖναι πάλιν τὸν συνήθη πλουτοδότην μὴ ἀγνοήσας, ᾗ τάχους εἶχεν εὐθὺς ἐδίωκε· καὶ καταλαβὼν καὶ γνοὺς ὅστις εἴη, οὐδὲ γὰρ τῶν ἀσήμων αὐτὸς εἰς ἀρετὴν οὐκ εἶχεν ἐκ περιχαρείας ὅ,τι καὶ γένοιτο, ἐγκρατὴς ἤδη τοῦ θηράματος ὤν, καὶ τὸν εὐεργέτην ἐν χερσὶν ἔχων. Λαμβάνεται γοῦν ἡδέως τῶν ἐκείνου ποδῶν, καὶ λυτρωτὴν αὐτὸν καὶ βοηθὸν καὶ σωτῆρα ψυχῶν εἰς ἔσχατον ἀπωλείας ἐρχομένων ἐκάλει. «Εἰ μὴ γὰρ τοὺς σούς», ἔλεγεν, «οἰκτιρμοὺς ὁ μέγας ἐλέει διανέστησε Κύριος, πάλαι ἂν ἀπωλώλειν, πατὴρ ἄθλιος, μετὰ θυγατέρων, οἴμοι! τριῶν. Ἀλλὰ νῦν

*σέσωκεν ἡμᾶς διὰ σοῦ, καὶ τοῦ πικροῦ τῆς ἁμαρτίας ἐῤῥύσατο πτώματος, ἤγειρέ τε ἀπὸ κοπρίας πτωχούς, καὶ ἀπὸ γῆς ἀνέστησε πένητας.» Ταῦτα ἐκεῖνος σὺν δάκρυσιν εὐφροσύνης καὶ θερμῷ πίστεως πνεύματι ἔφασκε πρὸς αὐτόν, καὶ πολὺς ἦν, τοῖς μακαρίοις ἐκείνου ποσὶ προσκείμενος. Ὁ δέ, ἐπειδὴ ἔγνω φανερὸς ἤδη τῷ ἀνθρώπῳ γενόμενος, διανίστησί τε καὶ ὅρκοις αὐτοῦ τὴν ψυχὴν μεγίστοις καταλαμβάνει, μὴ ἂν πρὸς ἑτέρους παρ᾽ ὅλον αὐτοῦ τὸν βίον ἐξενεγκεῖν τὰ γεγενημένα, μηδὲ δημοσιεῦσαι τὸν ἔλεον. Ἓν μὲν δὴ τοῦ ἀνδρὸς τοῦτο, καὶ οὕτω μέγιστόν τε καὶ γνωριμώτατον· τὰς δὲ καθ᾽ ἕκαστον πρὸς τοὺς ἐν χρείᾳ διανομὰς καὶ τὸ χορτάζειν πτωχοὺς ἐν ἄρτῳ, καὶ διατρέφειν αὐτοὺς ἐν λιμῷ καὶ ψυχὰς πεινώσας ἀγαθῶν ἐμπιπλᾶν, ἀλλὰ ταῦτά γε οὐδὲ μετρίως ἄν τις εἰπεῖν ἐξαρκέσοι.*

*Ἐπειδὴ δὲ καὶ τελεωτέρας ἀρετῆς ἤρα, καὶ μείζονος ἀπολαῦσαι τῆς παρὰ Θεῷ οἰκειώσεως, λαμβάνει μὲν αὐτὸν ἡσυχίας ἔρως, ὠδίνει δὲ τὴν ἀποδημίαν οὕτω θερμῶς, ὡς μὴ ὂν ἄλλως αὐτῷ τοῦ ποθουμένου τεύξεσθαι. «Σχολάσατε γάρ», φησι, «καὶ γνῶτε.» Διὸ καὶ μακρὰν ποιεῖν ἑαυτὸν ἔγνω, καὶ κατὰ τὸν Προφήτην εἰς ἔρημον αὐλισθῆναι. Ἐρημία μὲν γὰρ μήτηρ ἡσυχίας, ἡσυχία δὲ θείων ἐννοιῶν καὶ θεωρίας, οἰκειότατα Θεῷ συναπτούσης. Καί ποτε δόξαν αὐτῷ τὴν Παλαιστίνην ἰδεῖν, ὥστε τοῖς ἁγίοις ἐντυχεῖν τόποις, ἐν οἷς ὁ ὑπὲρ ἡμῶν παθὼν Κύριος τὰς ἐν κόσμῳ διατριβὰς ἐποιεῖτο, πλοίου ἐπιβὰς ἐξ Αἰγύπτου νῦν ἀναχθέντος ἐκεῖσε καταίρει, ὁμοῦ μὲν τὴν φίλην διψῶν ἐρημίαν, ὁμοῦ δὲ καὶ εἰς θέαν, ὡς ἤδη ἔφημεν, τῶν ἁγίων τόπων φερόμενος. Ἀλλ᾽ ὁ μὲν περὶ τούτου λόγος ἀναμεινάτω· ἡμεῖς δὲ τῷ πλῷ βραχύ τι προσδιατρίψομεν. Ἔπλει μὲν οὖν εὐθὺ τῆς Αἰγύπτου. Τοῖς δὲ ναύταις οὐδὲν τοῦ μέλλοντος προγνωσθέν, τρικυμίαν οὗτος αὐτοῖς καὶ πνευμάτων ἀγριωτέρων ἐμβολὰς προαγγέλλει. Αὐτὸν γὰρ ἔφη*

τὸν πονηρὸν ἰδεῖν ἐπιβάντα μὲν τῆς νεώς, τὰ δὲ τοῦ ἱστοῦ καὶ τὰ τῶν πηδαλίων ἅμα καλῴδια μαχαίρᾳ διατεμόντα, ὅλην τε περισχόντα τὴν ναῦν καὶ περιδινήσαντα, καὶ τῷ βυθῷ πειρώμενον αὔτανδρον καθεῖναι. Οὕτως ἔφη, καὶ παραχρῆμα ὥσπερ ἔκ τινος ἀπόπτου συνθήματος σφοδρά τις λαῖλαψ, τῶν νεφῶν διαπνεύσασα, εἰς κλύδωνα μέγιστον τὸ πέλαγος αἴρει, αὐτοί τε οἱ συμπλέοντες οὐδὲν ἧττον ἐκυμαίνοντο τὰς ψυχάς, καὶ παρὰ τῷ μεγάλῳ στάντες, ηὔχοντο μὲν τῷ Θεῷ, ἐδέοντο δὲ αὐτοῦ ἐπαμῦναι πικρῶς κινδυνεύουσι, καὶ μηδεμίαν ἐλπίζουσι τοῦ κακοῦ λύσιν, ὥσπερ ἀπὸ τοῦ προειπεῖν αὐτὸν καὶ τὸ δύνασθαι βοηθεῖν ἐλπίσαντες. Ὁ δὲ θαῤῥεῖν τε ἐκέλευε καὶ ταχεῖαν αὐτοῖς ἔσεσθαι τὴν ἀπαλλαγὴν τοῦ κακοῦ προεφώνει· διὸ καὶ συνῳδὰ τοῖς ῥηθεῖσι τὰ πράγματα ἠκολούθει, καὶ τὰ λυποῦντα πάντα ὀξέως ἐλύετο. Ἥ τε γὰρ θάλασσα ἡμεροῦτο, καὶ εἰς γαλήνην ἀκριβῆ μετεβάλλετο, καὶ αὐτοὶ τῶν θρήνων εὐθὺς ἐκλαθόμενοι, πρὸς εὐθυμίαν ἐτράποντο. Ἐντεῦθεν Θεῷ μὲν καὶ τῷ αὐτοῦ θεράποντι τὴν χάριν διωμολόγουν. Διπλῇ δὲ τοῦτον θαυμάζοντες ἦσαν, τῷ τε προειπεῖν ἅμα τὴν τῶν σκυθρωπῶν ἔφοδον, καὶ τῷ λῦσαι ῥᾳδίως τὰ σκυθρωπά.

Ἀλλὰ τούτων οὕτως ἐχόντων τῶν ναυτῶν εἷς (πάλιν γὰρ ὁ βάσκανος τὰ χρηστὰ ταῦτα πληγὰς ἑαυτοῦ λογιζόμενος, ἀντιλυπεῖν ἐπειρᾶτο), ἐπὶ τὸ ἀκρότατον τῆς μέσης ἀνελθὼν κεραίας, ἐφ᾽ ᾧ τι τῶν τῆς νεὼς ὅπλων εὖ διαθεῖναι, ὡς ἤδη κατελθεῖν ἔμελλεν, ὀλισθήσας, ἐπὶ μέσην τὴν ναῦν καταπίπτει, καὶ ἄπνους ἔκειτο, καὶ νεκρὸς ἄντικρυς ἦν. Ὁ δὲ τὴν ταχίστην ἐπικουρεῖν εἰωθὼς προσευχῇ τοῦτον ῥᾷον ἢ τὸν ὑπνοῦντα διανιστᾷ, καὶ ζῶντα πάλιν αὐτὸν τοῖς πλωτῆρσιν ἀποκαθιστᾷ. Ἔπειτα ἱστία πάντα πετάσαντες, καὶ δι᾽ αὔρας λεπτῆς καὶ ἡδείας τὸ ἑξῆς τοῦ πλοῦ διανύσαντες, ὡς ἤδη τῇ γῇ προσέσχον, πολλὰ τῶν παραδόξων εὐθὺς ἐτελεῖτο, καὶ θαυμασίων

τις ἀνεκέχυτο θάλασσα. Εἰ γὰρ συνελόντα με δεῖ φάναι, οὐδεὶς ἦν ὁ ὑπὸ τοῦ πάθους ἢ νοσήματος πιεζόμενος, ἢ λύπῃ τινὶ βαρυνόμενος, ὃς ἐπὶ Νικολάῳ προσέλθοι, μὴ εὐθὺς ἴατο, καὶ τὸ λυποῦν ἀπεβάλλετο. Οὕτως οὖν οὐ ῥαδίως μόνον, ἀλλὰ καὶ ἀμίσθου τῆς ἰάσεως γινομένης, πόσους μὲν εἶναι τοὺς ἰωμένους, πόσην δὲ πρὸς Θεὸν γίνεσθαι τὴν εὐχαριστίαν, καὶ πόσην ἄρα τῶν δοξολογούντων ἀθροίζεσθαι τὴν πανήγυριν, δίδωσιν ὁ λόγος ἅμα σκοπεῖν. Τὸ γὰρ ἕκαστα τούτων διδόναι γραφῇ παρόμοιον εἴ τις καὶ θαλάττης ψάμμον καὶ ἀστέρων πλῆθος ἀριθμεῖν βούλοιτο.

Ἐκεῖθεν ἀπάρας πρὸς τὸν τοῦ Χριστοῦ τάφον, καὶ παρὰ τὸν σεβάσμιον αὖθις Γολγοθᾶν ἔρχεται, οὗ γε καὶ ὁ σωτήριος ὑπὲρ ἡμῶν ἐπάγη σταυρός. Ἔπειτα καὶ τῷ τοῦ θείου σταυροῦ ξύλῳ νυκτὸς πρόσεισι, καὶ προσιόντι αὐτόματοι αἱ τοῦ ἱεροῦ διανοίγονται πύλαι, θερμὴν δὲ τὴν προσευχὴν καὶ συχνὴν ἐκεῖσε προσενεγκὼν τὴν προσκύνησιν, ἀφθονωτέραν καρποῦται τοῦ ἀγαθοῦ Πνεύματος τὴν ἐνέργειαν. Ἐπεὶ δὲ ἱκανῶς εἶχε τῆς ἐν Παλαιστίνῃ διατριβῆς, διαποντίῳ πρὸς τὴν ἐνεγκοῦσαν αὖθις χρῆται τῇ ἐπανόδῳ, ὄψεως αὐτῷ θείας τοῦτο ἐντειλαμένης, ὥστε μὴ ἐπὶ πλέον στέρεσθαι τῆς γλυκείας ἐκείνου φωνῆς τὰ αὐτοῦ πρόβατα. Ἐνταῦθα καὶ τοῦ πλοίου ἐπιβάντι τῷ θαυμασίῳ ἥ τε τῶν πλωτήρων ἐλέγχεται κακουργία, καὶ ἡ τοῦ θείου Πνεύματος ἐν αὐτῷ θαυματουργεῖται δύναμις. Ὁ μὲν γὰρ πρὸς τὴν πατρίδα πλεῖν ἔμελλε, καὶ τοῦτο πρότερον τοῖς οὐ καλοῖς ναύταις συνθέμενος, οὕτω δὴ τῆς νεὼς ἐπέβη· οἱ δ᾽ ἐπειδὴ ἀνείλοντο τὰς ἀγκύρας, οἴκου ἐμέμνηντο. Τοῦ λιμένος οὖν ἐξορμήσαντες, καὶ τὴν ὀθόνην ἅμα διαπετάσαντες, τοῦ πνεύματος αὐτοῖς ἐπιφόρου πνέοντος, πρὸς τὴν οἰκείαν ἀπέπλεον. Ἠμέλει δὲ οὐδαμῶς ἡ δίκη, ἀλλὰ παρὰ πόδας αὐτοῖς ἐπῄει, τὴν κακουργίαν κολάζουσα, καὶ βίαιόν τι κα-

*ταιγὶς εὐθὺς ἀντιπνεύσασα, τοὺς οἴακάς τε διέστρεψε, καὶ τὰ πηδάλια παρήνεγκε, καὶ αὐτοῖς μὲν ἐν βραχεῖ κίνδυνον ἠπείλει, τὸν δὲ τοῖς τῆς πατρίδος ἀπεδίδου λιμέσι. Τί οὖν ἡ συμπαθὴς ἐκείνη καὶ μεγαλόφρων ψυχή; Οὐδὲ πικρίας οὐδὲ λόγου τινὸς στύφοντος ἐδεήθη πρὸς αὐτούς· ἀλλ᾽ ὁμοῦ τε μεταμελομένους εἶδε, καὶ αὐτὸς τῆς οἰκείας ἡττήθη χρηστότητος, καὶ πάλιν αὐτοὺς δι᾽ εὐπλοίας εἰς τὴν οἰκείαν ἀπέπεμπεν. Αὐτὸς μέντοι πρὸς τὴν τῆς ἁγίας Σιὼν ἱερὰν μονήν, ἣν ὑπὸ τοῦ θείου αὐτοῦ ἤδη παγκάλως ᾠκοδομῆσθαι ὁ λόγος ἐδήλωσεν, ἀναστρέψας, ἀσπάσιός τε αὐτοῖς ὤφθη, καὶ ἡδονῆς οἵας τοὺς ἐν αὐτῇ πάντας ἐπλήρου. Οἶδ᾽ ὅτι πόθος ὑμᾶς κατέχει θερμός, καὶ διψᾶτε μαθεῖν, πῶς τε ἐπέβη τοῦ θρόνου, καὶ πῶς τὰ μετὰ τὴν προεδρίαν αὐτῷ διήνυσται. Ταῦτα γοῦν καὶ δηλώσων ὁ λόγος ἔρχεται. Ἐπεὶ γὰρ σοφῶς ἄνωθεν ἡ Πρόνοια τὰ κατ᾽ αὐτὸν διετίθει, καὶ τὸ μέγα τοῦτο φῶς ἐπὶ μεγάλην ἔμελλε θήσεσθαι τὴν λυχνίαν, πάλιν αὐτὸν ἐπὶ τὴν πόλιν κατῆγε, φιλοπόνως τὸ θεῖον μέλι τῆς ἀρετῆς ἐργαζόμενον.*

*Οὕτω δὲ μετιὼν ὥστε πάντων διαφεύγειν τοὺς ὀφθαλμούς, πλέον ἑαυτὸν δῆλον ἐποίει καὶ τοῦ παντὸς ἄξιον. Οὐ γὰρ ἔκρυπτε τὸν ἐργάτην ἡ ἀρετή, οὐχ ἧττον ἢ τὸ φῶς τοὺς ὑπ᾽ ἐκείνῳ πορευομένους· καὶ οἱ τῶν αὐτοῦ δὲ πόνων καρποὶ ταχὺ τοῦ δένδρου τὸ εὐγενὲς κατεμήνυον. Ἀλλὰ καὶ ὀφθαλμοὶ Θεοῦ τῶν ἀφανῶν ὄντες ἐπόπται, ἥκιστα καὶ ἔτι λανθάνειν αὐτὸν ἠνείχοντο. Ἀμέλει καὶ δῆλος γίνεται καὶ ὁ Πατὴρ ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδιδοὺς ἐκείνῳ κατὰ τὸ φανερὸν δείκνυται, καὶ ὅπως, προσεκτέον τῷ διηγήματι. Ἄρτι τοῦ κατ᾽ ἐκεῖνο καιροῦ τῆς Μυρέων προέδρου τὸν θρόνον ἄμφω καὶ τὸν βίον ἀπολιπόντος, ζῆλος εἰσῆλθε θεῖος τούς τε ὑπ᾽ αὐτὸν ἐπισκόπους καὶ τοὺς λογάδας τοῦ κλήρου τὸν ἄξιον ἀποδοῦναι τῷ θρόνῳ· καὶ δή ποτε πάντων ἐκκλησιασαμένων, συνεβούλευέ τις αὐτῶν,*

*Θεοῦ δὲ τοῦτο καὶ τῆς ἐκείνου σοφίας οἰκονομία, εὐχῇ τὰ τοῦ πράγματος ἐπιτρέψαι, καὶ τὴν ἐκείνου χειροτονίαν τῇ ἄνωθεν ἐγχειρίσαι ψήφῳ. Οὕτως οὖν αὐτῶν τῇ εὐχῇ χρωμένων, ἤρεσε γὰρ ὁ λόγος, ὁ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν Κύριος, ἑνὶ τούτων τὸν προστησόμενον τῆς Ἐκκλησίας ποιεῖ γνώριμον. Ποιεῖ δὲ οὕτως· Εὐχομένῳ τῷ ἀνδρὶ τῷδε θεία τις ἐπιστᾶσα ὄψις, ἐπιτάττειν ἐδόκει παρὰ τὰς τοῦ ναοῦ εἰσόδους ἐλθόντι στῆναι, καί, Ὅσπερ ἄν, φάναι, πρῶτος τὸν ναὸν εἰσέλθοι, τοῦτον εἶναι τὸν τῷ ἐμῷ κινούμενον Πνεύματι. Νικόλαος ὄνομα τῷ ἀνδρὶ ᾧ καὶ τὴν ἐπισκοπὴν καὶ τὴν τῆς Ἐκκλησίας προστασίαν ἐγχειριστέον. Τοῦτο γὰρ αὐτῷ καὶ προώρισται.*

*Οὕτως ὁ θεῖος ἐκεῖνος ἀνὴρ μυηθείς, οὐκ ἀπόῤῥητα παρ᾽ ἑαυτῷ κατέχει τὰ μυηθέντα, ἀλλὰ καὶ τῇ συνόδῳ καὶ τῷ κλήρῳ δῆλα ποιεῖ. Καὶ δὴ φιλοπονώτερον πάντων τῆς εὐχῆς ἐχομένων, ὁ τὸν μέγαν ἐκκαλυφθείς, ἔνθα δὴ καὶ ἡ φανεῖσα ὄψις ἐκέλευεν, ἀφικνεῖται. Ἤδη δὲ περὶ τὸν ὄρθρον Πνεύματι θείῳ κινηθεὶς ὁ μέγας Νικόλαος, εἰς τὴν ἐκκλησίαν καὶ αὐτὸς ἀπήντα. Ἐπεὶ δὲ ἐν τῷ προνάῳ γένοιτο, ἐντυχὼν αὐτῷ ὁ τῆς θείας ὄψεως ἐκείνης ἠξιωμένος· «Πῶς ἄρα, ὦ τέκνον, καλῇ;» εὐθὺς ἤρετο. Ὁ δὲ πράως οὕτω καὶ ἀφελῶς· «Νικόλαος ἁμαρτωλός, δέσποτα», ἔφη, «τῆς ἁγιότητος δοῦλος τῆς σῆς.» Ὡς οὖν ὁ θεῖος ἀνὴρ τὰ μέτρια ταῦτα καὶ ταπεινὰ πρὸς τοῦ μεγάλου ἀκούσειεν, ἅμα μὲν ἀπὸ τῆς τοῦ Νικολάου κλήσεως, ἣν καὶ ἡ θεία ὄψις αὐτῷ προειρήκει, ἅμα δὲ καὶ ἀπὸ τοῦ μεγέθους τῆς μετριοφροσύνης καὶ τοῦ συνᾴδοντος αὐτῇ σχήματος (οὐκ ἠγνόει γάρ, «Ἐπὶ τίνα ἐπιβλέπειν οἶδε Θεός, ἀλλ᾽ ὅτι ἐπὶ τὸν πρᾶον δηλαδὴ καὶ ἡσύχιον;»), τοῦτον ἐκεῖνον εἶναι τὸν ὑπὸ τοῦ Θεοῦ δηλούμενον ἔγνω, καὶ παραυτίκα ἡδονῆς τε ἐπίπλατο, καὶ ἀγαλλόμενος, διεδείκνυτο, οὕτω δὲ ἀγαλλόμενος, δεῖ γὰρ τὸ τῆς θείας φάναι Γραφῆς, ὡς ὁ εὑρίσκων σκῦλα πολλά, καὶ*

*ὁ θησαυρῷ τινι κεκρυμμένῳ περιτυχών. Ὅθεν οὐκ ἀθεεὶ γενέσθαι τὴν τοῦ μεγάλου εὕρεσιν λογισάμενος, «Ἀκολούθει μοι, τέκνον», ἔφασκε πρὸς αὐτόν. Καὶ παραλαβὼν ἤγαγεν ὡς τοὺς ἐπισκόπους. Οἱ δὲ συμβάλλουσί τε αὐτίκα τὸ πρᾶγμα εἰρημένον αὐτοῖς πρότερον ὑπὸ τοῦ ἀνδρός, καὶ μεστὴ θείας ἡδονῆς καὶ αὐτοῖς καθίσταται ψυχή, καὶ συμβαίνουσαν τῇ ἀπὸ Θεοῦ ψήφῳ τὴν τοῦ ἀνδρὸς κρίνουσιν ἀρετήν. Εἶτα τὸν ἅγιον, ὡς εἶχον, εὐθὺς παρὰ μέσον ἄγουσι τὸν ναόν. Πανταχῇ δὲ τῆς φήμης ὀξέως διαδραμούσης, φιλεῖ γὰρ ἐν οὕτω μεγάλοις πράγμασιν αὕτη συντόνῳ χρῆσθαι καὶ ταχεῖ τῷ πτερῷ, συῤῥεῖ μέν τι πλῆθος οὐκ ἐφικτὸν ἀριθμῷ. Πάντων δὲ ὁμοῦ συνελθόντων, εὐθὺς οἱ ἐπίσκοποι, «Δέξασθε τὸν οἰκεῖον, ἀδελφοί, ποιμένα», γεγωνοτέρᾳ λέγουσι τῇ φωνῇ, «δέξασθε προθύμως, ὃν ὑμῖν ἔχρισε τὸ Πνεῦμα, ᾧ τὴν ὑμετέρων ψυχῶν κυβέρνησιν καὶ τὸν καταρτισμὸν ἐνεχείρισεν, ὃν οὐκ ἀνθρωπίνη ψῆφος, ἀλλὰ θεία προεχειρίσατο. Ἔχομεν τοιγαροῦν, ὃν θερμῶς ἐποθήσαμεν· ὃν ἐζητοῦμεν, ἀξιοπρεπῶς ἀπειλήφαμεν. Ὑπὸ τούτῳ ποιμαινόμενοί τε καλῶς καὶ ἀγόμενοι οὐκ ἀπορήσομεν ἐλπίδων τοῦ καὶ Θεῷ παραστήσεσθαι λαὸς περιούσιος, ἐν ἡμέρᾳ ἐπιφανείας αὐτοῦ καὶ ἀποκαλύψεως.» Τούτοις τὸ πλῆθος προσετίθεσαν τὴν εὐχαριστίαν· ῥήματά τε πρὸς Θεὸν ἐφθέγγοντο εὐφροσύνης, οὐχ ὅπως καὶ λεχθῆναι ῥᾳδίας.*

*Ἡ μέντοι τῶν ἐπισκόπων ἱερὰ σύνοδος σὺν τῷ κλήρῳ, πᾶν εἴ τι νενομισμένον ἐπ᾽ αὐτῷ πρότερον διαθέντες, τῷ τῆς ἀρχιερωσύνης χρίσματι τελειοῦσιν, ἀναβαλλόμενον καὶ ὀκνοῦντα τὴν προεδρίαν διὰ δειλίαν ὄντως ἐπαινουμένην· μόλις δ᾽ οὖν ἐπὶ τὸν ἀρχιερατικὸν ἀναβάντα θρόνον, καὶ τῆς Μυρέων προκαθίσαντα, καὶ τὴν ἐπιστασίαν ἀναδεξάμενον ὀρθοδρομοῦντα τὸν λόγον τῆς ἀληθείας, καὶ τὰ τῆς εὐσεβείας δόγματα ὑγιῶς φρονοῦντά τε ὁμοῦ καὶ διδάσκοντα, εἶεν ἀλλ᾽ ὁ πονηρὸς*

*βάσκανον τούτοις ἐπιβαλὼν ὀφθαλμόν, ἀνθεῖν γὰρ οὕτως οὐκ ἤνεγκε τὴν εὐσέβειαν, ὀξὺς ὅ,τι μάλιστα τοὺς κρατοῦντας εἰσέδυ, καὶ παραυτίκα σφοδρότερός τε ὁ διωγμὸς ἦν, καὶ βασιλικὰ διατάγματα κατὰ πάντων ἐφοίτα, πρὸς ἄρνησιν εὐσεβείας τοὺς πιστοὺς ἐκκαλούμενα. Εἰ δ᾽ οὖν, ἀλλὰ δεσμὰ καὶ φρουρά, καὶ βαρύταται βάσανοι, καὶ τέλος βίαιοι θάνατοι τοὺς ἀπειθοῦντας ἀμελλητὶ διεδέχοντο. Ταῦτα καὶ μέχρι τῆς Μυρέων ἐν βραχεῖ φθάνει πτηνοῖς ὥσπερ διακόνοις τοῖς ἐρασταῖς τῆς ἀσεβείας χρώμενα. Ὁ θεῖος τοίνυν Νικόλαος, ἐπειδὴ πολὺς ἦν ἐν αὐτῇ τὰ Χριστιανῶν πρεσβεύων καὶ τὴν εὐσέβειαν ἐλευθέρᾳ γλώσσῃ διακηρύττων, καὶ τῷ εὐαγγελίῳ τοῦτο περιφανῶς ἐγκαλλωπιζόμενος, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων παρὰ τῇ πόλει, καὶ δεσμὰ καὶ στρέβλας καὶ μυρίαν ἄλλην βάσανον καταψηφισθείς, εἶτα καὶ φυλακῇ μετὰ πολλῶν καὶ ἄλλων Χριστιανῶν παραδίδοται, ἐν οἷς καὶ διέμεινε χρόνον οὔ τι μικρὸν χρηστοῦ μὲν οὐδενὸς μετέχων, τῶν ἐκ τῆς φυλακῆς δὲ λυπηρῶν ἀνεχόμενος, οὕτω γενναίως, ὥσπερ ἄν τις μᾶλλον ἡδέων κατατρυφῶν. Πλὴν οὐδὲ οὕτως ἀνίει ὁ τὰ πάντα γενναῖος, ἀλλ᾽ ὥσπερ τινὰ νεαρὰ φυτὰ τοὺς ὑπ᾽ αὐτῷ πάντας νάμασιν εὐσεβείας ἐπάρδων ἦν, ἐν ἀῤῥαγεῖ τε θεμελίῳ τοὺς ἐκείνων πόδας ἱστῶν, καὶ γενναιοτέρου μὲν ἐμπιπλῶν ὁρμήματος, ἀξιομάχους δὲ στρατιώτας τῆς ἀληθείας αὐτοὺς παρεχόμενος.*

*Ἀλλ᾽ εὐθὺς ἥλιος μετὰ νέφος, καὶ ἠπία τις αὔρα μετὰ τὴν καταιγίδα καὶ φιλάνθρωπον ὁ ἐμὸς Χριστὸς ἄνωθεν πρὸς τὸν αὐτοῦ λαὸν ἐπιβλέψας, καθαιρεῖ μὲν ἀσεβείας ἅπαντα σκῆπτρα, καὶ μετὰ τῶν φίλων αὐτοῖς δαιμόνων οἰμώζειν ποιεῖ: Διοκλητιανοὶ ταῦτα καὶ Μαξιμιανοί, καὶ ὅσοι μετ᾽ αὐτοὺς τοῦ ἑλληνισμοῦ προειστήκεισαν. Ἀνίστησι δὲ κέρας σωτηρίας τῷ λαῷ αὐτοῦ, καὶ τύπῳ σταυροῦ δι᾽ ἀστέρων τὸν Κώνσταντος καὶ Ἑλένης Κωνσταντῖνον μετακαλεῖται, καὶ τὸ Ῥωμαίων*

*αὐτῷ σκῆπτρον ἐγχειρίζει. Ὁ δὲ συνετὸς ὤν, καὶ τὸν καλέσαντα ὅστις εἴη μὴ ἀγνοήσας αὐτῷ τε ἐθάρσησε, καὶ ὑπ᾽ ἐκείνου φραττόμενός τε καὶ δύναμιν ἐμπνεόμενος, οὐ μὴν ἀλλὰ καὶ τὰς χεῖρας μὲν εἰς παράταξιν, τοὺς δακτύλους δὲ εἰς πόλεμον διδασκόμενος, τρόπαιον κατὰ τῆς πλάνης περιφανὲς ἔστησεν· ὅτε καὶ ὑπερηφάνων μὲν ὀφθαλμοὶ τεταπείνωτο, καθῃροῦντο δὲ εἰδώλων ναοί, ἀνίεντο δὲ τῶν φυλακῶν οἱ διὰ Χριστὸν δέσμιοι· ἀνῳκοδομεῖτο δὲ τὰ Χριστιανῶν τεμένη, καὶ ταῖς τοῦ Θεοῦ ἐκκλησίαις ὁ προλαβὼν ἐδίδοτο κόσμος. Τοιούτου τοιγαροῦν δόγματος τὴν ὑπὸ χεῖρα πᾶσαν διαλαβόντος, ἐπὶ τὰς ἑαυτῶν πατρίδας οἱ τοῦ Χριστοῦ κατήγοντο ἕκαστος. Διὰ ταῦτα καὶ τὸν οἰκεῖον ἀρχιερέα Νικόλαον ἡ Μυρέων, μάρτυρά γε τῇ προαιρέσει, καὶ ἀναίμακτον ἀπελάμβανε στεφανίτην. Ὁ δὲ χαρίσμασι θεοδωρήτοις κατάκομος ὤν, πάθη τε πάντα ἰᾶτο, καὶ περίδοξος οὐ πιστοῖς μόνον, ἀλλὰ πολλοῖς ἐν βραχεῖ καὶ τῶν ἀπίστων ἐγένετο. Καὶ θαῦμα ἐν ταῖς ἁπάντων ἔκειτο ψυχαῖς, λόγου παντὸς ὑψηλότερον, ταύτῃ τοι καὶ τῶν εἰδωλικῶν πολλοῖς εἰσέτι βωμῶν συχνόν τι φῦλον δαιμόνιον, ἐπιχωριάζον οἱονεὶ λείψανον ἀσεβείας, οὐκ ὀλίγοις τε τῶν Μυρέων ἀπωλείας αἴτιον καθιστάμενον, ζήλῳ μὲν θείῳ πίπραται τὴν ψυχήν. Ἀνδρικώτατα δὲ διανίσταται καὶ τὴν ἐκείνων πᾶσαν περιελθών, ᾧ ἂν βωμῷ περιτύχοι, ὥσπερ τις ἀριστεὺς κατὰ δαιμόνων προχειρισθείς, εἰς ἔδαφός τε κατέσπα καὶ εἰς κόνιν αὐτοὺς ἐλέπτυνε σφόδρα πεποιθότως, καὶ οὕτως ἐκποδὼν τὴν τῶν πονηρῶν πνευμάτων πληθὺν ποιούμενος, καθαρᾶς ἀπολαβεῖν γαλήνης τῇ ποίμνῃ παρεῖχε.*

*Τοιαῦτα τῷ ἁγίῳ διαθλοῦντι κατὰ δαιμόνων ἔπεισί τις ἄνωθεν ἔννοια θειοτέρα, μηδὲ τοῦ τῆς Ἀρτέμιδος ἀποσχέσθαι ναοῦ, ὃς κάλλει τε κάλλιστος ἦν, καὶ μεγέθει τῶν ἄλλων μέγιστος, ἀπατηλοῖς δαίμοσι διατριβὴ πολυέραστος. Ὁρμῆς τοιγαροῦν*

www.tezaurliturgic.ro

*ἐπὶ τοῦτον πλείονος αὐτὸν εἰσελθούσης, καὶ νεανικώτερον αὐτῷ ἐμβαλών, λέων, ὅ φασι, μετὰ ξίφους, οὐχ ὅσοις ὑπερανίστατο καθήρει, ἀλλὰ καὶ αὐτῶν ἐξανέσπα κρηπίδων, ἵνα μηδὲ μικρόν τι τῆς πλάνης ζώπυρον, μηδὲ ῥίζα ὑπολειφθῇ, δυναμένη καὶ ἔτι τοὺς ἄφρονας πρὸς ταύτην παρακαλεῖν, καὶ συνελόντα φάναι, τὰ μὲν εἰς ἀέρα μετέωρα τοῦ ναοῦ τῷ ἐδάφει παρεῖχε, τὰ δὲ κάτω καὶ ὑπὸ γῆν εἰς ἀέρα ἐλίκμα. Οἵ γε μὴν πονηροὶ δαίμονες, ὥσπερ βίαιόν τι καὶ τυραννικὸν ὑφιστάμενοι, δυνατοὶ μὲν ἀνθίστασθαι καὶ προσμένειν οὐδαμῶς ἦσαν, φεύγοντες δὲ ὅμως φωνὰς ἠφίεσαν, καὶ ἀδικεῖσθαι πρὸς αὐτοῦ τὰ ἔσχατα, καὶ τῶν οἰκείων ἀπελαύνεσθαι διετείνοντο. Καὶ οὕτω μὲν ταῦτα τῷ ἁγίῳ ἐχώρει, καὶ πέρας αὐτῷ χρηστὸν ἡ κατὰ δαιμόνων ἐλάμβανε στρατηγία. Ἀλλὰ μνησθῆναι πάλιν ὁ λόγος καὶ τῶν ἄλλων βούλεται, καὶ μὴ λήθῃ παραδοῦναι τὰ λόγου καὶ μνήμης ἄξια.*

*Κωνσταντίνου τοῦ πρώτου βασιλέων πρεσβεύσαντος τὴν εὐσέβειαν τὰ Ῥωμαίων ἤδη διέποντος σκῆπτρα, καὶ τούτου δὴ τοῦ μεγάλου ἀρχιερέως τὸ περὶ αὐτὸν πλῆθος πρὸς ἀνάληψιν τῶν ὀρθῶν ἀσκοῦντος δογμάτων, καὶ πᾶν εἴ τι ἔκφυλον ἦν ἐν αὐτοῖς καὶ νόθον, ῥίζαις αὐταῖς ἀναιροῦντος, ἀθροίζεται μὲν κατὰ Νίκαιαν τὸ ὀρθόδοξον, ἐφ᾽ ᾧ τὸν εὐσεβῆ μὲν τῆς πίστεως ὅρον διακρατῦναι, τὴν Ἀρείου δὲ βλάσφημον αἵρεσιν, ἀειφυγίᾳ καταδικάσαι, καὶ στῆσαι μὲν κυμαινομένην τὴν Ἐκκλησίαν, ὁμότιμον τὸν Υἱὸν τῷ Πατρὶ δογματίσαντες, εἰς ἓν δὲ ἀμφότερα συνάψαι τὰ μέρη. Μέρος οὖν καὶ ὁ θαυμαστὸς οὗτος ἀρχιερεὺς τῆς ἱερᾶς συνόδου γενόμενος, στόμα πυρίπνουν τῷ ὄντι κατὰ Ἀρείου γίνεται καὶ φθέγματα κοιλίας μᾶλλον, οὐκ ἀληθείας, τὰ ἐκείνου δείκνυσι δόγματα, καὶ τοῦ τῶν κακῶν σπορέως ἀτεχνῶς σπέρματα, ἃ ὡς ἀράχνης νήματα λύσας ῥᾳδίως, καὶ κανόνα πᾶσι τῆς ὀρθῆς πίστεως ἀκριβῆ παραδούς,*

www.tezaurliturgic.ro

*ἐκεῖθέν τε ἀναζεύγνυσι καὶ πρὸς τὴν οἰκείαν ἐπάνεισι ποίμνην. Καὶ τοῦτο δὲ πῶς ἄν τις εὐπετῶς παραδράμοι, φιλοθέων ὄντως διηγημάτων ἐραστὴς ὤν; Λιμός ποτε τὴν Λυκίαν συνεῖχε δεινός· ἐσπάνιζε δὲ καὶ ἡ Μυρέων τροφῆς καὶ τοῖς ἴσοις κακοῖς ἐπιέζετο. Ἐμπορίαν γοῦν τινι τῶν ναυτικῶν σίτου πεποιημένῳ ἐπιφανεὶς νυκτὸς ὁ μέγας Νικόλαος, καὶ τρεῖς αὐτῷ πρὸς ἀῤῥαβῶνα χρυσοῦς οὐ κατὰ φάντασμα δούς, ἀλλὰ καθαρῶς πρὸς ἀλήθειαν, εἰς τὴν Μυρέων καταῖραι καὶ ἀποδόσθαι τὸν σῖτον τοῖς ἐκεῖ ἐπισκήπτει. Διυπνισθεὶς τοίνυν ὁ ἔμπορος, καὶ τὴν δεξιὰν εὑρὼν συμφθεγγομένην τῇ ἀληθείᾳ, τὸ γεγονός τε διὰ θαύματος ἐποιεῖτο, καὶ ὡς εἶχε τάχους πρὸς τὰ Μύρα κατήγετο. Εἶτα καὶ τὸν σῖτον τῇ πόλει διαπωλήσας, ἑαυτῷ μὲν κέρδους, ἐκείνοις δὲ ζωῆς καθίστατο πρόξενος. Οὐδὲ τοῦτο παριδεῖν ἄξιον καὶ μὴ δοῦναι γραφῇ, εἰ καὶ περιᾳδόμενόν ἐστι πᾶσι καὶ καθωμιλημένον.*

*Στάσις ὑπὸ τῶν Ταϊφάλων κατὰ Φρυγίαν ἀνάπτεται τὴν μεγάλην· οὗ πυθόμενος ὁ βασιλεὺς Κωνσταντῖνος, καὶ κοινῇ περὶ τούτου διασκεψάμενος, τρεῖς τῶν ἀρχόντων ἅμα τοῖς ὑπ᾽ αὐτοὺς στρατιώταις (Νεπωτιανὸς ἦν καὶ Οὖρσος καὶ Ἑρπυλίων αὐτοῖς τὰ ὀνόματα) κατευνάσαι τὰ πράγματα καὶ πρὸς εὐταξίαν μεταγαγεῖν εἰς Φρυγίαν ἐκπέμπει. Οἵ δέ, σὺν πολλῷ τάχει τῆς Κωνσταντίνου ἀφορμηθέντες, ἔν τινι λιμένι, οὗ Ἀνδριάκης τὸ ἐπίνειον ἐκαλεῖτο, τῆς Λυκίων κατήχθησαν ἐπαρχίας. Πλεῖν τοίνυν αὐτοῖς οὐ παρέχοντος τοῦ πελάγους, βραχὺ πρὸς τῷ λιμένι διέτριβον. Ἐν τούτῳ δέ τινες τῶν ὑπ᾽ αὐτοὺς στρατιωτῶν ἐξίασι τοῦ πλοίου τὰ ἐπιτήδεια ὠνησόμενοι. Οἷα δὲ φιλεῖ τὸ στρατιωτικὸν (ἁρπαγῇ γὰρ τῶν ἀλλοτρίων καὶ βίᾳ τὰ πολλὰ χαίρουσιν), τὰ συνήθη κἀνταῦθα ἔπραττον, καὶ κακῶς τὰ τῶν προσοίκων ἐποίουν. Ἔπειτα καὶ εἰς στάσιν ἐχώρει τὸ πρᾶγμα, καὶ ταραχή τις πρὸς τῷ καλουμένῳ*

*Πλακώματι ἀνηρέθιστο. Γνωσθὲν οὖν τῷ θαυμαστῷ Νικολάῳ, οἷος ἐκεῖνος ἐν τοῖς τοιούτοις πνεύματι τὴν ὁρμὴν ὅμοιος εὐθὺς ἐς τὸ ἐπίνειον ἧκεν. Ἐπεὶ δέ τισιν ὀλίγοις γέγονε δῆλος, τῇ φήμῃ διὰ πάντων ἐφοίτα, καὶ παραχρῆμα ἡ πόλις αὐτῷ πᾶσα, σύναμα καὶ τοῖς ἀπεσταλμένοις ἄρχουσι προσκυνήσοντες, ὡς ἔθος, ἀπήντων. Ἐρομένῳ τοίνυν τοὺς ἄρχοντας ἐφ᾽ ὅτῳ καὶ ὅθεν ἥκοιεν, ἐκεῖνοι πρὸς βασιλέως ἀπεστάλθαι εἶπον, ἐφ᾽ ᾧ τοῖς κατὰ Φρυγίαν τὰς στάσεις καλῶς διαθεῖναι. Καὶ ὃς παραλαβὼν αὐτοὺς ἐν τῇ πόλει φιλοτίμως ἐξένιζεν. Εἶθ᾽ οὕτω τὸν θόρυβον ἠπίως κοιμίσαντες τῶν στρατιωτῶν καὶ εὐλογίας ὥσπερ ἔδει τῆς παρ᾽ αὐτοῦ τυχόντες.*

*Ἐπεὶ ἔμελλον τῆς πρὸς Φρυγίαν ὁδοῦ ἔχεσθαι, προσελθόντες τινὲς τῶν τῆς πόλεως, θερμοτάτην οἷαν αὐτῷ καὶ περιπαθῆ προσφέρουσιν ἱκετείαν. Ἡ δὲ ἦν ἀμύνειν ἀδικουμένοις· καὶ τί γὰρ ἀλλ᾽ ἢ ὅσον οὔπω καὶ αὐτοῦ τοῦ ζῆν κακῶς ἀπαλλαττομένοις; «Ὁ γὰρ ἡγεμὼν Εὐστάθιος», ἔλεγον, «χρημάτων ὅτι πλείστων ἥττων γενόμενος τῶν ὑπὸ φθόνου καὶ κακίας δεινῶς ἡττωμένων τρεῖς τῶν ἐν τῇ πόλει ἄνδρας οὐδὲν ὅλως ἡμαρτηκότας οὐ μετρίᾳ τινὶ τιμωρίᾳ, ἣν γὰρ οὕτω τὸ χαλεπὸν φορητόν, ἀλλ᾽ ἐσχάτῃ καταδίκῃ κολάζει, Ὑπὲρ οὗ καὶ ἡ πόλις ἐλεεινῶς κόπτεται, τὴν ἄδικόν τε ἀνοδύρεται τῶν ἀθῴων σφαγήν, καὶ τὴν σήν, ὦ θαυμάσιε, παρουσίαν ἐπιβοᾶται. Εἰ γὰρ παρῆς, οὐκ ἂν τοιοῦτον ὁ ἥλιος μύσος ἔμελλε καθορᾶν.» Τούτων ὁ τοῦ Θεοῦ ἄνθρωπος, καὶ τῆς ἐκείνου συμπαθείας ἀκριβέστατος μιμητὴς ἀκούσας, οὐχ ὑπερτίθεται τὴν βοήθειαν, οὐδὲ χρόνον ἐν μέσῳ τοῦ τε ἀκοῦσαι καὶ τῆς πρὸς ἐπικουρίαν ὁρμῆς οὐδὲ βραχὺν τίθεται, ἀλλὰ τὸν ὑπὲρ τοῦ ἀγαθοῦ ζῆλον ὥσπερ τινὰ λεοντῆν ἐνδύς, εὐθὺς διανίσταται, καὶ παῤῥησίας πίπλαται τὴν ψυχήν· τούς εἰρημένους τε ἄρχοντας συμπαραλαβών, ὁδοῦ ἅπτεται. Ἔν τινι γοῦν τόπῳ, Λέων δὲ οὗτος ἐκαλεῖτο, γενό-*

*μενος, ἐπυνθάνετο τῶν παριόντων εἴ τι περὶ τῶν ἀνδρῶν ἐκείνων εἰδεῖεν, καὶ ὅποι ἂν αὐτοὺς ἀπολίποιεν. Οἱ δέ, «Κατὰ τοὺς καλουμένους», ἔφησαν, «Διοσκόρους ἐν τῇ πλατείᾳ.» Καὶ ὃς εὐθὺ τοῦ μαρτυρίου τῶν ἁγίων Κρήσκεντος καὶ Διοσκορίδου προῄει· καὶ ἐπειδὴ μάθοι τούτους ἄρτι τὴν πύλην ὑπερβαίνοντας παρὰ τὸν Βηρᾶν ἄγεσθαι, τόπος δὲ οὗτος τῶν καταδίκων ἐπιθανάτιος, ἐπιτείνας τὴν πορείαν, καὶ τὸ ἐνδέον τῷ γήρει τῷ διαπύρῳ τῆς προθυμίας ἀναπληρῶν, ἐν βραχεῖ τὸν ὡρισμένον ἐπιφθάνει τόπον. Εἶτα ὁρᾷ πολὺν μὲν ὄχλον περιεστῶτα, τοὺς ἄνδρας δὲ ὀπίσω, φεῦ! χεῖρας δεδεσμημένους, καὶ τὰς ὄψεις κεκαλυμμένους, καὶ γυμνῷ τραχήλῳ τὴν πληγὴν ἀναμένοντας, αὐτόν τε τὸν δήμιον τὸ ξίφος ἤδη διεσπασμένον, καὶ φόνιόν τι καὶ μανικὸν βλέποντα, καὶ τὸ πρὸς σφαγὴν ὅρμημα τῷ προσώπῳ χαρακτηρίζοντα, ἐλεεινὸν θέαμα καὶ μηδὲ ὀφθαλμῷ σώφρονι ῥᾳδίως ἀνασχετόν.*

*Ταῦτα ἐκεῖνος ὡς εἶδε τὰ σκυθρωπά, πραότητι τὸ αὐστηρὸν κεράσας, οὔτε θρασύ τι καὶ τεταραγμένον ἄλλως ἐφθέγξατο, οὔτε ἀγεννῶς προσήχθη καὶ ὑφειμένως, ἀλλ᾽ ὡς εἶχεν ἐπὶ τὸν δήμιον εὐθὺς παρελθών, τὸ ξίφος μὲν ἐκ τῶν ἐκείνου χειρῶν ἀφαιρεῖται, οὐδὲν ὑποδείσας, οὐ πτοηθείς, αὐτὸ δὲ βαλὼν κατὰ γῆς, τοὺς ἄνδρας τῶν κατεχόντων δεσμῶν ἀνίησιν. Ἀλλὰ τὸ πάντων θαυμασιώτατον. Ταῦτα γὰρ μετὰ πολλῆς δρῶντα τῆς αὐθεντίας πάντων ὁρώντων, οὐδεὶς ἦν ὁ κωλύσων, τὸ περιόν, οἶμαι, τῆς ἀρετῆς καὶ τὸν ὑπὲρ τοῦ δικαίου ζῆλον τοῦ ἀνδρὸς δυσωπούμενοι. Τοῖς μὲν οὖν σωθεῖσιν ἡ χαρὰ θερμὸν ἐκίνει τὸ δάκρυον καὶ ἡδὺ μεταβαλόντες καὶ χάριεν ἐκεκράγεισαν· τὸ δὲ πεδίον ὅλον θέατρον ἦν, εὐφημούντων, αἰνούντων, τὸ γεγονὸς ἀλλήλοις ἀπαγγελλόντων, ἐκπλήξει καὶ θαύματι νικωμένων. Ἐνταῦθα ὁ ἡγεμὼν Εὐστάθιος ἐπιφαίνεται, ὃς τὸ τοῦ θανάτου ποτήριον ἀδίκως αὐτοῖς ἐκίρνα. Ἀλλὰ καὶ φανέντα τοῦτον*

*ὁ μέγας περιορᾷ, καί, προσερχόμενον οὐ προσίεται, καὶ τοῖς ποσὶν αὐτοῦ προσπεσεῖν ἐπειγόμενον ἀπωθεῖται, κατειπεῖν τε αὐτοῦ πρὸς τὸν βασιλέα, καὶ καλέσαι κατ᾽ αὐτοῦ τὸν Θεόν, καὶ ὅλως κακοῖς περιβαλεῖν ἐκεῖνον ἐσχάτοις διαπειλεῖ, ἀδικώτατα τῇ ἀρχῇ χρώμενον καὶ μεγάλοις ἐπιχειροῦντα κακοῖς. Ὁ δὲ δεινῶς τοῖς τῆς μεταμελείας κέντροις βαλλόμενος, καὶ συνειδότι πάνυ σφόδρα τὴν ψυχὴν παθαινόμενος, δάκρυσι τὸν ἔλεον ἐθηρᾶτο, καὶ ἱκέτης ἐλεεινὸς ἐγίνετο, «Τί μή», λέγων, «τί μὴ ποιῶν, ὥστε καταλλαγῆναι αὐτῷ τὸν μέγαν καὶ λῦσαι τὴν ἀγανάκτησιν;» Εἶτα καὶ τὴν αἰτίαν ἐπὶ Σιμωνίδην καὶ Εὐδόξιον τοὺς Μυρέων πρωτεύοντας μετετίθει. Τὸν δὲ ἄρα ψευδόμενος οὐκ ἐλάνθανεν. Ἤδει γὰρ ἀκριβῶς ὅτι χρυσίου τὸ δίκαιον περὶ ἐλάττονος θείς, θάνατον ἀδίκως τῶν ἀθῴων κατεψηφίσατο. Οὗτοι μὲν οὖν ὅλοι τῆς πρὸς αὐτὸν εὐχαριστίας ἐγένοντο, καὶ τὸ Νικολάου ὄνομα τῆς ἐκείνων γλώττης λάλημά τε καὶ λειτούργημα διηνεκὲς ἦν. Οἱ μέντοι ἄρχοντες ἀφ᾽ οὗ ταῦτα εἶδον, τῶν παρ᾽ αὐτοῦ θείων εὐχῶν καταξιωθέντες καὶ ταύτας οἷόν τι καλὸν ἐφόδιον ἐπαγόμενοι, πρὸς τὴν Φρυγίαν ἀφίκοντο. Διαθέμενοί τε τὰ ἐν αὐτῇ πάντα καλῶς καὶ τὸ στασιάζον ἅπαν εἰς εἰρήνην μεταβαλόντες, ὅσα τε πρὸς βασιλέως αὐτοῖς ἐντέταλτο πέρατι δόντες, ἄσμενοι πρὸς τὸ Βυζάντιον εὐθὺς ἐπανῆλθον. Τούτοις ὑποδοχὴ φιλότιμος καὶ πολυτελὴς παρ᾽ αὐτοῦ τε βασιλέως καὶ τῶν ἐν τέλει παρεσκευάσθη, καὶ τὸ ἀπ᾽ ἐκείνου ἀπόβλεπτοι καὶ ἐπιφανεῖς περὶ τὰ βασίλεια διῆγον, καὶ πολλή τις ἦν ἡ περὶ αὐτοὺς αἰθρία.*

*Οὐκ ἔμελλε δὲ ταῦτα οἴσειν ὁ φθόνος, οὐδὲ βασκάνων ὀφθαλμοῖς τὰ λαμπρὰ ταῦτα φορητὰ ἦν. Ὥσπερ γὰρ ἥλιος νοσοῦσιν ὀφθαλμοῖς λυπηρός, οὕτω λαμπρότης πᾶσα τοῦ πλησίον καὶ εὔκλεια δάκνει τοὺς φθονερούς, καὶ προτιμῶσι μᾶλλον αὐτοὶ πάσχειν κακῶς ἢ τοὺς ἄλλους ὁρᾶν εὖ πράττοντας. Διὰ ταῦτα*

www.tezaurliturgic.ro

*καὶ νῦν ἐντυχόντες τινὲς τῷ ἐπάρχῳ τῆς πόλεως, ἅτε παρευδοκιμούμενοι παρ᾽ αὐτοῦ, δεινὴν συντιθοῦσι συκοφαντίαν, οὐ χρηστὰ λέγοντες βεβουλεῦσθαι τοὺς στρατηλάτας, οὐδὲ μὴν εἰς ἀγαθὸν περιστήσεσθαι τέλος τὴν ἐκείνων εὐημερίαν· νεωτέροις γὰρ ἐπιχειροῦσι πράγμασιν, ὅσα ἡμᾶς ἀκοῦσαι, καὶ πονηρὰ τεκμαίρουσι κατὰ βασιλέως. Οὕτω τῶν ἀνδρῶν κατειπόντες, καὶ χρυσίου πολλοῦ τὸν ἔπαρχον ὠνησάμενοι, τὰς βασιλικὰς δι᾽ ἐκείνου φθείρουσιν ἀκοάς. Εὐθὺς γὰρ εἰς ὄψιν αὐτὸς τῷ βασιλεῖ γενόμενος διέξεισί τε ἃ παρ᾽ ἐκείνων ἀκούσειε, καὶ πείθει ἐρήμην ὑπ᾽ αὐτοῦ ἁλῶναι τοὺς ἄνδρας, τὸ δὲ νῦν ἔχον, φυλακῇ δοθῆναι· «Μὴ λαθόντες», φησίν, «δράσωσιν, ἃ πάντα μεμελετήκασι.» Γέγονεν οὕτω, καὶ τοὺς ἄνδρας εἶχεν φυλακή, οὐδ᾽ αὐτὸ τοῦτο ἐπισταμένους, ὅτου χάριν τὸ δεσμωτήριον κατεκρίθησαν· τοσοῦτον ἀπεῖχον τοῦ πονηρόν τι βουλεύσασθαι κατὰ βασιλέως.*

*Χρόνος ὁ μεταξὺ συχνός, καὶ πάλιν πονηρία, καθάπερ οὐκ ἀρκουμένη τοῖς προλαβοῦσιν, ἀκόλουθον καὶ τέλος ἐπινοεῖ. Ἐτύγχανον μὲν γὰρ οὕτως οἱ ἄνδρες τῇ φυλακῇ προσκακοπαθοῦντες· οἱ συκοφάνται δέ, ἐπεὶ ὑποῤῥέοντα τὸν χρόνον ἑώρων, δείσαντες μή πού τι τῶν ἀδοκήτων συμβὰν τὰ μὲν ἀπόῤῥητα τοῦ δράματος διελέγξῃ, περιτραπῇ δὲ ὁ κίνδυνος κατ᾽ αὐτῶν, καὶ ὧν ἔσπειραν αὐτοὶ τοὺς καρποὺς ἀμήσωνται, προσίασι τῷ ἐπάρχῳ πάλιν, καὶ δι᾽ ὄχλου πλείονος γεγονότες, ἠξίουν μὴ οὕτως ἐᾶν τοὺς ἄνδρας μένειν ἐπὶ μακρῷ, ἀλλ᾽ ἀξίαν αὐτοῖς τὴν δίκην ἐπενεγκεῖν. Ἐκεῖνος οὖν, ἅτε φιλοχρημάτως ἔχων, καὶ ὑπὲρ τοῦ καταβληθέντος αὐτῷ χρυσίου τὴν καρδίαν διασεισθείς, μὴ καὶ ἀφαιρεθείη τοῦτο, πέρας τῶν ὑποσχεθέντων οὐκ εἰληφότων· δειλὸν γὰρ ὁ πλοῦτος· πρόσεισι τῷ βασιλεῖ καὶ αὖθις, τῇ τε τοῦ προσώπου ἐνστάσει καὶ τῷ σκυθρωπῷ τῆς ὄψεως κακῶν ἄγγελος ἥκειν ὑποφαινόμενος καὶ ἅμα δῆλος*

*εἶναι βουλόμενος, τῆς ἐκείνου ζωῆς ἐκ παντὸς φροντίζων, εὐνοϊκῶς τε πρὸς αὐτὸν ἔχων, καὶ πιστότατα διακείμενος. Ἔνθεν τοι καὶ ποικίλως αὐτὸν ὑπιών, «Οἱ κατὰ τοῦ κράτους, δέσποτα», ἔφη, «τοῦ σοῦ μεμελετηκότες ἀνθ᾽ ὧν ἀπέλαυσαν ἀγαθῶν, ὀλίγων γὰρ πάνυ τὸ σωφρόνως φέρειν εὐημερίαν, οὐδ᾽ ἐν τῇ φυλακῇ ὄντες ἀποστῆναι τοῦ κακῶς φρονεῖν πείθονται, οὐδέ τις αὐτοὺς αἱρεῖ μεταμέλεια, ἀλλὰ καὶ νῦν ἐμμένουσι τοῖς προτέροις, καὶ τὰ αὐτὰ πάλιν κακούργως ῥάπτουσιν. Εἰ μὲν οὖν ἔστι χαλεπὰ βεβουλευμένους παθεῖν χαλεπῶς, εἰ δ᾽ οὖν, ἀλλ᾽ ὅπως μὴ φθάσαντες οὗτοι πρότερον κακῶς ἡμᾶς δράσωσι. Θορυβοῦσι ταῦτα τὸν βασιλέα καὶ εἰς ὑπονοίας ἐμβάλλουσιν, οὐμενοῦν εὐκαταφρονήτους. Ἀμέλει καὶ ἀνεῖναι φροντίδων τοὺς λογισμοὺς βουλόμενος, καὶ μὴ περιδεὴς οὕτω καὶ κατάφοβος ζῆν, θάνατον κατακρίνει τῶν ἀναιτίων.*

*Ὥριστο τοίνυν τὸ θανεῖν αὐτοὺς εἰς τὴν ἐπιοῦσαν. Ἡ γὰρ ψῆφος ἑσπέρας δέδοτο, καὶ τῷ δεσμοφύλακι χαλεπός τις ἄγγελος προσελθὼν πάντα καταλέγει τὰ ψηφισθέντα. Ὁ δὲ πολλὰ πρότερον καθ᾽ ἑαυτὸν θρηνήσας τὴν συμφοράν, ἦν γὰρ ὡς ἔοικε φιλάνθρωπος μᾶλλον ἢ ὅμοιος τῷ ὑπάρχῳ φιλόχρυσος ἄλλως τε καὶ φίλος αὐτῶν καὶ συνήθης ἤδη γεγενημένος, εἶτα καὶ τοῖς ἀνδράσι πρόσεισι σκυθρωπὸς καὶ δεδακρυμένος, καὶ ἀπ᾽ αὐτῆς ὥσπερ τῆς ὄψεως τὸ λυπηρὸν τοῦ πράγματος προαγγέλλων, καί, «Ὤφελον», ἔφη, «μηδὲ τὴν πρώτην ὑμῖν ἦλθον εἰς λόγους, μηδὲ τοσοῦτον ὁμοῦ διέτριψα χρόνον, μηδὲ τραπέζης μηδὲ ἁλῶν ὑμῖν ἐκοινώνησα δυστυχῶν. Ῥᾷον γὰρ ἂν ὑπέστην τὴν συμφοράν, ἧττον ἤλγησα τὴν προκειμένην διάζευξιν, οὐκ ἂν μου τὸ πάθος οὕτω καθίκετο τῆς ψυχῆς· αὔριον γὰρ ἀπ᾽ ἀλλήλων, ἀδελφοί, διαιρούμεθα τὴν πικράν, οἴμοι! καὶ τελευταίαν διαίρεσιν. Εἴ τι γοῦν περὶ τῆς οὐσίας βούλεσθε διαθέσθαι τῆς ὑμετέρας, μὴ καὶ φθάσῃ τὴν ὑμῶν γνώμην ὁ πικρὸς*

*θάνατος.» Ταῦτα ὁ μὲν εἶπε, θρηνῶν· οἱ δὲ (τί γὰρ ἂν καὶ ἔδρασεν ἐπὶ τούτοις ψυχὴ μηδὲν ἑαυτῇ συνειδυῖα θανάτου ἄξιον;) περιεῤῥήγνυντο τὰς ἐσθῆτας, τὰς χεῖρας ἀλλήλοις συνέβαλλον, τὰς τρίχας ἔτιλλον, θρηνῶδές τι καὶ γοερὸν ἀνακράζοντες, ἀπέβλεπόν τε εἰς οὐρανόν, καὶ μάρτυρα τὴν θείαν ἐξεκαλοῦντο δίκην. «Τίς ἡμῖν δαίμων ἐβάσκηνε», λέγοντες, «τῆς ζωῆς; Τί δεινὸν ἡμεῖς εἰργασμένοι, τὸν τῶν κακούργων ὑποστῆναι θάνατον κατεκρίθημεν; Τίνες οἱ κατηγοροῦντες ἡμῶν, τίνες οἱ τὰ πεπραγμένα κακῶς διελέγχοντες;» Ταῦτά τε ἔλεγον, καὶ τοὺς οἰκείους ὀνομαστὶ ἐκάλουν, τοὺς συγγενεῖς, τοὺς συνήθεις, τὸν θάνατον ἤδη πρὸ τῶν ὀφθαλμῶν ἔβλεπον. Μικροῦ καὶ πρὸς τὸ Θεῖον, ὡς μὴ ἐπιμαρτυροῦν αὐτοῖς τὴν ἄδικον σφαγήν, κατεγόγγυζον.*

*Οὕτω τὴν συμφοράν, φεῦ! περιπαθῶς ἀποδυρομένων, εἷς τῶν τριῶν, Νεπωτιανὸς ὄνομα, εἰς μνήμην ἐλθὼν Νικολάου, καὶ ὅπως ἐν Μύροις ἀνδρῶν ἐκεῖνος τριῶν προέστη, καὶ θανάτου ἐξείλετο, σωτὴρ αὐτοῖς ἐκ παραδόξου καὶ ἀγαθὸς προστάτης γενόμενος, λόγον ἐμβαλών, ἐκίνει, καὶ τοῖς ἄλλοις ἔνδακρυς ἐκοινολογεῖτο. Εὑρετικὸν γὰρ ἀνάγκη καὶ πρὸς πολλὰς ἐννοίας ἐγείρουσα τὴν ψυχήν. Οὕτως οὖν πρὸς ἀλλήλους διομιλουμένοις αὐτοῖς μεσίτης κἀκείνοις τὰ πρὸς Θεὸν Νικόλαος αὐτίκα παρελαμβάνετο, καί, «Κύριε ὁ τοῦ σοῦ Νικολάου Θεός, ὁ τοὺς τρεῖς ἄνδρας ἀδίκου πρότερον ἐξελὼν θανάτου, ἔπιδε καὶ νῦν ἐφ᾽ ἡμᾶς», ἔλεγον, «μὴ ὄντος ἐν ἀνθρώποις, ὁρᾷς, δέσποτα, τοῦ λυτρουμένου νῦν μηδὲ σῴζοντος. Ἰδοὺ γὰρ συνέχεται ἡμῖν ἡ καρδία, καὶ αἱ θλίψεις αὐτῆς ἐπληθύνθησαν· ἰδοὺ καὶ ἡ φωνὴ πρὸ τῆς ψυχῆς ἡμᾶς ἐπιλείπει, καὶ ἡ γλῶττα τῷ πυρὶ τῆς καρδίας ὡσεὶ κηρὸς τήκεται, καὶ οὐκέτι σοι οὐδὲ προσενεγκεῖν δυνάμεθα δέησιν, τῇ συνοχῇ τοῦ πνεύματος ἀφαιρεθείσης ἡμῶν τῆς φθογγῆς. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρ-*

*μοί σου, Κύριε· ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς τῶν διψώντων ἡμῶν· σπεῦσον ὁ ἀγαθός, σπεῦσον εἰς τὴν ἡμῶν βοήθειαν.»*

*Τούτοις προσσχὼν ὁ τῶν φοβουμένων αὐτόν, καὶ μᾶλλον ἢ πατὴρ προϊστάμενος, τὴν ταχίστην αὐτοῖς ἐκπέμπει βοήθειαν. Ἡ δὲ ἦν ὁ θεῖος αὐτοῦ θεράπων ὁ θαυμαστὸς τῷ ὄντι Νικόλαος, ὃς ὄναρ τῷ βασιλεῖ ἐπιστάς, «Βασιλεῦ», ἔφη, «τὸ τάχος ἀναστάς, τοὺς κατεχομένους ἐν τῇ φρουρᾷ στρατηλάτας τρεῖς ἀβλαβεῖς ἄνες· συκοφαντία γὰρ πονηρὰ καὶ διαβολὴ ματαία τὸ κατ᾽ αὐτῶν.» Εἶθ᾽ οὕτω καὶ ἣν πάσχουσιν ἀδικίαν ἐξετραγῴδει καὶ τὰ τοῦ δράματος πρὸς ἀκρίβειαν διεξῄει, εἰ δ᾽ οὖν, πόλεμον κατ᾽ αὐτοῦ κινήσειν καὶ κακῶς αὐτὸν ἀπολεῖν ἠπείλει. Ἐκπλαγεὶς οὖν ὁ βασιλεὺς τὴν τοῦ ἀνδρὸς παῤῥησίαν τῇ τε ἄλλῃ καὶ ὅτι ἀωρεὶ τῶν νυκτῶν τῶν βασιλείων ἔνδον ἐφαίνετο. «Ἀλλὰ τίς», ἤρετο, «σύ, ὁ τοιαῦτα ἐπισείων ἐμοὶ καὶ διαπειλούμενος;» Ὁ δέ· «Νικόλαος ὁ ἐν τῇ Μυρέων μητροπόλει», ἔφη. Καὶ αὐτίκα μὲν ὑπὸ τῆς ὄψεως διαταραχθεὶς τὰ αὐτὰ περὶ τῶν ἀνδρῶν ἐπισκήπτει. Ἀβλαβίῳ δὲ ἐρομένῳ καὶ αὐτῷ ὅστις εἴη, «Νικόλαος», ἀπεκρίνατο, «τοῦ Χριστοῦ δοῦλος.» Διυπνισθεὶς τοίνυν Ἀβλάβιος, ἔστραφε τὴν ὄψιν καθ᾽ ἑαυτόν, καὶ τί ποτε ἄρα τὸ φανὲν καὶ ὅ,τι δηλοῦν, διεσκέπτετο· καὶ ἅμα ἥκει τις ὡς αὐτὸν ἐκ βασιλέως, μηνύων ἅπερ ὁ βασιλεὺς ἐν ὕπνῳ θεάσαιτο· καὶ ὃς ἀπαγγέλλει τὴν ὄψιν, καὶ τὰ φανέντα αὐτῷ διέξεισι. Πρὸς τὸ παράδοξον τοίνυν ἐκεῖνο τῆς θέας ἄμφω καταπλαγέντες, ὅ τε βασιλεὺς καὶ ὁ ἔπαρχος, καὶ ὅπως ὥσπερ ἀπὸ συνθήματος ἡ αὐτὴ ὄψις ἑκατέρῳ φανείη, ἐπειδὴ τὸν ὄνειρον συμβαλεῖν οὐκ εἶχον, μετακαλεσάμενος ἀπὸ τῆς φυλακῆς τοὺς στρατηλάτας ὁ βασιλεύς, περιεστώτων ἁπάντων, «Τίσι», φησί, «μαγείαις ὑμεῖς χρησάμενοι, τοιούτους ἡμῖν ἐπέμψατε τοὺς ὀνείρους; πόλεμον οὕτω σφοδρὸν ἐπισείοντας, καὶ τὰ βαρύτατα καθ᾽ ἡμῶν ἀπειλοῦντας;» Οἱ δέ, μηδὲν τοι-*

www.tezaurliturgic.ro

*οὗτον ἑαυτοῖς συνειδότες, νεύμασιν ὥσπερ ἀλλήλους ἠρώτων εἴ τι ἄν τις εἰδείη, ἐκπεπληγμένον οἷον ἑκάστῳ τὸν ὀφθαλμὸν ἐπιβάλλοντες. Ὁ βασιλεὺς τοίνυν οὕτω τοὺς ἄνδρας ἔχοντας θεασάμενος, οὐδέν τε τὸ παράπαν ἐοικότας εἰδέναι καὶ ξενιζομένους τὴν ἀκοήν, ἐπὶ τὸ πραότερον εὐθὺς μεταβάλλει, καὶ προσσχὼν αὐτοῖς ἀποκρίνασθαι πρὸς ταῦτα κελεύει.*

*Οἱ δὲ εἰς γῆν ἰδόντες καὶ δακρύων τοὺς ὀφθαλμοὺς πλήσαντες, «Ἡμεῖς», εἶπον, «βασιλεῦ, οὔτε μαγείαν ὅ,τί ποτέ ἐστιν οἴδαμεν, οὔτε κατὰ τοῦ σοῦ κράτους, μάρτυς ὁ πάντα ἐφορῶν ὀφθαλμός, δεινόν τι μεμελετήκαμεν. Εἰ δὲ μὴ οὕτω ταῦτα, ἀλλά τι πονηρὸν ἡμῖν ἔσκεπται κατὰ σοῦ, μηδένα, ὦ βασιλεῦ, μηδένα καθ᾽ ἡμῶν, μὴ πρὸς τῆς Τριάδος αὐτῆς, λάβῃς ἔλεον, μηδὲ ὅλου φείσῃ τοῦ γένους ἡμῶν, ἀλλ᾽ εἴ τι καὶ θανάτου βαρύτερον, ἀπόφηναι καθ᾽ ἡμῶν. Ἡμῖν, ὦ βασιλεῦ, οὗτος ἐκ πατέρων οἷα κλῆρος εἰς ἀεὶ φυλαττόμενος, τὸ βασιλέα τιμᾶν καὶ τὴν εἰς αὐτὸν εὔνοιαν τοῦ παντὸς προτιμᾶν. Εἰ δέ τις ταῦτα παραβαίνοι, ζημιοῦν αὐτὸν τὰ μέγιστα, καὶ ὡς πολεμίῳ τὸ λοιπὸν χρῆσθαι, ὥστε περὶ πλείονος μᾶλλον ἡμῶν τὴν σὴν ἤγομεν σωτηρίαν, καὶ διὰ ταῦτα ἔπαινοι, χάριτες καὶ ἀμοιβαὶ φιλότιμοι παρὰ τῆς σῆς ἡμῖν ἠλπίζοντο δεξιᾶς. Ἐπειδὴ δὲ καὶ στασιώδης χεὶρ κατὰ τοῦ σοῦ κράτους κεκίνητο, καὶ τοιαύτην ἀνδρῶν ἀρετὴν ὁ καιρὸς ἐζήτει, τοὺς ἄλλους παραδραμών, ὅσοι τοῦ αὐτοῦ ἡμῖν ἐτύγχανον ἀξιώματος, ἡμᾶς, ὡς οὐκ ὤφελον, ἐκ πάντων προείλου, καὶ τὸν κατ᾽ ἐκείνων ἡμῖν ἐνεχείρισας πόλεμον, ταῦτά τοι καὶ πρόθυμοι τῷ σῷ καλεύσματι εἴξαμεν. Καὶ τὰ πρὸς αὐτοὺς εὐψύχως ἐπανειλόμεθα, καὶ τὴν οἰκείαν ἀρετήν, σὺν Θεῷ δὲ εἰρήσθω, ἐπὶ τῶν ἔργων ἐπεδειξάμεθα. Ὅπερ εὖ οἶδ᾽ ὅτι συμφήσουσι πάντες, τοῦτο τὴν εὐδαιμονίαν πρότερον ἡμῖν παρασχόν, νῦν καθ᾽ ἡμῶν ὁ φθόνος ὁπλίζει, καὶ κρινόμεθα, φεῦ! ὦ Θεοῦ ὀφθαλμοί, γνώμης ἐπιβούλου καὶ τὰ*

www.tezaurliturgic.ro

*ἔσχατα πείσεσθαι προσδοκῶμεν. Ὥστε περιέστηκεν ἡμῖν, ὦ βασιλεῦ, ἡ τῆς πρός σε εὐνοίας ἀπόδειξις τιμωρίας μείζονος ὑπόθεσις εἶναι, καὶ ἀντὶ δόξης ἐλπιζομένης καὶ ἄλλων ἀμοιβῶν θανάτου φόβος ἡμᾶς παραλαβὼν ἔχει. Πῶς ταῦτα, ὦ ἥλιε, πῶς ταῦτα, θεία δίκη, φέρεις ὁρᾶν;»*

*Τούτοις βασιλεὺς κατακλασθεὶς τὴν ψυχήν, δῆλος ἦν ἐπὶ τῇ ἐκείνων ἀποφάσει μεταμελόμενος. Ἔτρεμε γὰρ τὰ τοῦ Θεοῦ δικαιώματα, καὶ τὴν ἁλουργίδα ᾐδεῖτο, μὴ νομοθετῶν ἄλλοις, αὐτὸς εὐθύνας ὑπόσχῃ τῆς κρίσεως. Εὐθὺς οὖν ἐπιεικὲς ὁρᾷ αὐτοὺς καὶ ἥμερον φθέγγεται, οἱονεὶ κατωδύνῳ ψυχῇ ἤπια ταῦτα ἐπιτιθεὶς φάρμακα. Οἱ δέ, τὰς ψυχὰς πρὸς τὸν λόγον τοῦ φόβου λύσαντες, ἐπεὶ καὶ τὸ ἐνδόσιμον τῆς παῤῥησίας ἔσχον ἤδη παρὰ τοῦ βασιλέως, ἐδημοσίευον τὸν θησαυρόν, οὐκ ἔκρυπτον τὴν ἐλπίδα, καί, «Κύριε, ὁ τοῦ σοῦ Νικολάου Θεός», μέγιστον ἀνεβόων, «ὁ πρότερον τοὺς τρεῖς ἄνδρας ἀδίκου θανάτου διασωσάμενος, αὐτὸς καὶ νῦν ἐξελοῦ ἡμῶν δι᾽ αὐτοῦ τοῦ ἐπηρτημένου τοῦδε κινδύνου.» Ἁρπάζει τὸν λόγον ὁ βασιλεύς, καί, «Τίς οὗτος ὁ Νικόλαος», ἔφη, «καὶ ὅπως καὶ τίνες οὓς ἔσωσεν οὗτοι; εἴπατε.» Νεπωτιανὸς οὖν αὐτίκα διέξεισιν ἅπαντα κατὰ μέρος, καὶ ὅπως ἐπιχανόντος αὐτοῖς ἤδη τοῦ ᾅδου παραδόξως αὐτοὺς ἐλυτρώσατο. Ὁ δὲ βασιλεὺς τῇ περὶ τὸ Θεῖον καὶ τοὺς αὐτοῦ θεράποντας τιμῇ καὶ πρὸ τοῦ καλλυνόμενος, οὐδ᾽ ἐνταῦθα γοῦν λήθην ἑαυτοῦ καὶ τῆς οἰκείας ἐλάμβανεν ἀρετῆς, ἀλλ᾽ ὁμοῦ τε περὶ τοῦ ἀνδρὸς αὐτῷ ἀνηγγέλη, καὶ οὐδὲ πολλῶν ἐδεήθη λόγων, ἀλλ᾽ εἰς τὴν φανεῖσαν αὐτῷ ὄψιν ἐπὶ μᾶλλον ἀνενεγκών, καὶ τὴν ὑπὲρ τῶν ἀδικουμένων παῤῥησίαν, καὶ τὸν πολὺν ἐκείνου ζῆλον διὰ θαύματος θέμενος, συγγνώμης εὐθέως ἠξίου τοὺς ἄνδρας, «Οὐκ ἐγώ», λέγων, «ἀλλ᾽ ὃν ὑμεῖς εἰς βοήθειαν ἐξεκαλεῖσθε Νικόλαον, ἐκεῖνος ὑμῖν χαρίζεται τὴν ζωήν, ὃς οὐδὲ καθεύδειν ἡμᾶς ἀνίει θερμότατα προστατῶν ὑμῶν καὶ*

www.tezaurliturgic.ro

κηδόμενος. Ἄπιτε τοιγαροῦν παρ᾽ αὐτόν. Καὶ κειράμενοι τὴν κόμην, τὰ τῆς εὐχαριστίας ἀπόδοτε, ἀπαγγείλατε δὲ καὶ παρ᾽ ἡμῶν τὸ κελευσθὲν λέγοντες, Ἰδοὺ πεποίηκα μὴ ἀπείλει μοι.» Ταῦτα εἶπε, καὶ χρυσοῦν εὐαγγέλιον, καὶ σκεῦός τι ἕτερον χρυσοῦν καὶ αὐτό, λίθων τε τιμίων συντεθειμένον, κηρούς τε δύο ἐπιχρύσους αὐτοῖς δίδωσιν, ἐντειλάμενος ἀναθεῖναι ταῦτα τῷ ἐν Μύροις ναῷ. Οὕτω δὴ καὶ αὐτοὶ παραδόξου σωτηρίας ἐπιτυχόντες, εὐθὺς ὁδοῦ τε ἥπτοντο, καὶ προθύμοις ποσὶν ὡς τὸν ἅγιον ἀφίκοντο, ἄσμενοί τε εἶδον αὐτόν. Καὶ δῆλοι ἦσαν ὑπὸ τῆς ἄγαν ἡδονῆς εὐπετῶς ἔχειν καὶ αὐτὰς προέσθαι τὰς χαρισθείσας αὐτοῖς ψυχάς, ὥστε ἀξίαν ἀποδοῦναι τῷ οὕτως εὐεργετήσαντι τὴν εὐχαριστίαν. Εἶτα τῷ ναῷ τὰ ἐκ βασιλέως ἀφοσιοῦσι, «Κύριε, Κύριε, τίς ὅμοιός σοι, ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ;» ἠρέμα ὑποφωνοῦντες, καὶ μηδὲ αὐτοὺς ἀμοίρους τῆς ἡδονῆς τοὺς πένητας ἀφιέντες, ἀλλὰ καὶ τούτους οἷς εἶχον φιλοτιμότατα δεξιούμενοι.

Οὕτω τοιγαροῦν ἐπὶ τῶν ἔργων τοῦ Θεοῦ τὸν οἰκεῖον θεράποντα μεγαλύνοντος, ὑπόπτερος περὶ αὐτοῦ φήμη, διαρθεῖσα, πανταχῇ τε ἔθει καὶ πάντα περιελάμβανε, πέλαγός τε διέβαινε, καὶ κατὰ θαλάσσης ὅλης ἐφέρετο καὶ οὐδ᾽ ἕνα τόπον ἀνήκοον τῶν μεγάλων τοῦ ἀνδρὸς θαυμάτων ἠφίει. Ναῦται γοῦν ποτε κλύδωνι χαλεπῷ περιτυχόντες, ὥστε τὴν ἐν χερσὶν ἅπασαν ἀπειπεῖν σωτηρίαν, ἐπειδὴ τὸν μέγαν Νικόλαον ὀξεῖαν ἐν τοῖσδε τοῖς παρ᾽ ἐλπίδα βοήθειαν ὑπὸ τῆς φήμης ἐμάνθανον, ὅλοι τῆς πρὸς αὐτὸν ἐλπίδος ἐκκρεμεῖς ἦσαν, τοῦτόν τε νοερῶς ἐξεκαλοῦντο κατὰ τοῦ κλύδωνος, καὶ αὐτῷ τὰς χεῖρας ἐκθύμως ὤρεγον, καὶ μόνης ἐξείχοντο τῆς παρ᾽ αὐτοῦ βοηθείας. Καὶ ὃς οὐδὲ βραχὺ μελλήσας ἐπιπηδήσας τῇ νηῒ ἐπάνω, καὶ φανερὸς τοῖς ἐκεῖ γενόμενος ὀφθαλμοῖς, «Ἰδού, κεκλήκατέ μέ», φησι, «καὶ βοηθήσων ὑμῖν πάρειμι.» Εἶτα καὶ θαῤῥεῖν αὐτοῖς διακελευσά-

μενος τοῦ πηδαλίου τε ἐλαμβάνετο ὑπὸ τὴν πάντων ὄψιν, καὶ ταύτῃ τὴν ναῦν ἰθύνειν τρανῶς ἐβλέπετο, πρὸς τούτοις καὶ τῇ θαλάσσῃ ἐπιτιμήσας, τὰς τρικυμίας αὐτοῖς καὶ τοὺς στροβίλους καὶ τὰ ἄλλα τὰ ἐκ τοῦ χειμῶνος κοιμίζει κακά, ὥσπερ δὴ καὶ ὁ ἐμὸς Ἰησοῦς πρότερον, καὶ οὕτως ἥμερον καὶ εὐγάληνον ἐκείνοις τὸν πλοῦν δίδωσιν. Ὡς οὖν πράῳ τῷ πνεύματι φερομένους ἡ χέρσος αὐτοὺς ἐξεδέχετο, τῆς νηὸς ἀποβαίνοντες, τὸν διασώσαντα τοῦ κινδύνου ἠπείγοντο φθάνειν. Εἶτα μαθόντες εἰς τὴν ἐκκλησίαν αὐτὸν οἴχεσθαι, ἀπίασι παρὰ τὸν ναόν. Ὁ μὲν οὖν μέρος ἑαυτὸν τοῦ κλήρου ποιήσας, εἱστήκει τοῖς πολλοῖς ὅμοιος· οἱ δὲ ὡς ἐπέβαλον αὐτῷ τὰς ὄψεις μήπω τούτοις γνωσθέντι πρότερον, ἀπ᾽ αὐτῆς γοῦν τῆς ἐν τῷ πελάγει ἐπιφανείας ἀνεγίνωσκόν τε καὶ εἰς ἐκεῖνον εὐθὺς ἀνέφερον, καὶ προσδραμόντες, προσέπιπτον αὐτοῦ τοῖς ποσί, καὶ τοῖς χείλεσι τοῦτο μὲν ἠσπάζοντο, τοῦτο δὲ καὶ ἐφθέγγοντο εὐχάριστόν τι, καὶ δάκρυσιν ἡδονῆς κεκερασμένον, ὧν τε ἔπαθον μιμνησκόμενοι, καί ὅπως ῥυσθεῖεν σφόδρα περιχαρῶς ἐξηγούμενοι· ἔπειτα καὶ τοῖς παροῦσι κατὰ μέρος τὰ τοῦ πράγματος διηγοῦντο.

Ὁ θαυμαστὸς τοίνυν Νικόλαος κινδύνου ῥύεσθαι τοῦ τῆς ψυχῆς οὐχ ἧττον εἰδώς, ὃ καὶ τῆς πλείονος μᾶλλον ἠξίου φροντίδος, ἐπειδὴ τῷ διορατικῷ τοῦ πνεύματος ὀφθαλμῷ μοχθηρίαν αὐτοῖς ὑποκαθημένην ἑώρα, πόρρω Θεοῦ καὶ τῶν ἐκείνου βάλλουσαν ἐντολῶν, «Ἐπίγνωτε ἑαυτούς», ἐφώνει, «δέομαι, τέκνα, ἐπίγνωτε, καὶ τὰς καρδίας ὑμῶν καὶ τὰ τοῦ νοῦ κινήματά τε καὶ διανοήματα εἰς εὐαρέστησιν ἀπευθύνατε τοῦ Θεοῦ. Κἂν γὰρ τοὺς πολλοὺς λανθάνειν ἔχομεν, ὃ τὸ πᾶν ἐν τῷ τὰ φαῦλα πράττειν εἶναι νομίζομεν, καὶ χρηστοὶ δοκῶμεν, ἀλλ᾽ ἐκεῖνον ὅλως οὐδὲν διαφεύγει τῶν ἡμετέρων.» «Ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπόν», φησιν, «Θεὸς δὲ εἰς καρδίαν.» Ἠκούσατε τῆς Γραφῆς καὶ τοῦτο λεγούσης, «Μὴ ποιεῖτε κακά, καὶ οὐ

*μὴ καταλάβῃ ὑμᾶς τὰ κακά.» Εὖ δὲ ποιεῖν μᾶλλον ἐπιμόνως σπουδάσατε, καὶ τὸν ἁγιασμὸν τοῦ σώματος ὅλῃ προθέσει μεταδιώξατε. «Ναὸς γὰρ ἡμεῖς Θεοῦ. Ὃς δὲ φθείρει τὸν ναὸν τοῦ Θεοῦ», Παῦλος ταῦτά φησιν ὁ θεῖος, «φθερεῖ τοῦτον ὁ Θεός.» Οὕτω ποιεῖτε, καὶ τὸ λοιπὸν ἕξετε βοηθὸν ἄμαχον τὸν Θεόν. Ἤρκει τὰ εἰρημένα ἣν οὗτος ἐπλούτει παρὰ τοῦ Θεοῦ ῥοπὴν ἱκανῶς παραστῆσαι. Ἀλλ᾽ οὐκ οἶδ᾽ ὅπως ἡ περὶ αὐτοῦ μνήμη οὐδ᾽ ἐνταῦθα στῆσαι τὸν λόγον ἀνέχεται, ἀλλ᾽ εἰ μὴ καὶ τὰ λειπόμενα προσθήσει, ζημίαν τίθεται τὴν μεγίστην.*

*Λόγος γάρ τις ἐκ μακροῦ τοῦ χρόνου καὶ εἰς ἡμᾶς φοιτήσας τὸν μακάριον τουτονὶ παραδίδωσι πρεσβυτικὸν μὲν τὸ ἦθος, ἀγγελικὸν δὲ τὴν θέαν, ἁγιασμοῦ δὲ καὶ χάριτος ἀποπνέοντα· καὶ ὡς, εἴ τις ἐκείνῳ καὶ ψιλῶς ἐντύχοι, πολλὴ τῷ ἐντυχόντι παραχρῆμα καὶ διὰ μόνης δηλαδὴ τῆς θέας ἐπίδοσίς τε πρὸς τὸ βέλτιον καὶ μεταβολή τις ἐγίνετο. Καὶ ᾧ δ᾽ ἂν ὑπῆρχε πάθει τινὶ καὶ λύπῃ βαρύνεσθαι τὴν ψυχήν, οὗτος, εἰ καὶ μόνον αὐτῷ ἀτενίσειεν, ἱκανῆς ἀπέλαβε τοῦ λυποῦντος παραψυχῆς. Ἐξῄειν δὲ καί τις ὑπέρφωτος ἀστραπὴ τῆς ἐκείνου θέας, καὶ τὸ πρόσωπον κατέλαμπε μᾶλλον ἢ τὸ Μωσέως. Εἴ που τοίνυν συμβαίη τῶν ἑτεροδόξων αὐτῷ τινας καθ᾽ ὁδὸν συνελθεῖν, μόνον εἰ τῆς ἐκείνου γλυκείας ἀπέλαυσαν γλώττης, εὐθὺς ἀπῄεσαν τὴν ἐκ παίδων συναυξηθεῖσαν αὐτοῖς αἵρεσιν ἀποβεβληκότες, καὶ τὸν ὀρθὸν τῆς ἀληθείας λόγον ἐνστερνισάμενοι. Ὁ μὲν οὖν οὕτω βεβιωκώς, καὶ λαμπρῶς, κατά γε τὸν τῆς ἀρετῆς λόγον, καὶ ἀστείως πολιτευσάμενος, καὶ οἷόν τι μύρον ἥδιστον καὶ προσαγωγὸν ἐν μέσῃ τῇ Μυρέων τοὺς συνόντας μυρίσας· βαθύτατά τε γηράσας, καὶ πλήρης ἡμερῶν τῶν τε θείων καὶ τῶν λυομένων γενόμενος, ἐπεὶ καὶ αὐτὸν ἄνθρωπον ὄντα, ἔδει τῷ κοινῷ λειτουργῆσαι νόμῳ τῆς κοινῆς φύσεως, νόσῳ περιπίπτει βραχείᾳ. Ἡ δὲ αὐτῷ εἰς εὐχαριστίας τὰς πρὸς Θεὸν*

*καὶ ὕμνους ἐξοδίους καὶ προπεμπτηρίους διέβαινε, καὶ τῇ τῆς ἐκδημίας ἐλπίδι χαριέστατα ἐτίθει τὸν μέγαν. Ὅπερ γὰρ τοῖς ἄλλοις τὸ τῇ σαρκὶ παραμένειν, τοῦτο ἐκείνῳ τὸ διαζευχθῆναι τοῦ σώματος ἦν. Ἀλλ' ὁ μὲν οὕτω τὸν ἐπίκηρον καταλείπει βίον καὶ πρὸς τὴν μακρὰν ἐκείνην καὶ μακαρίαν διαβαίνει ζωήν, λαμπρότησιν ἀγγέλων συνὼν καὶ συναγαλλόμενος, καὶ τὸ τῆς Τριάδος φέγγος ὁρῶν, τρανότερόν τε καὶ καθαρώτερον. Τὸ δὲ τούτου σῶμα τὸ τίμιον, χερσὶν ὁσίαις ἐπισκόπων, τοῦ κλήρου παντός, καὶ λαμπροφορίᾳ τιμώμενον, τῷ ἐν Μύροις ναῷ κατατίθεται, μύρον καὶ εἰς τόδε χρόνου προχέον, νόσων ψυχικῶν καὶ σωματικῶν ἴαμα.*

*Τῶν γοῦν ἁπανταχόθεν γῆς ἐκεῖ συῤῥεόντων καὶ ἀφθόνου μεταλαγχανόντων τῆς χάριτος, συνέβη πόῤῥω τινὰς τῆς Λυκίων διῳκισμένους, καὶ ὁδῷ συχνῶν ἡμερῶν ἀπέχοντας, ἔρωτι ληφθῆναι χρηστῷ τὸ τοῦ ἁγίου μνῆμα καταλαβεῖν, ἀρύσασθαί τε τοῦ μύρου καὶ κατατρυφῆσαι τοῦ ἁγιάσματος. Καὶ δὴ τὰ σιτία ἐνθέμενοι τῇ νηΐ, πρὸς τὴν Λυκίαν ἀποπλεῖν ἤδη ἔμελλον. Πονηρὸν δὲ δαιμόνιον ὅ, τῷ βωμῷ πάλαι τῆς Ἀρτέμιδος ἐνοικοῦν ὁ πολὺς Νικόλαος ἐκεῖθεν μετὰ τῶν ἄλλων ἀπώσατο, εἰς ἔδαφος τὸν βωμὸν κατασείσας· τοῦτο δὴ τὸ πονηρὸν πνεῦμα τὸν πλοῦν ἐκεῖνον αἰσθόμενον, καὶ ἅμα μὲν μνησικακοῦν τῷ ἁγίῳ τῆς τε τοῦ νεὼ καταστροφῆς καὶ τῆς οἰκείας ἐκεῖθεν ὑπερορίας· καὶ ὅση δύναμις ἀντιβλάψαι σπουδάζον, ἅμα δὲ καὶ τοῦ ἁγιασμοῦ τοὺς ἄνδρας ἀποστερῆσαι βουλόμενον, καὶ τὸν πόθον ἀμβλῦναι, γυναῖκα ὑποκριθέν, ἄγγος τι πλῆρες ἐλαίου μετακομίζειν ἐῴκει, καὶ αὐτὸ προθυμεῖσθαι μὲν ἀποφέρειν ὡς τὸν τοῦ ἁγίου τάφον, δεδοικέναι δὲ τὸ πολὺ τοῦ πλοῦ, καὶ τοῦτο τῆς ἐπιθυμίας εἴργεσθαι. «Πῶς γὰρ καὶ τολμητόν», φησι, «γυναικὶ πέλαγος τοσοῦτον; Δέομαι τοιγαροῦν ὑμῶν, τὸ ἄγγος τουτὶ λαβόντας, μετακομίσαι τε παρὰ τὸν τάφον, καὶ*

*τῷ τοῦ ἁγίου λύχνῳ τὸ ἔλαιον ἐμβαλεῖν.» Τοιαῦτα τὸ βδελυρὸν ἐκεῖνο δαιμόνιον ἔλεγέ τε καὶ ἐδεῖτο περὶ τοῦ ἄγγους τῶν φιλοθέων. Τὸ δὲ ἄρα πονηρά τις εἰπεῖν ἐνέργεια, καὶ ὅλως ἀξία τοῦ δεδωκότος. Πείθει τοίνυν πολλὰ δεηθέν. Καὶ λαβοῦσιν αὐτὸ μετὰ χεῖρας, ἐπεὶ ὁ τῆς πρώτης ἡμέρας αὐτοῖς πλοῦς ἤνυστο, σὸν ἄρα καὶ τοῦτο ἔργον, μέγιστε τοῦ Θεοῦ θεράπον καὶ δεξιὲ τοῖς κινδυνεύουσι παραστάτα. Νύκτωρ ἑνὶ τῶν συμπλεόντων ἐπιφανεὶς καθεῖναι κατὰ βυθοῦ τὸ ἄγγος κελεύει. Ὁ δὲ καὶ τοῖς ἄλλοις ἐσήμαινε, καὶ παραυτίκα ὄρθρου διαναστάντες, τὸ κελευσθὲν ἐποίουν. Τὸ γοῦν πεπονηρευμένον ἑτοίμως, ὅπερ ἦν, ἀπηλέγχετο. Φλὸξ γὰρ εὐθὺς μετέωρός τε εἰς ἀέρα ἤρετο, καὶ ὀδμαὶ δυσώδεις, τὸ ὕδωρ αὐτῷ διέσχε κάτωθέν τε ἀνακαχλάσαν, βρασμώδεις ψόφους ἀνεδίδου, καὶ σπινθῆρες αἱ σταγόνες ἦσαν, ἥ τε ναῦς κλύδωνι τοσούτῳ περιληφθεῖσα, ὀλίγου ἤδη καὶ κατεδύετο, καὶ οἱ ἄνδρες τῷ παραλόγῳ τοῦ κινδύνου καταφοβοι γεγονότες, ἀπεγνωκός τι καὶ ἄγριον ἀπέβλεπον εἰς ἀλλήλους, καὶ ὅλως ἐν ἀπόρῳ ἅπαντα τὰ ἐκείνων ἦν. Ἀλλ' ὁ πόῤῥωθεν αὐτῶν τῆς σωτηρίας κηδόμενος, καὶ τὸ ἄγγος ἀφεῖναι κατὰ βυθοῦ κελεύσας, σὺ αὐτὸς κἀνταῦθα ἐπιφανείς, τοῦ χαλεπωτάτου κινδύνου παραδόξως ῥύῃ. Ὁμοῦ τε γὰρ ἡ ναῦς βραχὺ τοῦ τόπου διέστη, καὶ τοῦ δέους αὐτοὶ ἀνείθησαν· καὶ αὔρα τις περιέπνευσε τούτους μαλακὴ καὶ εὐώδης, καὶ ἥσθησαν τῇ πνοῇ, καὶ τὰς ψυχὰς ὡς ἥδιστα διεθέτησαν.*

*Ταῦτά σοι πρὸς Θεοῦ τὰ γέρα, Νικόλαε, αὗται τῶν πόνων αἱ ἀμοιβαί, ταῦτα τῶν ἀσκητικῶν ἄθλων τὰ ἔπαθλα, τὰ κατὰ τὸν παρόντα φημὶ βίον. Τὰ γὰρ τοῦ μέλλοντος ἐκεῖνα πάντως εἰσί, τὰ μήτε ὀφθαλμοῖς θεατά, μήτε ὠσὶν ἀκουστά, μήτε καρδίᾳ ληπτὰ γενόμενα, ἃ ἑτοιμάσαι τὸν Θεὸν δεδιδάγμεθα τοῖς ἀγαπῶσιν αὐτόν. Ἐγὼ δέ σε οὐδὲν ὀκνήσω καὶ λαμπρὸν μάρτυρα καλέσαι καὶ στεφανίτην ἀναίμακτον, ὅσα γε ἀναφέ-*

*ρειν εἰς προαίρεσιν ἐπιστάμεθα, εὐχῇ μόνῃ τὸ δυσσεβὲς κράτος καταβαλόντα, καὶ καλῶς τῆς ὑπερορίας ἀνακληθέντα, καὶ μετὰ λαμπρῶν τροπαίων ἐπανελθόντα Χριστιανοῖς, καὶ τὴν προτέραν τιμὴν τῇ δευτέρᾳ διαδεξάμενον ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ᾽ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.»*

Κατὰ τοὺς πρώτους χρόνους τοῦ χριστιανισμοῦ ὑψώθη ἐν Κύπρῳ ὁ Σταυρὸς τοῦ Χριστοῦ. Κατὰ τοὺς βυζαντινοὺς χρόνους ἐγκατεστάθη ἐν αὐτῇ ἡ Παναγία Θεοτόκος.

Ἐδημιουργήθη ἡ Σιὼν τοῦ Ἁγίου Νικολάου ἐν Λυκίᾳ. Ἐδημιουργήθη καὶ ἐν Κύπρῳ ἡ Σιὼν τῆς Παναγίας. Ἐν τῇ ἐρήμῳ τῶν ὀρέων ὁ ἀσκητὴς Ἡσαΐας ὁρᾷ διὰ τῶν ὀφθαλμῶν τῆς ψυχῆς τὴν Σιὼν τῆς Παναγίας, τὴν Ἱερὰν Μονὴν αὐτῆς. Ἡ ὅρασις τοῦ ἀσκητοῦ Ἡσαΐου, θαυματουργικῷ τῷ τρόπῳ ὁμωνύμου, ἐπαναλαμβάνει τὴν ὅρασιν τοῦ Προφήτου Ἡσαΐου περὶ τῆς Γεννήσεως τοῦ Σωτῆρος ὑπὸ τῆς Παρθένου. Ἐν τῇ Σιὼν αὐτῆς ἐγκαθίσταται ἡ Παναγία τοῦ Κύκκου ἡ Ἐλεοῦσα. Εἶναι ἡ Κυρία τοῦ ἐλέους, ἡ ἐλεοῦσα τοὺς μετανοοῦντας, ὡς ὁ Χριστὸς ἠλέησε τὸν Ἀπόστολον Πέτρον μετὰ τὴν φωνὴν τοῦ ἀλέκτορος, ἡ ἐλεοῦσα πάντα πίστει προστρέχοντα καὶ αἰτοῦντα καὶ μηδένα ποτὲ καταισχύνασα. Ἡ χαριτόβρυτος Εἰκὼν αὐτῆς ἔρχεται ἐκ τοῦ παλατίου τοῦ βασιλέως τῆς Κωνσταντινουπόλεως. Ἀνθεῖ τὰ μυρία μύρα. Εἶναι ἡ Μυριανθοῦσα, ἐξ ἧς ὠνομάσθη ἡ περιοχὴ αὐτῆς, ἡ εἶτα μετονομασθεῖσα εἰς Μαραθᾶσαν. Ἡ Παναγία Θεοτόκος, τὸ παλάτιον τοῦ Μόνου Βασιλέως, ἐν τῇ ἐρήμῳ τοῦ Ἡσαΐου τελεσιουργεῖ τὴν ἐν οὐρανοῖς Σιών.

www.tezaurliturgic.ro

# ΑΓΙΟΣ ΜΕΓΑΛΟΜΑΡΤΥΣ ΓΕΩΡΓΙΟΣ Ο ΤΡΟΠΑΙΟΦΟΡΟΣ

Δορυφορούντων τῶν στρατιωτῶν Ἁγίων, ὁ λόγος ἥκει ἐπὶ τὸν Μέγαν Στρατηλάτην Γεώργιον. Οὐδεὶς τῶν Ἁγίων ἐκλεΐσθη τοσοῦτον ὑπὸ τῆς Ἐκκλησίας καὶ οὐδεὶς ἐγένετο τοσοῦτον προσφιλὴς εἰς τὸν χριστιανικὸν κόσμον, ὅσον ὁ Ἅγιος Μεγαλομάρτυς Γεώργιος ὁ Τροπαιοφόρος. Ἐγκώμια πρὸς αὐτὸν ἔγραψαν ὁ Ἀνδρέας Κρήτης, ὁ Γρηγόριος ὁ Κύπριος, ὁ Ἀρκάδιος ὁ Κωνσταντίας, ὁ Ἰωάννης ὁ Μαυρόπους, ὁ Θεόδωρος ὁ Δαφνοπάτης, ὁ Θεόδωρος ὁ Κυέστωρ, ὁ Γεννάδιος ὁ Σχολάριος καὶ ἄλλοι. Ἐπιγράμματα ἔγραψαν ὁ Μανουὴλ Φιλῆς, ὁ Νικόλαος ὁ Κάλλιστος καὶ ἄλλοι. Ὁ Ῥωμανὸς ὁ Μελῳδὸς ἐποίησε δύο ὕμνους πρὸς αὐτόν. Κανόνας ἐποίησαν ὁ Κοσμᾶς ὁ Μαϊουμᾶ, ὁ Ἀνδρέας Κρήτης, ὁ Ἰωσὴφ ὁ Ὑμνογράφος, ὁ πατριάρχης Κωνσταντινουπόλεως Φιλόθεος καὶ ἄλλοι.

Ὁ Ἅγιος Γεώργιος ἐξυμνεῖται ὡς «*πρωταθλητάρχης καὶ πρωτοστράτηγος καὶ μέγας ταξιάρχης τῶν ἀθλητῶν*», ὡς «*ἀκαταγώνιστος τῆς πίστεως ὑπέρμαχος καὶ μάρτυς ἀήττητος καὶ νικητὴς θεόστεπτος*», ὡς «*ἔαρ νοητὸν*» καὶ «*ἔαρ τῆς χάριτος.*» «*Τῷ τῆς πίστεως θώρακι καὶ ἀσπίδι τῆς χάριτος καὶ σταυροῦ τῷ δόρατι συμφραξάμενος, καθεῖλε παρατάξεις*

www.tezaurliturgic.ro

*πάσας τῶν ἀνόμων.»* Ὅτε ἔβαινε πρὸς τὰ οὐράνια, *«γῆ πᾶσα καὶ βρότειος φυλὴ οὐρανός τε συνέχαιρε.»* Περιφρουρεῖ *«τὸν ἐν θαλάσσῃ πλέοντα, τὸν ἐν ὁδῷ βαδίζοντα καὶ ἐν νυκτὶ κοιμώμενον.» «Οὐκ ἔστιν οὐδὲ γῆ, οὐδὲ θάλασσα, οὐ πόλις, οὐκ ἔρημος, ἔνθα ἀληθῶς τῶν αὐτοῦ οἱ κρουνοὶ οὐχ ὑπερβλύζουσι· τὸ γὰρ ὄνομα αὐτοῦ θαυμαστὸν ἐν πάσῃ τῇ γῇ ᾄδεται.»* Ἐν τῷ ἀπολυτικίῳ αὐτοῦ ὑμνεῖται *«ὡς τῶν αἰχμαλώτων ἐλευθερωτὴς καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος.»* Ἀποτελεῖ ξυνωρίδα μετὰ τοῦ Ἁγίου Δημητρίου, μεθ᾽ οὗ προσφωνεῖται: *«Δημήτριε μάρτυς σὺν Γεωργίῳ τῷ κλεινῷ.»*

Τὸ ὄνομα *Γεώργιος* προέρχεται ἐκ τοῦ ἐπιθέτου *γεώργιος*. Ὁ Ἅγιος Γεώργιος ἔχει τὸ ὄνομα ὡς γεώργιον τοῦ Χριστοῦ, ὡς λέγει ὁ Ἀπόστολος Παῦλος:

*«Θεοῦ ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε»* (Κορ γ´ 9).

Οἱ στρατιωτικοὶ Ἅγιοι, ὡς στρατιῶται Χριστοῦ, ἐτιμήθησαν ὑπὸ τῆς Βυζαντινῆς αὐτοκρατορίας, ἐξ ἧς διεδόθησαν καὶ εἰς τὴν Δύσιν. Ἡ Βυζαντινὴ αὐτοκρατορία δὲν ἐγεννήθη ἐκ κατακτήσεων, ἀλλ᾽ ἐκληρονομήθη αὐτουσία ἐκ τῆς Ῥωμαϊκῆς αὐτοκρατορίας. Ἐν τῇ πραγματικότητι ἀποτελεῖ συνέχειαν τῆς αὐτοκρατορίας τῶν λαῶν τοῦ Μεγάλου Ἀλεξάνδρου, ἧς συνεκτικὸς δεσμὸς εἶναι ὁ ἑλληνισμός. Συνεκτικὸς δεσμὸς τῆς Βυζαντινῆς αὐτοκρατορίας εἶναι ὁ χριστιανισμὸς καὶ ἡ Ἑλληνικὴ γλῶσσα ὑπὸ τὴν προστασίαν τοῦ ἐν Κωνσταντινουπόλει ἑδρεύοντος αὐτοκράτορος. Ἡ Βυζαντινὴ αὐτοκρατορία εἶναι ἡ μόνη Ῥωμαϊκὴ αὐτοκρατρία μετὰ τὴν κατάλυσιν τῆς Δυτικῆς Ῥωμαϊκῆς αὐτοκρατορίας ὑπὸ τῶν βαρβάρων. Εἶναι ἡ Οἰκουμένη, ὁ πεπολιτισμένος χριστιανικὸς κόσμος, τὸ νέον Ἰσραήλ.

Ὡς τὸ ἀρχαῖον Ἰσραὴλ εἶχε προστάτην τοῦ λαοῦ καὶ τῶν συνόρων αὐτοῦ τὸν Ἀρχάγγελον Μιχαήλ, οὕτω καὶ ἡ Οἰκουμένη ἀνεκήρυξεν ὡς προστάτας αὐτῆς τὸν Ἀρχάγγελον Μιχαὴλ καὶ τοὺς κατ᾽ αὐτὸν στρατιωτικοὺς Ἁγίους. Τὴν θέσιν τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἀνέλαβεν ὁ Στρατηλάτης Γεώργιος, ὡς προστάτης τῶν ἄκρων τῆς Οἰκουμένης καὶ τῶν ἐν αὐτῇ πόλεων καὶ χωρῶν, κωμῶν καὶ οἰκιῶν. Πρῶτος Ἀκρίτης εἶναι ὁ Μέγας Ἀλέξανδρος, ὅστις ἔφθασεν εἰς τὰ ἄκρα τοῦ κόσμου. Διάδοχος Ἀκρίτης τῆς Οἰκουμένης εἶναι ὁ Ἅγιος Γεώργιος, ὅστις περιπολεῖ καὶ φρουρεῖ τὰ ἄκρα αὐτῆς. Ἡ κεκερματισμένη Δύσις, μὴ ἀναπτύξασα τὴν ἔννοιαν τῆς Οἰκουμένης, δὲν ἔσχε τὴν ἀνάγκην στρατιωτῶν προστατῶν Ἁγίων, καίπερ ἐν τῷ φεουδαρχικῷ συστήματι καὶ τοὺς πολέμους αὐτῆς συνεστήσατο χριστιανικὰ στρατιωτικὰ τάγματα.

Ὁ συγγραφεὺς τοῦ ἀρχαιοτέρου μαρτυρίου τοῦ Ἁγίου Γεωργίου, ὁ δῆθεν αὐτόπτης ὑπηρέτης αὐτοῦ Πασικράτης, εἰστίασε τὸ θέμα αὐτοῦ εἰς τὴν πάλην τοῦ χριστιανισμοῦ πρὸς τὴν εἰδωλολατρίαν, ἣν διὰ τοὺς Ἕλληνας θεοὺς ἀποδίδει τοῖς Ἕλλησι, καὶ τὴν νίκην τοῦ χριστιανισμοῦ. Ἀντιπρόσωποι τῶν δύο κόσμων εἶναι ὁ Ἅγιος Γεώργιος καὶ ὁ αὐτοκράτωρ Διοκλητιανός. Ὁ συγγραφεὺς χρησιμοποιεῖ τοὺς πρωταγωνιστὰς ὡς θεατρικοὺς ἥρωας, ἵνα ἐκφράσῃ τὴν ἀλήθειαν καὶ τὴν ἀκατάβλητον δύναμιν τῆς πίστεως τῶν Ἁγίων καὶ τὴν πλάνην καὶ τὴν ἀπεριόριστον σκαιότητα τῶν εἰδωλολατρῶν. Ὡς γνωστόν, ἡ μυθιστορία καὶ τὸ θέατρον ἐξογκοῦσι τὰ πράγματα, ἵνα τονίσωσι τὴν πραγματικότητα. Πρὸς τὸν σκοπὸν αὐτοῦ ὁ συγγραφεύς, μιμούμενος τὰ ἀπόκρυφα κείμενα τῆς Παλαιᾶς Διαθήκης, παρενείρει ἐν τῷ μαρτυρίῳ φαντασιώδη καὶ μυθώδη στοιχεῖα. Ἐνῷ τοὺς ὁμολογοῦντας τὸν Χριστὸν διὰ τα θαύματα καὶ τὰ μαρτύρια αὐτοῦ ἀποκεφαλίζῃ αὐθωρεί, τὸν Ἅγιον Γεώργιον,

www.tezaurliturgic.ro

ὡς πρωταγωνιστὴν τοῦ θέματος, διατηρεῖ βασανιζόμενον. Τὸ ἀρχαιότερον μαρτύριον ἐλήφθη ὡς πρότυπον πρὸς σύνταξιν μεταγενεστέρων μαρτυρίων, ὥστε τὰ στοιχεῖα ταῦτα παρεισέφρησαν μονίμως. Ἵνα φέρῃ τὸν Ἅγιον Γεώργιον ἀντιμέτωπον πρὸς τὸν αὐτοκράτορα Διοκλητιανόν, ὁ συγγραφεὺς τοποθετεῖ τὴν δρᾶσιν αὐτοῦ ἐν Μικρᾷ Ἀσίᾳ, κατασκευάζων αὐτὸν καὶ Καππαδόκην. Οὕτω παραλείπει τὴν δρᾶσιν αὐτοῦ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ. Διὰ τὴν παράλειψιν αὐτὴν τὰ ἐπαναλαμβανόμενα μαρτύρια παραλείπουσι μέχρι τοῦ δωδεκάτου αἰῶνος τὴν πασίγνωστον δρακοντοκτονίαν τοῦ Ἁγίου Γεωργίου, γενομένην ἐν Κυρήνῃ τῆς Λιβύης.

Ἡ Κυρήνη ἦν ὁ ἰδιάζων χῶρος πρὸς τέλεσιν τοῦ θαύματος τῆς δρακοντοκτονίας ὑπὸ τοῦ Ἁγίου Γεωργίου. Ἐν αὐτῇ ἐπλεόνασεν ἡ εἰδωλολατρία, διαφημισθεῖσα ἐν ὅλῳ τῷ ἀρχαίῳ κόσμῳ. Ἐξεφράζετο ἡ εἰδωλολατρία ἐν Κυρήνῃ διὰ τῆς ὑλιστικῆς ἐπικουρείου φιλοσοφίας τῆς Κυρηναϊκῆς Σχολῆς, καταστάσης τρόπου ζωῆς, διὰ τοῦ Ἀπόλλωνος, ἀντιπάλου τοῦ Χριστιανισμοῦ, ἔχοντος ἐν Κυρήνῃ ὀνομαστὴν πηγήν, ναόν, θέρμας, συγκρότημα ὅλον ξενώνων ἐπισκεπτῶν, δι' ἀγαλμάτων, ἀφιερωμάτων, ἐκλύτου βίου. Ὁ Ἅγιος Ἱερομάρτυς Θεόδωρος, ἐπίσκοπος Κυρήνης, ἐπάταξε τὸ θυσιαστήριον τῆς εἰδωλολατρίας, ἐπιτελέσας ἱεραποστολικὸν ἔργον καὶ μαρτυρήσας ἐν Κυρήνῃ. Τὸ θαῦμα τῆς δρακοντοκτονίας ἐγένετο ἐν Κυρήνῃ, διότι ἐπεσκέψατο τὴν πόλιν ὁ Ἅγιος Γεώργιος, ἀνεῖλε τὸν βύθιον δράκοντα, ὅστις ἂν εἴη οὗτος, συνέτριψεν ὁριστικῶς τὴν εἰδωλολατρίαν, ἡγίασε τὸ ὕδωρ εἰς ζῶν ὕδωρ Χριστοῦ, προσέγραψε τὴν πόλιν πᾶσαν τῇ ποίμνῃ τοῦ Χριστοῦ.

Τὸ μέγεθος τοῦ Ἁγίου Γεωργίου, ὡς τοῦ δημοφιλεστέρου τῶν Ἁγίων ἐν ὅλῳ τῷ χριστιανικῷ κόσμῳ, ἐκίνησε τὴν κριτικὴν περὶ τοῦ βίου καὶ τῆς πραγματικότητος αὐτοῦ. Ἤδη ὁ

πάπας Γελάσιος (492-496) ἐχαρακτήρισε τὸ μαρτύριον τοῦ Ἁγίου Γεωργίου ἀπόκρυφον, ὡς περιέχον πράξεις, ἃς γνωρίζει μόνον ὁ Θεός. Ὁ Ἄγγλος ὀρθολογιστὴς καὶ ἀντιβυζαντινὸς Ἐδουάρδος Γίββων (1737-1794) ὑπεστήριξεν ὅτι ὁ Ἅγιος Γεώργιος ἀποτελεῖ διχοτόμησιν τοῦ ἀρειανόφρονος Γεωργίου τοῦ Καππαδόκου, ἐχθροῦ τοῦ πατριάρχου Ἀλεξανδρείας Μεγάλου Ἀθανασίου. Ἀκολουθῶν, ὁ βολλανδιστὴς πατὴρ Ἱππόλυτος Ντελεαὶ ὑπεστήριξεν ὅτι ὁ συμπιλητής, συγχέων πρὸς τὸν ἐπιβάτην ἐν τῷ θρόνῳ τῆς Ἀλεξανδρείας Γεώργιον τὸν Καππαδόκην, κατεσκεύασε τὸν Ἅγιον Γεώργιον Καππαδόκην, πράττοντα ἐν Καππαδοκίᾳ. Καὶ ἂν ὁ Ἅγιος Γεώργιος ἀντιπροὐβλήθη τῷ αἱρεσιάρχῃ Γεωργίῳ τῷ Καππαδόκῃ, ὡς ὁ Ἅγιος Νικόλαος τῷ ἀρχηγῷ τῶν Νικολαϊτῶν διακόνῳ Νικολάῳ, ἡ ἱστορικότης αὐτοῦ δὲν αἴρεται, πάσης τῆς χριστιανικῆς οἰκουμένης βοώσης περὶ τῆς ζώσης παρουσίας αὐτοῦ.

Ὁ Γεώργιος ὁ Καππαδόκης ἐγεννήθη ἐν Καππαδοκίᾳ κατὰ τὸ πρῶτον ἥμισυ τοῦ τετάρτου αἰῶνος. Μετὰ τὴν ὑπὸ τῶν ἀρειανῶν ἐξορίαν τοῦ Μεγάλου Ἀθανασίου προὐχειρίσθη πατριάρχης Ἀλεξανδρείας τῇ 24 Φεβρουαρίου τοῦ 357, ἀναδειχθεὶς σφοδρὸς ὑπέρμαχος τῶν ἀρειανῶν. Διὰ τὰς πολλὰς κακουργίας αὐτοῦ κατὰ τῶν ὀρθοδόξων ὁ Γρηγόριος ὁ Ναζιανζηνὸς ἀποκαλεῖ αὐτὸν *«τέρας καππαδόκιον, πονηρὸν τὸ γένος, πονηρότατον τὴν διάνοιαν, πάντα ποιεῖν καὶ λέγειν ἐπὶ τῇ γαστρὶ μεμαθηκός»* καὶ ὁ ἱερὸς Φώτιος συμπληροῖ ὅτι *«τοσούτων τὴν τῶν Ἀλεξανδρέων ἐνέπλησε κακῶν, ὡς τὰ τοῖς Ἕλλησι κατὰ χριστιανῶν τολμηθέντα φιλανθρωπίαν νομίζεσθαι.»* Τὸ τέλος αὐτοῦ ὑπῆρξεν οἰκτρόν. Ἀνακαθαίροντα κατηρειπωμένον ἑλληνικὸν ναόν, ἵνα ἀνοικοδομήσῃ εὐκτήριον οἶκον, οἱ ἐθνικοὶ *«τῆς ἐκκλησίας ἐξελκύσαντες καμήλῳ τε προσέδησαν καὶ διασπαραχθέντα σὺν αὐτῇ πυρὶ παρέδωσαν»* τῇ 24 Δεκεμβρίου 361.

Ὁ κανὼν τῶν μαρτυρίων συμπεριλαμβάνει τὰ ἀκόλουθα θέματα: α΄) ἐπιθυμία μαρτυρίου, β΄) προετοιμασία, γ΄) ὁμολογία πίστεως πρὸς τὸν Χριστόν, δ΄) διάλογος, ε΄) προτροπαὶ καὶ ἀπειλαί, στ΄) βασανιστήρια, ζ΄) τελείωσις τοῦ μάρτυρος ἐν δόξῃ. Τὸ μαρτύριον τοῦ Ἁγίου Γεωργίου παραλείπει τὴν προετοιμασίαν, ἥτις ἐστὶν ἡ ἀναίρεσις τοῦ αἰσθητοῦ δράκοντος. Ὡς προετοιμασίαν παρουσιάζει τὸν διαμοιρασμὸν τῆς περιουσίας τοῖς πένησιν, ὅστις ἁρμόζει τῷ Ἁγίῳ Νικολάῳ, κλητῷ Θεοῦ εἰς βασίλειον ἱεράτευμα:

*«Πλὴν ἀλλὰ καὶ τὴν στενὴν εἰσελεύσεσθαι πύλην προελομένῳ, ἵνα μηδὲν ὁ τῶν χρημάτων ὄγκος αὐτῷ ἐμποδίσειεν, ἀλλὰ καὶ μᾶλλον ὡς βοηθῷ τῷ πλούτῳ πρὸς τὰ καλὰ χρήσαιτο, πενήτων αὐτὸν χερσὶ διανέμει. Πρὸς δὲ καὶ τὴν πανοπλίαν, ἣν Παῦλος ἐν πνεύματι τοὺς πιστοὺς ὁπλίζει περιβαλλόμενος, καὶ τὴν μὲν ὀσφὺν ἐν ἀληθείᾳ περιζωσάμενος, ἐνδυσάμενος δὲ καὶ τὸν τῆς δικαιοσύνης θώρακα, περιθέμενός τε καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης ὑποδησάμενος, ἔπειτα καὶ τὸν τῆς πίστεως θυρεόν, καὶ τὴν τοῦ Πνεύματος ἀναλαβὼν μάχαιραν, ἥ ἐστι ῥῆμα Θεοῦ, καὶ ὡς οἷόν τε ἦν ἀσφαλῶς καθόλου περιφραξάμενος, πρὸς τὸν κατὰ τῆς ἀσεβείας ἐχώρει πόλεμον.»*

Ὁ συγγραφεὺς τοῦ μαρτυρίου, τοποθετῶν τὸν Ἅγιον Γεώργιον ἐν Μικρᾷ Ἀσίᾳ, ἔνθα ἥδρευε καὶ ὁ ἀντίπαλος αὐτοῦ αὐτοκράτωρ Διοκλητιανός, παραλείπει τὴν προετοιμασίαν, γενομένην ἐν ἄλλῳ χώρῳ, τῇ Κυρήνῃ τῆς Λιβύης. Προσέτι, ἵνα δείξῃ τὸ ἄλκιμον καὶ μάχιμον αὐτοῦ, ποιεῖ τοῦτον Καππαδόκην, στρατιώτην τοῦ ἀκραίου χώρου τῆς αὐτοκρατορίας πρὸς τὸ κράτος τῶν Περσῶν. Ἀλλ᾽ ἡ πατρὶς τοῦ Ἁγίου Γεωργίου ἦν ἡ πόλις Διόσπολις ἐν Παλαιστίνῃ, ἄλλως Λύδδα. Πρὸς

ὁμαλισμὸν τῆς καταγωγῆς αὐτοῦ πλάθεται ὁ πατὴρ αὐτοῦ Καππαδόκης καὶ ἡ μήτηρ Διοσπολῖτις. Ὁμοίως τὸ μαρτύριον αὐτοῦ μεταφέρεται ἐν Νικομηδείᾳ, ἕδρᾳ τοῦ αὐτοκράτορος Διοκλητιανοῦ.

Ὁ Ἅγιος Μεγαλομάρτυς Γεώργιος ἐγεννήθη ἐν Διοσπόλει τῆς Παλαιστίνης, ἄλλως Λύδδης, καὶ ἐμαρτύρησεν ἐν τῇ αὐτῇ πόλει ἐπὶ αὐτοκράτορος Διοκλητιανοῦ. Ἡ μνήμη αὐτοῦ τιμᾶται τῇ εἰκοστῇ τρίτῃ Ἀπριλίου ἢ τῇ Δευτέρᾳ τῆς Διακαινησίμου, ὡς ἀναστάσιμος, ἐὰν συμπέσῃ κατὰ τὴν περίοδον τῆς Μεγάλης Τεσσαρακοστῆς.

Κινοῦντες διωγμὸν οἱ αὐτοκράτορες Διοκλητιανὸς καὶ Μαξιμιανὸς κατὰ τῶν χριστιανῶν, μὴ θυόντων τοῖς θεοῖς καὶ μὴ τιμώντων τοὺς αὐτοκράτορας, ὡς θεούς, διηύθυναν γράμματα κατὰ πᾶσαν τὴν οἰκουμένην, ὅπως τιμῶνται οἱ θεοὶ θυσίαις, πάντες δὲ οἱ χριστιανοί, οἱ μὴ ἀρνούμενοι ἐπὶ δικαστηρίῳ τὴν θρησκείαν αὐτῶν, ὑποβάλλωνται εἰς τιμωρίας, εἶτα καὶ εἰς θάνατον.

Κατὰ τὸ μαρτύριον αὐτοῦ ὁ Γεώργιος ἐν τῷ σκότει τῆς τότε ἀσεβείας ἐδείχθη ἀστὴρ διαφανής. Περιγράφεται τὸ μὲν ὡς κλητὸς Ἅγιος τοῦ Χριστοῦ, ἐκ προγόνων εὐσεβέστατος, τὴν μὲν ἡλικίαν νεάζων, τὴν δὲ φρόνησιν πολιός, εὐθὺς τὴν καρδίαν, πνέων ζήλου κατὰ τῆς ἀσεβείας, ὥς τις Ἅγιος Νικόλαος, τὸ δὲ ὡς στρατιώτης, ἐκπονηθεὶς καλῶς τὰ πολέμια καὶ καταγαγὼν ἆθλα.

Ὁ στρατιώτης Γεώργιος διὰ τὴν ἀξίαν αὐτοῦ ἀνηγορεύθη τριβοῦνος τοῦ νουμέρου τῶν Ἀνικιώρων, ἤτοι διοικητὴς τῆς κοόρτεως τῶν Ἀνικήτων. Ἀνηγορεύθη προσέτι κόμης, ἤτοι σωματοφύλαξ καὶ συνοδὸς ἐπισήμων προσώπων καὶ τοῦ αὐτοκράτορος. Ὡς κόμης, ἐπεσκέψατο, καὶ τὴν Αἴγυπτον, καὶ τὴν Λιβύην, ὑπαγομένας εἰς τὴν διοίκησιν τῆς Ἀνατολῆς.

Προσελθὼν ὁ Γεώργιος τοῖς βασιλεῦσι καὶ ἰδὼν τὸν Θεὸν

ὑβριζόμενον, τοὺς δαίμονας τιμωμένους, πλήθη δὲ βασανιστηρίων, ἀπειλούντων θάνατον τοῖς ὁμολογοῦσι Χριστόν, ἐπεθύμησεν, ὅπως ὁμολογήσῃ τὸν Χριστὸν καὶ δεχθῇ τὸ μαρτύριον:

*«Ζήλου πλησθεὶς τὴν ψυχήν, καὶ τρυφὰς μᾶλλον οὐ πληγὰς εἶναι τὰ ἀπειλούμενα διὰ Χριστὸν λογισάμενος, εὔτολμόν τε καὶ λεοντῶδες δεικνὺς ὅρμημα, διακόψας τὸ πλῆθος καὶ παρελθὼν εἰς μέσον, χριστιανὸν ἑαυτὸν ἀνεκήρυξεν καὶ Χριστοῦ δοῦλον ὑπάρχειν.»*

Οἱ βασιλεῖς ἐξεπλάγησαν ἐπὶ τῷ ἀνελπίστῳ ἀκούσματι. Ἐπηκολούθησαν συμβουλαί, προτροπαί, ὑποσχέσεις, ἀπειλαί:

*«Πλὴν ἀλλὰ τοῖς τυράννοις ταῦτα ἀκούουσι παντοδαπὴ ἦν ἡ γνώμη· ποτὲ μὲν γὰρ τὸν ἄνδρα τῆς παῤῥησίας ἐθαύμαζον, ποτὲ δὲ ἠπείλουν, ποτὲ δὲ καὶ θωπείας ὑπήεισαν, ὥστε κατὰ τὸν θεῖον Δαυῒδ τοὺς ἐκείνων λόγους, τοῦτο μὲν βολίσιν ἐοικέναι, τοῦτο δὲ ὑπὲρ ἔλαιον ἁπαλοὺς δείκνυσθαι· τήν τε γὰρ νεότητα καὶ τὸ κάλλος ἐλέους παντὸς ἄξιον καὶ φειδοῦς ἔκριναν, τὴν ζωὴν προτιμοτέραν σαφῶς ὑπετίθουν, τιμὰς ὑπηγγέλλοντο, πλούτου καὶ τρυφῆς ὑπεμίμνησκον. Ὡς δὲ πρὸς τὰ φιλάνθρωπα ταῦτα καὶ μαλακὰ μηδὲν ἐπικλινόμενον ἑώρων, μεταβάλλοντες βασάνους ἠπείλουν, ὥσπερ τὴν ὄψιν φοβεράς, πρὸς δὲ καὶ τὴν ἐν πικρῷ θανάτῳ τοῦ βίου καταστροφήν.»*

Τοῦ Ἁγίου παραμείναντος ἀκλονήτου εἰς τὴν πίστιν αὐτοῦ, ἤρξαντο τὰ μαρτύρια, ἐπιδεινούμενα. Ὁ Ἅγιος ἠωρήθη ἐπὶ ξύλου καὶ ἐπλήττετο. Ἡ αἰώρησις ἐπὶ ξύλου τὸ Πάθος τοῦ Χριστοῦ, ὅπερ μιμεῖται ὁ Ἅγιος, σημαίνει. Ἄγγελος Θεοῦ, παραστάς, λύει τῶν δεσμῶν τὸν Ἅγιον καὶ θεραπεύει τὰς πληγὰς αὐτοῦ.

Ἡττηθεὶς εἰς πάντα τὰ μαρτύρια κατὰ τοῦ Ἁγίου, ὁ ἀν-

www.tezaurliturgic.ro

τίπαλος Διοκλητιανὸς μετέρχεται ἄλλο πρόσωπον. Κολακεύων τὸν Ἅγιον, παρακαλεῖ αὐτόν, ὅπως θύσῃ τοῖς θεοῖς ἐπὶ καλλίσταις ἀμοιβαῖς. Ὁ Ἅγιος προσποιεῖται ὅτι ἀποδέχεται, ἵνα, ὡς στρατιώτης τοῦ Χριστοῦ, ἔλθῃ ἀντιμέτωπος τῇ εἰδωλολατρίᾳ καὶ συντρίψῃ ταύτην:

*«Ὡς πατρί», ἔφη, «τέκνον φιλούμενον, ταῦτά μοι ἄφες, καὶ προσελθὼν θυσίαν προσένεγκε τοῖς θεοῖς· οὕτω γὰρ ἐκείνους τε εὐμενεῖς ἕξεις, καὶ σεαυτῷ τὰ κάλλιστα προξενήσεις.» Καὶ ὁ μάρτυς· «Εἰ τοῦτό σοι», ἔφη, «κατὰ γνώμην, ὦ βασιλεῦ, ὥρα πρὸς θεοὺς ἀπιέναι.»*

*Ὡς οὖν ταῦτα Διοκλητιανὸς ἤκουσε, προστάγματα εὐθὺς πανταχόσε διέθει εἰς τὸ ἱερὸν ἅπαντας αὐτῷ συνιέναι, ὅσοι τε τῶν ἐν τέλει καὶ ὅσοι τοῦ δήμου καὶ τῶν στρατιωτῶν ἦσαν, ὑπόλαμπρον ἐκφωνοῦντι τῷ κήρυκι ὅτι Γεώργιος, ὁ ἐν Γαλιλαίοις περίβλεπτος, Ἀπόλλωνι προσέρχεται θύσων. Παραχρῆμα γοῦν πάντες Ἕλληνες κρότοις καὶ παιᾶσιν ἐνευφραινόμενοι, βασιλέα τε καὶ τὸν ἐκείνου θεὸν Ἀπόλλωνα νικητὴν ηὐφήμουν. Ἐπεὶ δὲ τοῦ ἱεροῦ ἐντὸς ἦσαν, σιωπῆς γενομένης, προσσχὼν ὁ Ἅγιος τῷ ἀγάλματι, ὃ τοῦ Ἀπόλλωνος ἦν, καὶ πρὸς αὐτὸ βλέψας, «Σὺ εἶ θεός;» ἔφη, «καὶ σὲ δεῖ προσκυνεῖν ἀνθρώπους;» Τὸ δὲ ἐνοικοῦν αὐτίκα πονηρὸν πνεῦμα, ὥσπερ τῷ τοῦ Ἁγίου φόβῳ καταπειθὲς γενόμενον, φιλοψευδὲς ὄν, ἆκον ἐκήρυττε τὴν ἀλήθειαν· «Οὐκ εἰμι ἐγὼ θεός», λέγων, «ὥσπερ οὐδὲ οἱ σὺν ἐμοὶ τὸν ναὸν οἰκοῦντες, ἀλλ' εἷς ἀληθής, ὁ Χριστός.» Εἶτα ὁ μάρτυς· «Καὶ εἰ μή ἐστε θεοί», ἔφη, «τί παθόντες, ἀνθρώπους ἐξαπατᾶτε ὡς θεοῖς προσέχειν ὑμῖν; πῶς δὲ καὶ ὑπομεῖναι ὅλως ὑμεῖς τεθαῤῥήκατε, ἐμοῦ ἐνταῦθα παρόντος τοῦ δούλου Χριστοῦ;» Οὕτως εἰπόντος τοῦ μάρτυρος, καὶ ὥσπερ τι ἄμαχον ὅπλον τὸ τοῦ σταυροῦ σημεῖον αὐτοῖς ἐπισείσαντος, τάραχος εὐθὺς ἠκούετο, καὶ βοὴ καὶ*

*θρῆνος ἐκ τοῦ ἱεροῦ, δραπετευόντων τῶν δαιμονίων· αὐτά τε τὰ εἴδωλα ὥσπερ ὑπό τινος κραταιᾶς χειρὸς κατασπώμενα, ἕτερον τῷ ἑτέρῳ συγκαταπῖπτον ἐφέρετο, καὶ εἰς χοῦν ἐλεπτύνετο.»*

Ὁ Μάρτυς, ἐπιθυμήσας τὸ μαρτύριον καὶ ὁμολογήσας τὸν Χριστόν, δὲν παραδίδεται αὐθωρεὶ εἰς θάνατον, ἀλλὰ διατηρεῖται βασανιζόμενος. Ἡ εἰδωλολατρία ἀγωνίζεται, ὅπως κάμψῃ τὸν Μάρτυρα, ἵνα διακηρύξῃ τὴν νίκην αὐτῆς κατὰ τοῦ χριστιανισμοῦ. Τὸ μαρτύριον εἶναι ἡ πνευματικὴ διάστασις τῆς ζωῆς τοῦ μάρτυρος, μιμουμένης τὴν ζωὴν καὶ τὸ Πάθος τοῦ Χριστοῦ. Παρὰ τὴν βίαν καὶ τὴν δύναμιν τῆς εἰδωλολατρίας, νικητὴς εἶναι ὁ Μάρτυς, οὗ ἡ ἀσθένεια τελειοῦται ἐν τῇ δυνάμει τοῦ Χριστοῦ. Μετὰ τὰς ἐπὶ μέρους νίκας ἐπὶ τῶν ἀνυποίστων βασανιστηρίων ὁ Μάρτυς Γεώργιος συντρίβει τὴν εἰδωλολατρίαν ἐν αὐτῷ τῷ ναῷ τοῦ θεοῦ αὐτῆς Ἀπόλλωνος. Ὁρῶσα τὴν δύναμιν τῆς πίστεως τοῦ Μάρτυρος Γεωργίου, ὁμολογεῖ τὸν Χριστὸν καὶ αὐτὴ ἡ βασιλὶς Ἀλεξάνδρα.

Ἀπειπὼν ὁ Διοκλητιανὸς καὶ αἰσθανόμενος τὴν ἧτταν αὐτοῦ ὑπὸ τῆς πίστεως τοῦ Μάρτυρος Γεωργίου, ἔδωκε τὴν κατ᾽ αὐτοῦ ψῆφον. Ἡ τελείωσις τῶν μαρτύρων, ὡς καὶ ἡ ἀνακομιδὴ τῶν λειψάνων τῶν Ἁγίων, δηλοῖ τὸν θρίαμβον καὶ τὴν καταξίωσιν αὐτῶν ἐν τῷ Παραδείσῳ. Σὺν τῷ Μάρτυρι Γεωργίῳ ἔλαβε καταδικαστικὴν ψῆφον καὶ ἡ βασιλὶς Ἀξεξάνδρα. Ὁ ἡττηθεὶς Διοκλητιανὸς ἀπεφήνατο:

*«Γεώργιος, ὁ τῆς ματαίας μὲν τῶν χριστιανῶν δόξης ἔκτυπος ἐραστής, τῶν σωτήρων δὲ θεῶν καταφρονητής, καὶ μήτε δεινῶν ἐπαγωγαῖς μήτε ἀγαθῶν ἐπαγγελίαις μεταθέσθαι πεισθείς, ἀλλὰ καὶ τὴν βασιλίδα μᾶλλον Ἀλεξάνδραν παρακρουσάμενος, τὸν διὰ ξίφους σὺν αὐτῇ θάνατον ὑποστήτω.»*

Οἱ διατεταγμένοι δήμιοι, παραλαβόντες τὸν Μάρτυρα Γε-

ώργιον καὶ τὴν βασιλίδα Ἀλεξάνδραν, ἐχώρουν πρὸς τὸν τόπον τῆς τελειώσεως, ἔξω τῆς πόλεως. Ὁ ἔξω τῆς πόλεως τόπος τὸν Γολγοθᾶν σημαίνει. Καθ᾽ ὁδὸν ἡ βασιλὶς Ἀλεξάνδρα, προσευχομένη, ἐπικατακλιθεῖσα τῇ γῇ, ἀφῆκε τὴν ἁγίαν αὐτῆς ψυχήν. Ὁ Μάρτυς τοῦ Χριστοῦ Γεώργιος, γενόμενος ἤδη πρὸς τὸν τόπον τῆς τελειώσεως, ἐζήτησε χάριν παρὰ τῶν δημίων, ὅπως προσευχηθῇ. Ἡ προσευχὴ αὐτοῦ ἀποδεικνύει τὸ ἐθελούσιον μαρτύριον ὡς ὁλοκληρωτικὴν ἀφιέρωσιν τῷ Χριστῷ διὰ τῆς μιμήσεως τοῦ Πάθους Αὐτοῦ. Ἐν τῇ προσευχῇ αὐτοῦ, ὡς ὁ Χριστός, παρακαλεῖ καὶ ὑπὲρ τῶν δημίων αὐτοῦ:

*«Κύριε ὁ Θεός μου», ἐκ βάθους ἀνέκραξε τῆς καρδίας, «ἐφ᾽ ὃν ἀπεῤῥίφην ἐκ μήτρας, ἐφ᾽ ὃν ἤλπισα, ἐφ᾽ ᾧ καὶ θαῤῥήσας εἰς τὸν ἀγῶνα τοῦτον ἀπεδυσάμην, ἡ γλυκεῖα ἐλπίς, ἡ ἀψευδὴς ἐπαγγελία, ὁ τῶν ἱερῶν ψυχῶν ἔρως ἀπαθής, οὗ καὶ τῇ ἑτοιμασίᾳ τῶν καρδιῶν ἡμῶν προσέχει τὸ οὖς, ὃς καὶ πρὸς τῶν ἡμετέρων αἰτήσεων τὴν ἐπιθυμίαν παρέχεις τῶν καρδιῶν· αὐτός με ἐνίσχυσον μέχρι τέλους τὸν ἀγῶνα τοῦτον, ὃν ὑπὲρ τῆς σῆς ὑπῆλθον ὁμολογίας, διενεγκεῖν, καὶ πρόσδεξαί μου τὴν ψυχήν, καὶ ἀνωτέραν αὐτὴν τῶν πονηρῶν τε καὶ ἀερίων φυλάξας πνευμάτων, τοῖς ἀπ᾽ αἰῶνός σοι εὐαρεστήσασι συναρίθμησον· ἄφες δὲ τῷ λαῷ τούτῳ, Δέσποτα, ὅσα κατὰ ἄγνοιαν εἰς ἐμὲ διεπράξαντο, καὶ ἀξίους αὐτοὺς τῆς ἐπιγνώσεώς σου τῆς ἀληθοῦς παρασκεύασον, ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας.»*

Μετὰ τὴν προσευχὴν ὁ Μάρτυς, κλιθεὶς εἰς γόνατα καὶ προτείνας τὸν αὐχένα, ἀπετμήθη τὴν κεφαλήν, ἁγίαν ἀναφορὰν ἑαυτὸν ἀνενεγκών:

*«Εἶτα μετὰ τὴν εὐχὴν εἰς γόνυ κλιθεὶς καὶ τὸν αὐχένα διατείνας, τὸ ξίφος ἅμα καὶ τὸ στέφος ἐδέχετο, τὸ μὲν ἀπὸ τῶν μισούντων τὴν ἀλήθειαν, τὸ δὲ ἀπὸ τοῦ τοὺς ἀθλητὰς*

www.tezaurliturgic.ro

*στεφανοῦντος τῆς εὐσεβείας, ᾧ καὶ τὴν ἱερὰν αὐτοῦ ψυχὴν παρετίθει, τρίτῃ ἐπὶ εἰκάδι τοῦ Ἀπριλίου μηνὸς ἄγοντος.»*

Ἡ συμμαρτυρήσασα βασιλὶς Ἀλεξάνδρα τὴν καλὴν μαρτυρίαν τῷ Θεῷ σημαίνει.

Τὸ μαρτύριον τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου, συγγραφὲν ὑπὸ τοῦ ὑπηρέτου αὐτοῦ Πασικράτους, τρέχει οὕτω:

*«Διοκλητιανοῦ τοῦ τυράννου τῶν τῆς Ῥώμης σκήπτρων ἐπειλημμένου καὶ τῆς Νικομήδους Μαξιμιανοῦ βασιλεύοντος, Ναρσαῖος ἐκεῖνος ὁ τῶν Περσῶν βασιλεὺς συνεχῶς τοῖς τῆς Νικομηδείας ὁρίοις ἐπιστρατεύων, τήν τε Παλαιστίνην καὶ Ἀρμενίαν βαρείᾳ χειρὶ ληϊζόμενος καὶ τὴν Καππαδοκίαν ἰσχυρῶς κατατρέχων αὖθις σοβαρῷ τῷ φρονήματι πρὸς τὴν οἰκείαν ἐπανήει πατρίδα, ἀριστεὺς γενναῖος ὑπὸ Περσῶν καὶ τροπαιοῦχος ἀήττητος κηρυττόμενος. Ἅπαξ οὖν καὶ δὶς συῤῥαγεὶς αὐτῷ Μαξιμιανὸς καὶ μηδὲν πλέον δυνηθεὶς ἐξανύσαι ἢ μόνον τὸ κατὰ κράτος ὑπ᾽ αὐτοῦ ἡττηθῆναι καὶ σὺν οὐδενὶ κόσμῳ τῆς μάχης ἀπαλλαγῆναι, ἀμηχανίᾳ δεινῇ συσχεθεὶς καὶ ἀπορῶν ὅ,τι καὶ δράσειε, δεῖν ἔγνω τὸν ἑαυτοῦ κηδεστὴν ἀξιῶσαι Διοκλητιανόν, ὥστε Ῥωμαϊκὴν αὐτῷ δύναμιν εἰς ἐπικουρίαν ἐξαποστεῖλαι. Εὐθὺς οὖν γράμματα τούτου κατὰ τὴν Ῥώμην ἐφοίτα τὸν τοῦ βασιλέως συνασπισμὸν ἐξαιτούμενα· ὃς τοῦτο μὲν θεραπεύων τὸν Μαξιμιανόν, τοῦτο δὲ τῷ τῶν Ῥωμαίων κράτει ἐναβρυνόμενος, ὅ,τι πλεῖστον ῥωμαλέον ἀθροίσας ὁπλιτικόν, τῆς Ῥώμης ἀπαναστὰς τὴν Νικομηδέων καταλαμβάνει συνεπαγόμενος καὶ τὴν ἑαυτοῦ σύζυγον –Ἀλεξάνδρᾳ τῇ γυναικὶ ὄνομα– ὡς ἂν ἀμφότεροι τὴν ἑαυτῶν θυγατέρα θεάσωνται γαμετὴν ὑπάρχουσαν Μαξιμιανοῦ. Συνείποντο δ᾽ αὐτῷ καὶ οἱ τούτου ἀδελφιδοὶ Μαγνέντιος, Θέογνις τε καὶ*

*Δαδιανὸς τοπάρχαι τυγχάνοντες, ὁ μὲν Λιβύης, ὁ δὲ Αἰγύπτου, καὶ Συρίας ὁ Δαδιανός.*

*Τούτοις τοίνυν καὶ τοῖς ἑαυτοῦ στρατεύμασι Μαξιμιανὸν ὀχυρώσας ἐκπέμπει κατὰ Ναρσαίου· ὃς τῇ τῶν Περσῶν ἀθρόως προσβαλὼν χώρᾳ πᾶσαν μὲν αὐτὴν πορθεῖ τε καὶ καταστρέφει, ἐγκρατὴς δὲ γενόμενος Ναρσαίου καὶ τοὺς περὶ αὐτὸν ἅπαντας χειρωσάμενος ἐν Διοσπόλει μετὰ πολλῆς ὅσης πρὸς Διοκλητιανὸν ἐπάνεισι θυμηδίας. Ἐκεῖσε γὰρ τὸ τηνικαῦτα σὺν πλήθει παρῆν στρατιᾶς Μαξιμιανῷ συμμαχήσων, εἴ γε δρασμὸν ἐκεῖνος καθυπομείνῃ νῶτα τοῖς ἐχθροῖς δεδωκώς. Δεξάμενος οὖν αὐτὸν μετὰ περιχαρείας ὁ τῶν δαιμόνων θεραπευτὴς τῆς Παλαιστίνης ἀπαναστὰς σὺν αὐτῷ πρὸς τὴν Νικομήδους ἐπάνεισι καὶ τῇ τῶν ψευδωνύμων αὐτοῦ θεῶν ἐπικουρίᾳ τὰ τοιαῦτα τρόπαια ἐπιγράψας, θυσίαις μὲν πλείστων ζῴων καὶ δημοτελέσι πανηγύρεσιν ἀμείβεσθαι τούτους διηγωνίζετο φιλοτιμότερον καὶ πέρα τοῦ μέτρου θεραπεύειν πειρώμενος. Ἐπείπερ δ᾽ ἦν ἤδη περὶ τῆς ἀμωμήτου πίστεως ἀκηκοὼς τῶν Χριστιανῶν, βασκανίας κέντρῳ πληγεὶς καὶ τοὺς ὁμοτρόπους αὐτῷ, Μαξιμιανόν φημι καὶ οὓς φθάσας ὁ λόγος ἐδήλωσε, μετακαλεσάμενος ἐσκόπει σὺν αὐτοῖς, ὅπως ἂν ἡ μὲν τῶν Χριστιανῶν ἐκποδὼν γένηται λατρεία, ὑποκύψωσι δὲ πάντες σέβεσθαι καὶ τιμὰς προσφέρειν τοῖς ἀψύχοις εἰδώλοις. Ἦν γὰρ μάλιστα τῇ ψυχοφθόρῳ τοῦ Ἀπόλλωνος ἀπάτῃ προστετηκὼς ὁ τῆς ἀπωλείας ὄντως υἱὸς καὶ τῶν τιμωμένων ξοάνων ἀναισθητότερος. Ἐπὶ κακῷ γοῦν τὴν συμφωνίαν, ὡς εἴρηται, ποιησάμενοι καὶ σκεψάμενοι ἅμα γράφουσιν ἐκ προσώπου αὐτοῦ τοῦ τῆς ἀσεβείας προστάτου κατὰ πᾶσαν χώραν τε καὶ ἐπαρχίαν ἄρχουσί τε καὶ σατράπαις καὶ πᾶσι τοῖς ἐν ὑπεροχῇ οὖσιν ἐπιστολὰς ὧδέ πως περιεχούσας·*

*«Διοκλητιανός, μέγιστος, ἀεισέβαστος, αἰώνιος βασιλεύς, τοῖς*

*κατὰ πᾶσαν χώραν τε καὶ ἐπαρχίαν τῆς τῶν Ῥωμαίων ἀρχῆς στρατηγοῖς τε καὶ ἡγεμόσι καὶ τοῖς κατ᾽ ἐξοχὴν ἅπασι χαίρειν. Ἐπειδήπερ φήμη τις περὶ τὰς ἡμετέρας ἐλήλυθεν ἀκοὰς οὐ μετρίως ἐπιταράττουσα τὸ κράτος ἡμῶν ὡς ἀσεβεστάτης αἱρέσεώς τινος εἰσφθαρείσης τῶν λεγομένων Χριστιανῶν σεβομένων μὲν καὶ διὰ πάσης ἀγόντων τιμῆς Ἰησοῦν τινα λεγόμενον, ὃν ἔτεκε Μαρία τις Ἰουδαία γυνή, τὸν καὶ ὑπὸ Ἰουδαίων ὡς κακοῦργον κατακριθέντα καὶ σταυρωθέντα, Ἀπόλλωνα δὲ τὸν μέγαν θεόν, Ἑρμῆν τε καὶ Διόνυσον, Ἡρακλῆν τε καὶ Δία, δι᾽ ὧν εἰρήνη τῇ ἡμετέρᾳ δεδώρηται πολιτείᾳ, βλασφημούντων καὶ μυρία ὅσα εἰς αὐτοὺς ἀπηρυθριασμένως ἀποσκωπτόντων, τούτου χάριν θεσπίζομεν, ὥστε τοὺς εὑρισκομένους Χριστιανοὺς πανταχῇ, ἄνδρας τε καὶ γυναῖκας, τιμωρίαις ὑποβάλλεσθαι πικροτάταις πρὸς τὸ ἀρνεῖσθαι μὲν αὐτοὺς τὴν οἰκείαν θρησκείαν, λατρεύειν δὲ τοῖς μεγίστοις θεοῖς. Καὶ εἰ μὲν πείθοιντο, συγγνώμης τε ἀξιοῦσθαι καὶ δωρεῶν φιλοτίμων μεταλαμβάνειν· εἰ δὲ μὴ βούλοιντο τῆς πρεπούσης αὐτοῖς ἀποστῆναι μανίας, μετὰ πολλὰς βασάνους καὶ τιμωρίας τῷ διὰ ξίφους θανάτῳ ὑπάγεσθαι. Εἰδότες τοίνυν ὡς, εἴπερ τῶν ἡμετέρων κελεύσεων κατολιγωρήσητε, τὰς αὐτὰς ἐκείνοις κολάσεις ὑφέξετε, διὰ σπουδῆς θέσθε πάσης εἰς πέρας ἀγαγεῖν τὰ προστεταγμένα.»*

*Τῶν οὖν τοιούτων γραμμάτων κατὰ πᾶσαν πόλιν τε καὶ χώραν προτιθεμένων καὶ διωγμοῦ φρικώδους κατὰ τῆς Χριστοῦ ποίμνης σφοδρῶς ἀναῤῥιπισθέντος παντοίων τε βασανιστηρίων ὀργάνων κατὰ τῶν εὐσεβῶν ἐπινοουμένων καὶ πολλῶν δι᾽ ἔχθραν καὶ μῖσος κακούργως τοὺς πιστοὺς θηρευόντων καὶ τοῖς παρανόμοις ἄρχουσιν εἰς θάνατον προδιδόντων καί τινων μὲν σιδήρῳ καὶ πυρὶ καὶ παντοίαις βασάνων ἰδέαις μέχρι τέλους νεανικῶς ἀντιτασσομένων, τινῶν δὲ περὶ τὰ μέσα που τῶν ἀγώνων πρὸς τοὺς αἰκισμοὺς ἀπαγορευόντων καὶ τῆς ἀμώμου*

*πίστεως ἀγεννῶς ἀποῤῥηγνυμένων, τηνικαῦτα καθάπερ ἐν ζοφώδει νυκτὶ ὁ παμφαὴς ἀστὴρ ἐπέλαμψε καὶ πυρσὸς διαυγέστατος ὁ τῆς μακαρίας Τριάδος διαπρύσιος κῆρυξ Γεώργιος καὶ τῶν τοῦ Χριστοῦ παθημάτων ἀκριβέστατος μιμητὴς τῆς μὲν ἀθέου τῶν εἰδώλων ἀπάτης τὴν πολυτάραχον ἐξελάσων ἀχλύν, τὴν δὲ σωτήριον πίστιν ἀνακηρύξων, οὐ λόγοις μόνον, πολλῷ δὲ μᾶλλον ἱδρῶσι καὶ ἀγωνίσμασι.*

*Τούτῳ τοίνυν τῷ θαυμασίῳ πατρὶς μὲν ἡ Καππαδοκῶν χώρα ὑπῆρχε, πατὴρ δὲ Γερόντιος ἐκεῖνος ὁ περιφανὴς καὶ περίβλεπτος καὶ τῇ τοῦ στρατηλάτου ἀξίᾳ τετιμημένος καὶ ἡ μήτηρ οὐκ ἀποδέουσα τοῦ συζύγου. Οὗτος περιουσίᾳ λαμπρὸς ὢν καὶ τὸν τρόπον θεοφιλὴς ἐν τῷ ἐπισήμῳ τῶν Ἀνικίων νουμέρῳ τριβοῦνος πολλάκις πρότερον μεγαλοπρεπῶς διαπρέψας τοῦ τῶν σχολῶν μετὰ ταῦτα πρώτου τάγματος κόμης κατ᾽ ἐκλογὴν προεβλήθη. Μεγέθει γὰρ σώματος καὶ ἡλικίας ἀκμῇ καὶ δυνάμει διέπρεπε δύο πρὸς τοῖς εἴκοσι τυγχάνων ἐτῶν.*

*Ἐπεὶ οὖν ὁ σκολιὸς ἐκεῖνος Διοκλητιανὸς ἔτι μᾶλλον οἰστρηλατούμενος καὶ ζέων τῷ θυμῷ κατὰ τῶν Χριστιανῶν ἠρεθίζετο σφοδρότερον ἐπισκήψαντος αὐτῷ τοῦ φθόνου καὶ τὴν θεομάχον αὐτοῦ καταπιμπρῶντος ψυχήν, προσκαλεσάμενος καὶ αὖθις τήν τε σύγκλητον καὶ ἅπαντας τοὺς ἐν ὑπεροχῇ ὄντας σὺν τοῖς στρατεύμασιν, οὓς ἄν τις εὖ φρονῶν μωρὸν λαὸν καὶ οὐχὶ σοφὸν εἴποι, συμβούλιον ἐποιεῖτο πάλιν, ὅπως ἂν παντάπασι τῆς ἑαυτοῦ βασιλείας τὸ τῶν Χριστιανῶν ἐξολοθρεύσῃ γένος. Πάντων δὲ τῶν συγκαθημένων τε καὶ περιεστηκότων τῷ βασιλεῖ ἐμφόβων ὄντων καὶ τὸ παριστάμενον αὐτῷ ἑτοίμως πράττειν ἀνομολογουμένων, αὐτὸς μέγα τι καὶ ἀλαζονικὸν ἐπαρθεὶς ἐδημηγόρησε λέγων· «Ἐμοὶ δοκεῖ, προσφιλέστατοι, μηδὲν εἶναι τιμιώτερον τῆς εἰς τοὺς ἀθανάτους ἡμῶν θεοὺς εὐσεβείας, ἐπειδὴ παρ᾽ αὐτῶν βασιλεία καὶ σωτηρία δεδώρη-*

*ται. Δίκαιον τοίνυν ἡγοῦμαι τούτους μὲν ταῖς φιλοτίμοις θυσίαις καταγεραίρειν, τοὺς δὲ εὑρισκομένους Χριστιανοὺς δειναῖς κολάσεσιν ὑποβάλλειν, μέχρις ἂν ἀφανισμῷ τελείῳ παραδοθῇ ἡ τούτων δυσσεβεστάτη θρησκεία.»*

*Πρὸς ταῦτα συμφώνως ἅπαντες ἀπεκρίθησαν· «Ἡμεῖς, ὦ μέγιστε καὶ ἀήττητε βασιλεῦ, τὴν τῆς ὑμετέρας θειότητος διὰ πάντων πρόνοιαν ἀσμένως ἀποδεχόμενοι τοὺς μεγίστους βουλόμεθα τιμᾶσθαι θεοὺς παραπλησίως τῷ ὑμετέρῳ κράτει. Εἰ δέ τις εὑρεθείη τοῦ λοιποῦ Χριστὸν ὀνομάζων, χαλεπωτάταις βασάνοις παραδιδόμενος ἀναιρείσθω.»*

*Τούτων οὕτω τυρευομένων ὑπὸ τοῦ μιαροῦ ἐκείνου καὶ παρανόμου βουλευτηρίου, ὃ καὶ Καϊάφα τις συνέδριον προσειπὼν ἢ λῃστῶν ἄθροισμα ἢ δαιμόνων σύλλογον οὐχ ἁμαρτήσεται τοῦ προσήκοντος, παρὼν τηνικαῦτα καὶ ὁ γενναῖος οὗτος στρατιώτης Γεώργιος ἐν τῷ στρατοπέδῳ τῷ βασιλεῖ Μαξιμιανῷ ἅτε μέλλων παρ᾽ αὐτοῦ κατὰ τὴν τούτου πρὸς αὐτὸν ὑπόσχεσιν εἰς τὸ τοῦ στρατηλάτου προβληθῆναι ἀξίωμα καὶ τὴν μὲν παρὰ τῶν βασιλέων κατά τε τοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ ποίμνης μελετωμένην σκαιωρίαν καταμαθών, θεασάμενος δὲ καὶ τὴν πολυειδῆ τῶν βασανιστηρίων ὀργάνων κατασκευήν, ἃ πρὸς κατάπληξιν τῶν ὁρώντων ἐν τοῖς τῶν βασιλείων προθύροις ἐφήπλωτο, καὶ βραχύ τι μὲν ὡς ἐπὶ τούτοις θαυμάσας, ἀνδρείῳ δὲ τῷ φρονήματι ταῦτα παρὰ φαῦλον θέμενος διελογίζετο λέγων πρὸς αὐτόν· «Γεώργιε, τί ἕστηκας ἀργὸς τοῦ Κυρίου καλοῦντος τοὺς βουλομένους εἰς τὸν ἴδιον γάμον; ἀνέῳγεν ὁ νυμφών, τὸ δεῖπνον ἡτοίμασται. Τί βραδύνεις; εἴσελθε, πρὶν ἢ κλησθῆναι τὴν θύραν· πάρεστι καὶ νῦν Ἰησοῦς ὁ δι᾽ ἡμᾶς σταυρὸν καὶ θάνατον ὑπομείνας· «Μὴ φοβηθῆτε», λέγων, «ἀπὸ τῶν ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι.» Μνήσθητι, Γεώργιε, τῶν εὐαγγελικῶν διδαγμά-*

*των, ἐν οἷς ὁ δεσπότης φησίν· «Ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.» Μὴ προκρίνῃς, Γεώργιε, τὴν πρόσκαιρον ταύτην καὶ παρερχομένην τοῦ βίου σκιὰν τῆς αἰωνίου ζωῆς μηδὲ τὴν ματαίαν δόξαν τοῦ κόσμου τῆς οὐρανίου ἐλπίδος, ὅτι πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου καὶ πᾶσα βιοτικὴ περιφάνεια ὀνείρου παντὸς ἀδρανεστέρα καθέστηκεν. Ὀλίγον ὑπόμεινον καὶ μετ᾽ ἀγγέλων εἰς αἰῶνας ἀγαλλιάσῃ.» Ταῦτα πρὸς ἑαυτὸν συλλαλήσας μετρίως ἀπηχουμένῃ φωνῇ καὶ ταύτῃ τῇ καλλίστῃ γνώμῃ καὶ συμβουλῇ στηρίξας τὸν λογισμὸν καὶ τὸν μὲν τοῦ βασιλέως θυμὸν εἰς οὐδὲν λογισάμενος, τοῦ δὲ προκειμένου πλήθους τῶν κολαστηρίων καταφρονήσας αὐτίκα τὴν ἅπασαν αὐτοῦ περιουσίαν πένησι διανείμας ἀθλητικῶς ἀπεδύσατο.*

*Καὶ προκαθημένων βασιλέων μὲν δύο, τοπαρχῶν δὲ τριῶν καὶ πάντων τῶν ἐν ὑπεροχῇ μεγιστάνων, ὡς εἶναι τοὺς ἐκεῖσε τὸ τηνικαῦτα συνεδριάζοντας ἅπαντας ἑβδομήκοντα καὶ δύο τὸν ἀριθμόν, οὓς δὴ πάντας βασιλεῖς ὑπειληφότες τινὲς ὑπὸ ἑβδομήκοντα δύο ἔφασαν βασιλέων τιμωρηθῆναι τὸν δίκαιον· προκαθημένων οὖν τοσούτων παρανόμων καὶ μιαιφόνων ἀνδρῶν, στὰς ἐν μέσῳ τοῦ βήματος ὁ ἀληθὴς στρατιώτης τοῦ παμβασιλέως Χριστοῦ εὐθαρσῶς καὶ ἀνδρείως οὐδὲν ὑποπτήξας τῶν φοβερῶν ἐλευθέρᾳ τῇ φωνῇ Δαυϊτικῶς ἐπαῤῥησιάσατο· «Τίς ἡ πονηρά», λέγων, «καὶ βέβηλος αὕτη συναγωγή; τίς ὁ τρόπος τῆς τοσαύτης ἀνοίας καὶ ἀσεβείας; ὄντως τὸν τῆς βασιλείας ἔννομον θρόνον λοιμῶν καθέδραν εἰργάσασθε τοιαῦτα κατὰ Χριστοῦ μελετήσαντες· ἐματαιώθητε γὰρ ἐν τοῖς διαλογισμοῖς ὑμῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος ὑμῶν καρδία, καὶ φάσκοντες εἶναι σοφοὶ ἐμωράνθητε. Αἰσχύνθητε οὖν οἱ τὸν μὲν Υἱὸν τοῦ Θεοῦ τὸν πάντων δημιουργὸν καὶ δεσπότην φρενοβλαβῶς ἀθετοῦντες,*

www.tezaurliturgic.ro

*δαίμονας δὲ τοὺς ἀκαθάρτους θεοποιούμενοι καὶ εἴδωλα τούτων πνοῆς ἔρημα καὶ κωφὰ διὰ τιμῆς ἄγειν αἱρούμενοι. Εἴ τι οὖν ἐμοὶ πείθεσθε, τὸ σκότος ἀφέντες προσέλθετε τῷ θείῳ φωτὶ καὶ τῆς πλάνης ἀποστάντες τῇ ἀληθείᾳ προσδράμετε, ἥτις ἐστὶν ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἐπίγνωσις, δι᾿ οὗ ζωῆς μακαρίας καὶ δόξης μὴ ληγούσης ἀξιωθήσεσθε. Ἡ γὰρ δόξα ὑμῶν αὕτη σαθρὰ καὶ ματαία καὶ χλόῃ παραπλησίως μαραινομένη· οὐκ ἀνέχομαι Θεότητος ὑβριζομένης ἐφησυχάζειν· οὐ φέρω τὴν εἰς τὸν Κύριον παροινίαν ὁρᾶν. Βέλτιόν μοι εἰς μέρη καὶ μέλη κατατμηθῆναι καὶ μυρίοις παραδοθῆναι θανάτοις ἢ τοιούτων βλασφημιῶν κατὰ τοῦ τῶν ὅλων Δεσπότου τολμωμένων ἀνέχεσθαι.»*

*Τούτων ἡδέως ἅμα καὶ γενναίως ὑπαγορευθέντων τῷ μάρτυρι, ἀτενίσας αὐτῷ Μαγνέντιος ἔφη· «Τί σου τὸ ὄνομα; καὶ πῶς ἐπὶ τοσοῦτον προήχθης θρασύτητος, ὥστε μετὰ τοσαύτης τόλμης τῷ φοβερῷ τούτῳ βήματι σαυτὸν ἐπιδοῦναι;» ὁ ἅγιος Γεώργιος εἶπεν· «Ἐμοὶ τὸ μὲν πρῶτον καὶ τιμιώτατον ὄνομα Χριστιανὸς καὶ Χριστοῦ δοῦλος καὶ τούτῳ πλέον ἐγκαλλωπίζομαι ἢ ἄλλος τῷ τῆς βασιλείας ὀνόματι, τὸ δ᾿ ἀπὸ γενέσεως φημισθὲν Γεώργιος τοῦ Θεοῦ μου κἀνταῦθα οὕτως οἰκονομήσαντος· δεῖ γάρ με τὰ τῆς ἀθέου τῶν εἰδώλων πλάνης ζιζάνια πονηρὰ τῶν ἀνθρωπίνων ἐκτίλαντα καρδιῶν τὴν γονιμωτάτην ἐμφυτεῦσαι γνῶσιν τοῦ τῶν ἁπάντων δημιουργοῦ, ὅς ἐστι Πατὴρ καὶ Υἱὸς καὶ Ἅγιον Πνεῦμα, Τριὰς ὁμοούσιος, ἐν τρισὶ μὲν προσώποις προσκυνουμένη, μιᾷ δὲ δοξαζομένῃ θεότητι. Οὗτος τοίνυν ὁ ἐν τρισὶν ὑποστάσεσι θεωρούμενος ἐκ μὴ ὄντων τὰ πάντα παραγαγὼν εἰκότως παρὰ πάντων Θεὸς ἀληθὴς ὡμολόγηται καὶ τετίμηται, δι᾿ οὗ βασιλεῖς βασιλεύουσι καὶ τύραννοι κρατοῦσι γῆς, δι᾿ οὗ καὶ τὸν παρόντα βίον εἰλικρινεῖς καὶ ἀπρόσκοπτοι διαπεραιούμεθα καὶ μετὰ τὴν ἐντεῦθεν*

*ἀπαλλαγὴν ἐν τῷ μέλλοντι αἰῶνι τὴν ἀνόλεθρον καὶ μακαρίαν λῆξιν καρπούμεθα. Τὰ δὲ ὑμέτερα σεβάσματα, μᾶλλον δὲ προσοχθίσματα, ἐμπαιγμοῦ καὶ χλεύης καὶ μυρίων σκωμμάτων ἐπάξια· μῦθοι γάρ εἰσι καὶ οὐδὲν παρ᾽ αὐτοῖς ἀληθὲς οὐδὲ μόνιμον, καθότι ἐφεύρεσις τοῦ διαβόλου εἰσὶν ἀπωλείας βόθρῳ τοὺς αὐτοῖς προσανέχοντας παραπέμποντας.»*

*Τούτων ῥηθέντων ὑπὸ τοῦ μάρτυρος, Μαγνέντιος μὲν τοῖς λόγοις ἐμβροντηθεὶς καὶ τὸ πρόσωπον ἐντροπῇ καλυψάμενος καθῆστο τῇ ἀφωνίᾳ πεπεδημένος. Πῶς γὰρ καὶ ἴσχυσε τοῦ ψεύδους ὢν λατρευτὴς πρὸς ἀληθείας θεραπευτὴν ἀντιφθέγξασθαι; καὶ αὐτὸς δὲ Διοκλητιανὸς ἐπὶ πολὺ σιωπῶν κατενόει μὲν αὐτοῦ τὸ ἄνθος τῆς ἡλικίας, τὴν τῶν μελῶν συμμετρίαν, τὴν τῆς μορφῆς ὡραιότητα, ἀπεθαύμαζε δὲ αὐτὸν τῆς ἀκαταπλήκτου παῤῥησίας, τοῦ γενναίου φρονήματος, τοῦ νεανικοῦ παραστήματος· καὶ μόλις ἀνενεγκὼν τῆς σιγῆς ἡμέρως καὶ προσηνῶς ἔλεγε πρὸς αὐτόν· «Γεώργιε, οὐχ ἅπαξ οὐδὲ δίς, πολλάκις δὲ παρὰ πολλῶν μεμαθήκαμεν περὶ σοῦ, ὡς εὐγενὴς ἅμα καὶ περιουσίᾳ λαμπρὸς τυγχάνων, φρονήσει τε καὶ ἀνδρείᾳ κεκοσμησμένος τιμὰς οὐκ εὐκαταφρονήτους καὶ ἀξιωμάτων διανομὰς παρὰ τοῦ ἡμετέρου κράτους ἀπείληφας, καὶ οὐκ ἄλλοθέν ποθεν ταῦτά σοι προσγενέσθαι πιστεύομεν ἢ παρὰ τῆς τῶν μεγάλων θεῶν προμηθείας. Μὴ οὖν οὕτω περὶ τοὺς εὐεργέτας ἀγνώμων φανῇς καὶ ἀχάριστος μηδὲ τῶν θειοτάτων ἡμῶν θεσπισμάτων καταφρονητής, ἀλλ᾽ ἐννοήσας, ὡς τοσούτων τιμῶν ἤδη τετύχηκας καίπερ μηδέπω ἡμῖν ὁραθείς, σωφρονέστερον πρὸς ἡμᾶς διατέθητι· πάντως γὰρ λαμπροτέρων ἀξιωμάτων καὶ δωρεῶν δαψιλεστέρων ἀξιωθήσῃ πιθήσας ἡμῶν τῷ προστάγματι καὶ τοὺς μεγίστους ἡμῶν θεοὺς σεβασθείς· ἀποστὰς οὖν τῆς προσούσης σοι ἀσεβείας καὶ τὴν ἀνόνητον ταύτην παῤῥησίαν ἐννοήσας προσελθὼν θῦσον*

*τοῖς ἀθανάτοις θεοῖς εἰδὼς ἀκριβῶς, ὡς ἀνυπόστατοι βάσανοι καὶ δριμεῖαι ὀδύναι σε διαδέξονται ἐπιμένοντα τῇ ἀνοίᾳ ταύτῃ. Ἐμοῦ τοίνυν τὰ ἑκατέρωθεν ἀπαντήσοντα πατρικῶς σοι προειρηκότος, σὸν ἂν εἴη λοιπὸν ἢ τὰ χρηστὰ καὶ κρείττονα λόγου παντὸς ἢ τὰ φρίκης αἱρήσασθαι γέμοντα.»*

*Καὶ ὁ μάρτυς· «Αἱ τιμαί σου, βασιλεῦ, καὶ αἱ ἀτιμίαι οὐδενὸς ἡμῖν ἄξιαι κρίνονται, καθότι σοι ἐοίκασι· καὶ γὰρ ὥσπερ αὐτὸς ἐκ τῶν φθειρομένων τὴν σύστασιν εἴληφας, μικρὸν δ᾽ ὕστερον τὴν φυσικὴν διάλυσιν ὑφιστάμενος εἰς τὸ μὴ ὂν χωρεῖς, καὶ ὁ πρὶν ἄγων πάντα καὶ φέρων καὶ παρὰ πάντων ἀποβλεπόμενος ἀνάρπαστος οἴχῃ, καὶ οὐδὲ ἴχνος τι μικρὸν τῆς προτέρας εὐδαιμονίας καταλείποις τῷ βίῳ, οὕτω καὶ τὰ περὶ σὲ ἅπαντα διαῤῥεῖ καὶ εἰς οὐδὲν καταστρέφει, τῆς ὁρωμένης ὅλης κτίσεως τῇ ματαιότητι καθάπαξ ὑποταγείσης· διόπερ εἴθε μᾶλλον αὐτὸς ἐμοὶ πειθόμενος τὸν μόνον ἀληθινὸν καὶ αἰώνιον ἐπέγνως θεόν, ὅς σε καὶ τῆς ἐπουρανίου βασιλείας ἠξίωσεν ἂν ὥσπερ καὶ τῆς ἐπιγείου· ἡ γὰρ παροῦσα δόξα, ἐφ᾽ ᾗ μέγα φρονεῖς, ἀτμίδος καὶ τέφρας οὐδὲν διενήνοχεν. Εἰ δὲ μὴ βούλῃ τῷ ἀθανάτῳ προσελθεῖν βασιλεῖ καὶ τῷ τῆς εὐσεβείας καταυγασθῆναι φωτί, μὴ δὴ ὅλως προσδόκα θεοῦ ζῶντος δοῦλον ἐξαπατῆσαι, ὥστε δαίμοσιν ἀλιτηρίοις ὑποκῦψαι καὶ νεκροῖς ξοάνοις θυσίαν προσαγαγεῖν. Συνετῶν γὰρ ἀνδρῶν οὐκ ἀπὸ φωτὸς εἰς σκότος, ἀλλ᾽ ἀπὸ σκότους εἰς φῶς, ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα, ἀπὸ θανάτου πρὸς ζωὴν ἐπανάγεσθαι.»*

*Ὁ βασιλεὺς ἔφη· «Καὶ οὕτως ἔθου προδοῦναί σου τὴν νεότητα καὶ τὸν γλυκὺν τοῦτον καταλιπεῖν ἥλιον καὶ θάνατον ἄωρον τῆς ἡδίστης ταύτης ζωῆς διαμείψασθαι;» ὁ ἅγιος Γεώργιος εἶπεν· «Οὐχ ὡς οἴῃ, βασιλεῦ, θάνατος τοῦτο καὶ ἀπώλεια, ἀλλὰ χαρὰ καὶ θυμηδία καὶ ἀγαλλίασις· διὰ γὰρ τῶν δοκούντων τούτων ἀνιαρῶν τὴν αἰώνιον ζωήν, τὴν ἀίδιον μακαριότη-*

www.tezaurliturgic.ro

τα, τὰ ἀγαθὰ καρπούμεθα ἐκεῖνα, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.»

Ταῦτα τοῦ ἁγίου μάρτυρος εἰρηκότος, θυμοῦ πλησθεὶς ὁ ἀνόσιος τύραννος ἐμβριθέστερόν τε αὐτῷ ὄμματα ἐπιβαλὼν καὶ μέγα τι καὶ ὀργίλον ἀνακραγών· «Ἐγὼ μέν», ἔφη, «τῆς σῆς σωτηρίας κηδόμενος καὶ μυρίων σε μέτοχον ἀγαθῶν βουλόμενος καταστῆσαι ἐπὶ τοσοῦτον καὶ βλέμμα σοι γαληνὸν ἐνεδειξάμην καὶ μακροθύμως ἠνεσχόμην τῆς σῆς ἀναιδείας. Ἐπεὶ δὲ αὐτὸς μηδένα τούτων ποιούμενος λόγον ἀιδίων τινῶν διὰ τῶν παρ᾽ ἡμῶν βασάνων ἐπιτεύξεσθαι ὀνειροπολεῖς, ἀπόλαβε λοιπὸν ὧν τὸν ἔρωτα τρέφεις ἐν τῇ ψυχῇ, καὶ ἴδωμεν ποῦ σοι τὰ τῆς ἐλπίδος, μᾶλλον δὲ τὰ τῆς ἀπάτης, περιστήσεται.» Καὶ παραυτίκα κελεύει τοῦτον ὑπ᾽ ἀνδρῶν γενναίων ἰσχυρῶς ἐκταθέντα βουνεύροις ἀπηνῶς καταξαίνεσθαι. Τοῦ δὲ μάρτυρος ἐπὶ πολὺ τὴν τιμωρίαν ταύτην ἀνδρικῶς ὑπομένοντος, προσέταξε πάλιν ὁ βασιλεὺς ξύλῳ τοῦτον ἀναρτηθέντα κοντῷ κρουσθῆναι κατὰ τῆς γαστρὸς πρὸς τὸ τὴν κρυφίαν τῶν σπλάγχνων αὐτοῦ σύνθεσιν ὡς ὕδωρ εἰς γῆν ἐκχυθῆναι. Τοῦ δὲ κοντοῦ μολύβδου δίκην ἀποστραφέντος εἰς τὰ ὀπίσω, εἶπεν ὁ ἅγιος μάρτυς· «Εὐχαριστῶ σοι, Κύριε Ἰησοῦ Χριστέ, ὅτι τὴν ῥομφαίαν τοῦ ὑπηρέτου τοῦ διαβόλου ἀπέστρεψας ἀπ᾽ ἐμοῦ καὶ τὸ καθ᾽ ἡμῶν φρύαγμα τοῦ τυράννου καθεῖλες.»

Τούτοις χρωμένου τοῦ δικαίου τοῖς ῥήμασι, μανίας δεινοτέρας ὑποτρέφει νέφος τὸν ἀσεβῆ καὶ ὄνυξι σιδηροῖς ἐκέλευσεν αὐτὸν ξαίνεσθαι καὶ τούτου γενομένου ἥλοις προστάττει τοὺς πόδας αὐτοῦ ξυλίνῳ προσηλωθῆναι βωμῷ καὶ ἀφειδῶς ἀγκωνίσκοις κατατιτρώσκεσθαι. Τοῦ δὲ μακαρίου μάρτυρος καὶ τὴν τοιαύτην βάσανον καρτερῶς ὑποφέροντος, κελεύει τοῦ βωμοῦ τοῦτον ἀποκαθηλωθέντα εἰς τὴν φρουρὰν ἀπενεχθῆναι καὶ

*τοὺς αὐτοῦ πόδας ἐν τῷ τῶν κακούργων ἐκπιασθῆναι ξύλῳ, ὑφ᾽ ὃ ἁπλωθῆναί τε αὐτὸν τῷ ἐδάφει καὶ σχοινίοις διαταθῆναι καὶ λίθον ὄντα βαρύτατον ἐπιτεθῆναι τοῖς στέρνοις, ὥστε τῇ βιαιοτάτῃ συντριβῇ τὴν ψυχὴν ἀποῤῥῆξαι. Ὑπὸ πολλῶν τοίνυν ἀνδρῶν μηχανῇ τινι βασταχθέντος τοῦ λίθου καὶ τῷ τοῦ δικαίου στήθει ἐπιτεθέντος αὐτὸς μεγάλῃ τῇ φωνῇ εἶπεν· «Εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι κατηξιώθην δέξασθαι τὸ τοιοῦτον βάρος ἐν τῇ καρδίᾳ μου τὸ ὀφεῖλον ἐν ἐμοὶ στηρίξαι τὸ ἀμετάθετον τῆς εἰς σὲ ὁμολογίας.» Ὁ μὲν οὖν ἀήττητος μάρτυς διὰ πάσης τῆς νυκτὸς ὑπὸ τὸν λίθον ἐκτεταμένος ἔκειτο τῷ ἐκείνου δεινῶς ἐναποθλιβόμενος βάρει.*

*Ὁ δὲ βασιλεὺς τῇ ἐπαύριον γνοὺς διὰ τῶν περὶ τὰ τοιαῦτα τεταγμένων ζῆν αὐτὸν ἔτι κελεύει μέγιστόν τινα κατασκευασθῆναι τροχὸν δυσὶ στύλοις μετεώρως φερόμενον ἐν σχήματι πιεστηρίου τεκτονικοῦ, δοκὸν δέ τινα μακρὰν ἐν τῇ γῇ καταντικρὺ τῶν τούτου ἀψίδων ὑποτεθῆναι, ἐν ᾗπερ ἧλοι ὀξεῖς καὶ ἄλλα τινὰ διάφορα ξίφη προσφυῶς ἐμπεπαρμένα ἐτύγχανον. Ἀπαρτισθέντος δὲ τοῦ τοιούτου ὀργάνου, προσέταξεν ὁ ἀσεβέστατος βασιλεὺς ἀχθέντα τὸν ἅγιον βληθῆναι ἐν αὐτῷ. Ὡς δὲ κατὰ τὸν τόπον, ἐν ᾧπερ ἦν ὁ τροχός, αὐτὸν ἤγαγον, θεασάμενος τέχνῃ σατανικῇ κατεσκευασμένον τὸ τοιοῦτον ὄργανον, ἀτενίσας εἰς τὸν οὐρανὸν εἶπε· «Κύριε Ἰησοῦ Χριστέ, ὁ ὑπεράγαθος Θεός μου, εὐχαριστῶ σοι, ὅτι με τὸν ἀνάξιον εἰς τὸν παρόντα κλῆρον ἐκάλεσας. Αὐτὸς οὖν, ὁ ἐν μέσῳ δύο λῃστῶν σταυρωθεὶς καὶ ὑπὲρ τῆς ἀνθρώπου σωτηρίας θανάτου γευσάμενος ἀθάνατος ὑπάρχων, δός μοι τῆς εἰς σὲ πίστεως ἀκλινῆ τὴν ὁμολογίαν ἐν τῇ ὥρᾳ ταύτῃ καὶ φύλαξόν μου τὴν ψυχὴν ἐκ τῆς τοῦ διαβόλου μηχανουργίας.»*

*Ταῦτα τοῦ δικαίου προσευχομένου, οἱ ὑπηρέται νεύσαντος αὐτοῖς τοῦ τυράννου ὥσπερ ἄγριοι θῆρες τοῦτον ἁρπάσαντες*

*καὶ ταῖς ἀψῖσι τοῦ τροχοῦ προσαρμόσαντες χεῖρας μὲν αὐτοῦ καθηλοῦσιν ἥλοις ἐν αὐταῖς καὶ τοὺς πόδας, αὐχένα δὲ καὶ ὀσφὺν καὶ ἰγνύας πέδαις σιδηραῖς δήσαντες καὶ συσφίγξαντες οὕτω μαγγάνοις τὸν τροχὸν ἤρξαντο στρέφειν. Ἀλλ᾽ ἦν ἰδεῖν ὑπομονὴν ἀνωτέραν καὶ προθυμίαν σωματικῆς πάσης ἀνάγκης ὑψηλοτέραν· τοῦ γὰρ τροχοῦ σὺν πολλῷ τῷ ῥοίζῳ περιστρεφομένου καὶ τοῖς ἐν τῇ δοκῷ ξίφεσι τὸ τοῦ μάρτυρος σῶμα σφοδρότερον καταῤῥάσσοντος, διεσπῶντο μὲν αἱ τούτου σάρκες ἐλεεινῶς, ὀστᾶ συνετρίβοντο, μέλη ἀπετέμνετο, αἱμάτων κατὰ γῆς ἐφέροντο ῥύακες, οἱ παρόντες καὶ τοῦτον ὠμῶς αἰκιζόμενον καθορῶντες τὰς ὄψεις ἀπέστρεφον. Ὁ δὲ μάρτυς, ὢ ψυχῆς ἀνδρείας, ὢ γενναίου φρονήματος, καθάπερ ἐπὶ στιβάδος κείμενος οὕτω διέκειτο· ἔρως γὰρ ἀκραιφνής τε καὶ γνήσιος τῶν μὲν ἔξωθεν προσπιπτόντων ἀνιαρῶν πάντων καταφρονεῖ, πρὸς ἓν δὲ τὸ ποθούμενον ἐκβιάζεται συννεύειν τὸ φρόνημα.*

*Θεασάμενος δὲ ὁ Διοκλητιανὸς δεινῶς κατατμηθέντα τὸν ἅγιον καὶ οἰηθεὶς τῇ χαλεπῇ ταύτῃ βασάνῳ τοῦτον ἐναποψῦξαι, μέγα τι καὶ διαπρύσιον ἐξεβόησεν· «Ἑωράκατε πάντες οἱ περιεστῶτες, ὡς οὐκ ἔστι Θεὸς ἕτερος πλὴν Ἀπόλλωνος καὶ Ποσειδῶνος, Ἡρακλέους τε καὶ Διὸς καὶ τῆς μεγάλης Ἀρτέμιδος. Ποῦ νῦν ἐστιν ὁ Θεὸς Γεωργίου; πῶς οὐκ ἐπέστη τῶν ἡμετέρων αὐτὸν ἐξαρπάσων βασάνων;» Κελεύσας οὖν ἐν τῷ τροχῷ διαμένειν τὸν ἀθλητὴν εἰς ἐξουδένωσιν δῆθεν τοῦ Χριστοῦ καὶ τῶν ὁρώντων κατάπληξιν αὐτὸς εἰς τὰ βασίλεια ᾤχετο. Ἤδη δὲ ὥρας γεγονυίας ἑβδόμης, ἦχος ἠνέχθη φοβερὸς ἐκ τοῦ οὐρανοῦ καὶ φωνὴ ἦλθε λέγουσα· «Ἀνδρίζου, Γεώργιε, καὶ ἀδίστακτος ἔσο· πολλοὶ γὰρ πιστεύουσι διὰ σοῦ εἰς ἐμέ.» Οἱ μὲν οὖν φυλάττοντες αὐτὸν στρατιῶται ἐκ τῆς γενομένης θροηθέντες ἠχῆς καὶ δείματος δεινοῦ πληρωθέντες, ᾗ ποδῶν εἶχον οἱ δυσσεβεῖς, ἐδραπέτευον. Ἄγγελος δὲ Κυρίου ἐκ*

*τοῦ οὐρανοῦ καταβὰς διέρρηξε τὰ δεσμὰ καὶ τοῦ θανατηφόρου ὀργάνου τὸν γενναῖον ἐξείλετο καὶ τὸ σῶμα σῶον καὶ ἄρτιον ἀποκαταστήσας ἠσπάσατο αὐτὸν ἐν ἁγίῳ φιλήματι λέγων· «Χαίροις ἀληθῶς ἐν Κυρίῳ, Γεώργιε· μακάριος εἶ ὄντως καὶ τρισμακάριος, ὅτι ὑπὲρ τοῦ δόντος ἑαυτὸν ὑπὲρ σοῦ παρέδωκας καὶ αὐτὸς ἑαυτὸν εἰς θάνατον· ἐνδυναμοῦ τοίνυν καὶ ἔτι μᾶλλον ἐν αὐτῷ τῷ Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ· τῷ τῶν χαρίτων γὰρ στεφάνῳ ὁ τῆς δόξης σε κατακοσμήσειε βασιλεὺς τὴν ἀσέβειαν τροπωσάμενον.»*

*Τούτων ἀκούσας τῶν ῥημάτων ὁ μάρτυς καὶ σῶμα καὶ ψυχὴν νευρωθεὶς ἐῤῥωμενέστερον ἐπὶ τὰ βασίλεια ὥρμησεν· «Ὑψώσω σε», λέγων, «ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου, καὶ εὐλογήσω τὸ ὄνομά Σου εἰς τὸν αἰῶνα· κατεύθυνον ἐπὶ Σὲ τὰ διαβήματά μου, Κύριε, Κύριε, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομίᾳ.» Μαθὼν δὲ πρός τινος τῶν συναντώντων, ὡς ὁ βασιλεὺς σὺν τοῖς περὶ αὐτὸν ἐν τῷ τοῦ Ἀπόλλωνός ἐστιν εἰδωλείῳ κνίσαις θυσιῶν αὐτὸν καὶ σπονδαῖς θεραπεύων, ἐκεῖ καὶ αὐτὸς παραγίνεται καὶ εὑρὼν αὐτοὺς ἀναισθήτως τοῖς νεκροῖς εἰδώλοις λατρεύοντας καὶ λίαν μὲν ἀνιαθεὶς ἐπὶ τῇ πωρώσει τοῦ τοσούτου λαοῦ καὶ ἀπωλείᾳ, ζήλῳ δὲ θείῳ ἐπὶ πλεῖον τὴν καρδίαν πυρποληθεὶς λεόντειόν τε βρύξας κατὰ τῶν ὀλεθρίων δαιμόνων καὶ τὸν συνηθροισμένον λαὸν νεανικῶς παραγκωνισάμενος καὶ καταστὰς ἐν μέσῳ διαλύει μὲν αὐτίκα τὸν βδελυρὸν ἐκεῖνον καὶ μιαρώτατον σύλλογον, τάραχον οὐ μικρὸν ἐγείρας τῇ αὐτοῦ παρουσίᾳ· περικόπτει δὲ τέως καὶ τὴν τῶν δαιμόνων μυσαρὰν τελετὴν τοιαῦτα δημηγορῶν· «Ἕως πότε τὰς ἰδίας ψυχάς, ὦ ἄνδρες, τοῖς δαίμοσι καταθύετε; ἕως πότε τῷ τῆς ἀθεΐας κατεχόμενοι ζόφῳ καὶ τοὺς τῆς ψυχῆς μύοντες ὀφθαλμοὺς οὐ βούλεσθε τῷ τῆς δικαιοσύνης ἀτενίσαι ἡλίῳ; γνῶτε, πεπλανημένοι καὶ μάταιοι, ὡς ἅπαντες οἱ τοῖς ἀκα-*

*θάρτοις προσπελάζοντες δαίμοσιν ἀκάθαρτοι κατ᾽ ἐκείνους καὶ βδελυκτοὶ τυγχάνουσι. Προσδράμετε τῇ αἰωνίῳ ζωῇ, ἵνα μὴ θάνατος ὑμῶν κυριεύσῃ· προθυμήθητέ ποτε βλέψαι πρὸς τὸ ἄχρονον φῶς, ἵνα φωτὸς καὶ ἡμέρας γένησθε τέκνα· δαίμονές εἰσι τὰ σεβάσματα ὑμῶν, ἀδελφοί, τῷ ἀσβέστῳ πυρὶ τοὺς πειθομένους αὐτοῖς παραπέμποντες· Θεός ἐστιν ἀληθὴς ὁ Χριστός, ὁ ἐμὸς Θεός τοὺς αὐτῷ πειθαρχοῦντας ἑαυτῷ συνδοξάζων καὶ συζωοποιῶν.»*

*Ταῦτα κοινῇ. Πρὸς τὸν βασιλέα δὲ τὴν ἀποστροφὴν ποιησάμενός φησι πρὸς αὐτόν· «Ἐπίγνωθί με, βασιλεῦ, καὶ τὸν παρ᾽ ἐμοῦ σοι εὐαγγελιζόμενον Θεόν, τὸν ἐκ τοῦ χαλεποῦ μηχανήματός με ῥυσάμενον, οὗπερ εἰς ἀπώλειαν ἐμὴν κατεσκεύασας, ὡς ἐνόμισας.» Θαμβηθεὶς οὖν ἐπὶ τούτοις ὁ βασιλεὺς μόλις ποτὲ ναρκῶσαν τὴν γλῶτταν κινήσας πρὸς τὸν μάρτυρα ἔφη· «Τίς εἶ, ὦ ἄνθρωπε, ὁ τὴν μὲν τῶν θεῶν ἐπιταράττων θυσίαν, ἡμῖν δὲ πᾶσι θόρυβον ἐνιείς;» ὁ δὲ ἅγιος μάρτυς· «Ἐγώ εἰμί», φησι, «Γεώργιος, ὁ τὴν εἰς τὸν ζῶντα Θεὸν εὐσεβῆ πίστιν κηρύττων ὑμῖν καὶ ἔργῳ τούτου τὴν δύναμιν βεβαιῶν, ὃς οὐ μόνον ἐκ χειρὸς παρανόμων, ἀλλὰ δὴ καὶ ἐξ ἐναντίας ἁπάσης προσβολῆς καὶ θανάτου παντὸς τοὺς ἐπ᾽ αὐτῷ πεποιθότας ἐλευθεροῖ.» Ἀκριβέστερον δὲ αὐτῷ ἀτενίζων ὁ βασιλεὺς ἔλεγεν, ὅτι· «Τάχα τὸ εἴδωλον αὐτοῦ ἐστιν ὡς βιοθανοῦς καὶ χλευάζει ἡμᾶς.» Ὁ δὲ Μαγνέντιος· «Οὐχί», φησι, «ἀλλ᾽ ὅμοιος αὐτῷ ἐστι», καὶ ὁ μάρτυς· «Ἐγώ εἰμι Γεώργιος», ἔλεγεν, «ὁ τοῦ Χριστοῦ δοῦλος, μὴ οὖν ἀμφιβάλλετε πρὸς ἀλλήλους περὶ ἐμοῦ· ἀλλ᾽ ἐναργῶς τὴν τοῦ Θεοῦ μου δύναμιν ἐπιγνόντες πιστεύσατε ἀνενδοιάστως εἰς αὐτόν. Οὗτος γάρ ἐστι μόνος Θεὸς ἀληθινός, ὁ τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ φέρων τὰ πάντα καὶ τοὺς νεκροὺς ζωοποιῶν.»*

*Ταῦτα τοῦ ἁγίου μετὰ παῤῥησίας βοῶντος, Ἀνατόλιός τις*

*καὶ Πρωτολέων οἱ στρατηλάται σῶον καὶ σφριγῶντα ὁρῶντες τὸν ἤδη δόξαντα τοῖς νεκροῖς ἠριθμῆσθαι ἐπίστευσαν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πανοικὶ συνάμα καὶ ἑτέροις πολλοῖς καὶ ἀνεβόησαν ὁμοθυμαδόν· «Εἷς Θεὸς ὁ τῶν Χριστιανῶν Θεός», λέγοντες· «ἀληθῶς οὗτος μόνος Θεὸς καὶ οὐκ ἔστιν ὅμοιος αὐτῷ, ὃς ἐκ πάσης θλίψεως ῥύεται τοὺς ἐλπίζοντας ἐπ᾽ αὐτόν.» Θυμωθεὶς οὖν ἐπὶ τούτοις ὁ βασιλεὺς ἐκέλευσε πάντας αὐτοὺς πόῤῥω τῆς πόλεως ἐν ἐρήμοις τόποις ἀπενεχθέντας ἀναιρεθῆναι. Πορευόμενοι δὲ ἐπὶ τὴν τελείωσιν συμφώνως ἔκραζον ἅπαντες· «Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς Γεωργίου, πρόσδεξαι ἐν εἰρήνῃ τὰς ψυχὰς ἡμῶν καταξιῶν ἡμᾶς τοῦ κλήρου τῶν ἁγίων σου, τὴν τῆς εἰς σὲ πίστεως βραδυτάτην ὁμολογίαν ἡμῶν ταύτην λογισάμενος εἰς δικαιοσύνην καὶ ἀπολύτρωσιν τῶν ἁμαρτιῶν ἡμῶν.»*

*Μαθοῦσα δὲ τὰ πάντα τὰ κατὰ τὸν ἅγιον μάρτυρα καὶ ἡ βασιλὶς Ἀλεξάνδρα ἐπίστευσε καὶ αὐτὴ εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ παλατίου ἐξελθοῦσα μετὰ παῤῥησίας πρὸς τὸν βασιλέα ἐβόησε λέγουσα· «Γνωστὸν ἔστω σοι, βασιλεῦ, ὡς κἀγὼ Χριστιανή εἰμι καὶ τὸν ὑπὸ τοῦ Γεωργίου κηρυττόμενον Θεὸν σέβομαι.» Ὁ δὲ Μαγνέντιός φησι πρὸς αὐτήν· «Καὶ τίνος ἕνεκεν, ὦ κυρία βασίλισσα, ἀθανάτους θεοὺς ἀθετήσασα εἰς τὸν ἐσταυρωμένον πεπίστευκας;» ἡ δὲ εἶπε· «Τοῦ κρείττονος ὀρεγομένη, τοῦ ἐλάττονος κατεφρόνησα.» Καὶ ταῦτα εἰποῦσα τοῦ συλλόγου ἐξῆλθεν ἐῤῥιζωμένην τὴν εἰς Χριστὸν πίστιν ἐν τῇ καρδίᾳ ἔχουσα. Ταύτην πολλαὶ τῶν συγκλητικῶν γυναικῶν θερμῶς οὕτω πιστεύσασαν θεασάμεναι, ἐπεὶ ἦσαν ἤδη τὰ κατὰ τὸν μέγαν Γεώργιον θεασάμεναι, καὶ αὗται τὰ διὰ τῆς φήμης ἐγνωκυῖαι ἐπίστευσαν εἰς τὸν Κύριον μετὰ καὶ ἑτέρων γυναικῶν πολλῶν.*

*Ὑπερζέσας οὖν ὁ βασιλεὺς τῷ θυμῷ διὰ ταῦτα κελεύει τὸν*

*ἅγιον μάρτυρα ἐν λάκκῳ ἀσβέστου βληθῆναι προσφάτως σβεσθείσης καὶ ἐπὶ τρεῖς αὐτὸν διαμεῖναι ἡμέρας, προστάξας τὸν ἀσβέστου λάκκον τηρεῖσθαι, ἵνα μή τις γένηται δόλος, φησί. Μετὰ δὲ τὰς τρεῖς ἡμέρας εἶπεν ὁ βασιλεύς· «Πορευθέντες στρατιῶται ἐξαγαγέτωσαν τὰ τοῦ βιοθανοῦς ἐκείνου ὀστᾶ καὶ ἀσφαλῶς ταῦτα κατακρυψάτωσαν.» Τῶν οὖν στρατιωτῶν ἐπὶ τὸν τῆς ἀσβέστου λάκκον ἀφικομένων, συνῆλθε καὶ πλῆθος ἀριθμὸν ὑπερβαῖνον τὸ συμβὰν θεωρῆσαι. Καὶ δὴ τῆς ἀσβέστου θᾶττον ἢ λόγος ἀρθείσης εὑρέθη ὁ ἅγιος τοῦ Χριστοῦ μάρτυς Γεώργιος ὅλως ὑγιὴς μηδὲ τὸν τυχόντα σπίλον ἐν τῷ σώματι ἔχων· Ἄγγελος γὰρ Κυρίου συνῆν αὐτῷ ἀβλαβῆ διαφυλάττων ἐκ τῆς ἀσβέστου. Ὡς δὲ πάντες ἐθεάσαντο παρ᾽ ἐλπίδα τὸν ἅγιον ἀσινῆ, ἐκραύγασαν λέγοντες· «Μέγας ὁ Θεὸς Γεωργίου καὶ οὐκ ἔστι θεὸς ἕτερος πλὴν αὐτοῦ, ὅς πάσης ἀνάγκης ἐξαρπάζει τοὺς ἐπικαλουμένους αὐτόν», καὶ ἡ βασιλὶς δὲ Ἀλεξάνδρα τοῦ γεγονότος ὡς ᾔσθετο, δρόμῳ τὸν τόπον καταλαμβάνει βοῶσα· «Εἷς ἐστι Θεὸς μόνος, ὁ τῶν Χριστιανῶν, εἰς ὃν πιστεύων Γεώργιος τὴν τῶν εἰδώλων πλάνην παραδειγματίζει καὶ ἐκταράσσει.»*

*Ταῦτα μαθὼν ὁ βασιλεὺς ἐκέλευσε παραστῆναι τὸν ἅγιον καί φησι πρὸς αὐτόν· «Εἰπὲ ἡμῖν, τίς ὁ ζωοποιήσας σε;», ὁ ἅγιος Γεώργιος εἶπεν· «Οἶδα καὶ πέπεισμαι σαφῶς, ὡς εἰ καὶ αὖθις ὑμῖν τἀληθὲς εἴπω, οὐ μὴ πιστεύσητε· πλὴν ἕνεκεν τῶν τῷ Θεῷ μου προσερχομένων καὶ πιστευόντων ἀναγκαῖον εἰπεῖν· γνῶτε οὖν ἅπαντες ὑμεῖς οἱ τῶν ἐμῶν ἄρτι ῥημάτων ἐπακροώμενοι, ὅτι Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος κἀμὲ ἀπὸ τῆς τῶν βασάνων ὑμῶν πείρας διαφυλάττει καὶ πάντας τοὺς ἐπικαλουμένους αὐτὸν ἐκ πάσης κακώσεως ῥύεται παντοδύναμος ὤν. Ἰδοὺ εἶπον ὑμῖν.»*

*Τούτων οὖν ὑπὸ τοῦ θαυμαστοῦ Γεωργίου ῥηθέντων, φαρ-*

μακός τις ἐκεῖ τότε παρὼν Ἀθανάσιος τοὔνομα καὶ τὸ τοῦ μάρτυρος ἀκαταγώνιστον θεασάμενος ζήλῳ δαιμονίῳ ληφθεὶς χαριζόμενος δῆθεν τῷ βασιλεῖ μεγάλῃ τῇ φωνῇ εἶπεν· «Ἵνα τί, ὦ ἄνδρες, μὴ σοφωτάτῃ τινὶ ἐπινοίᾳ τὸν κατάρατον τοῦτον ἀπόλλυτε, ἀλλὰ τῇ αὐτοῦ πονηρίᾳ πυκτεύειν οὕτω καὶ ταλαιπωρεῖσθαι τὸν τῆς οἰκουμένης δεσπότην ἀνέχεσθε; ἐγὼ τὸν τοῦ βασιλέως ἀντίπαλον Γεώργιον οἰκτίστῳ μόρῳ τῆς ζωῆς ταύτης στερήσας τοὺς ἀθανάτους ἐκδικήσω θεούς.» Ὁ δὲ βασιλεὺς φησι πρὸς αὐτόν· «Καὶ τίς ἄρα σού ἐστιν ἡ ἐπίνοια καὶ ποία ἄρα τυγχάνει, ᾗ τὸν ἀλιτήριον τοῦτον ἀναρπάσει τοῦ βίου;» καὶ ὁ Ἀθανάσιος· «Κελεύσει τοῦ κράτους ὑμῶν εἴπω, μέγιστε καὶ ἀήττητε βασιλεῦ· ποτίσω αὐτὸν δηλητήριον φάρμακον, δι᾽ οὗπερ ἐν ἀκαριαίᾳ καιροῦ ῥοπῇ τὰ τούτου ἔγκατα εἰς λεπτὰ συγκοπέντα οἰκτρῶς ἐπ᾽ ὄψεσι πάντων ὑμῶν ὀδυνηρῶς ἐξεμέσει καὶ βιαίως τὸ ζῆν ἀποῤῥήξει.» Ἥσθη ἐπὶ τοῖς εἰρημένοις ὁ βασιλεὺς καὶ «Ὦ φίλτατε», πρὸς Ἀθανάσιον εἶπεν, «ἐπακολουθησάτω δὴ θᾶττον τὰ ἔργα τοῖς ῥήμασιν, ὅπως τοῦτον ἰδὼν τὸν βίον πικρῶς καταστρέψαντα ἀναψυχὴν μικρὰν γοῦν εὕρω τῆς ἀλγηδόνος· ὁρᾷς γάρ, ὅπως κατατρύχει μου τὴν ζωὴν καὶ κατώδυνον ἀπεργάζεται ταῖς ποικίλαις περιεργίαις ὁ ἀλαζὼν οὗτος καὶ πάντολμος καὶ πικροτάτου θανάτου ἐπάξιος.» Ἀθανασίου τοίνυν ἐνεγκόντος τὸ φάρμακον, εἶπεν ὁ βασιλεύς· «Ἐπειδήπερ καταθυμίως ἔχω τὸ τοῦ δηλητηρίου ἐναργὲς ἀναμφισβητήτως βεβαιωθῆναι, ἐξαχθεὶς εἷς τῶν κακούργων τῆς φυλακῆς ποτισθήτω ἐκ τούτου, καὶ τότε σαφῶς εἰσόμεθα, εἰ μή τίς ἐστι πρὸς Γεώργιον Ἀθανασίῳ προσπάθεια.» Ἀπογευσάμενος οὖν ὁ κακοῦργος τοῦ χαλεπωτάτου δηλητηρίου παραυτίκα τῇ γῇ προσαραχθεὶς ἐλεεινῶς ἐσπαράττετο, ἀφρόν τε σὺν αἵματι τοῦ στόματος ἐκτινάσσων καὶ τὴν τῶν σπλάγχνων οἰκονομίαν κατατετμημένην ὁ δύστηνος ἀπεμῶν ὀδύναις ἐναπέψυξεν

ἀφορήτοις. Ἠγαλλιᾶτο λίαν ἐπὶ τῷ γεγονότι Διοκλητιανὸς καὶ πρὸς τὸν μάρτυρα ἔφησε· «Κατέλαβέ σε λοιπὸν ὁ τῆς ἀπωλείας σου καιρός, ἄθλιε· νῦν ἀπελεγχθήσονταί σου αἱ γοητεῖαι.» Ταῦτα ἔλεγεν ὁ βωμολόχος καὶ παμμίαρος τύραννος οὐκ εἰδὼς ὅτι πλατὺν ὀφλήσει τὸν γέλωτα καὶ τὴν κωμῳδίαν. Κελεύει οὖν Ἀθανασίῳ δοῦναι τῷ δικαίῳ τὸ φάρμακον. Πάντων οὖν ἀτενιζόντων τῷ μακαρίῳ καὶ τῶν μὲν συμπαθῶς θρηνούντων αὐτῷ, τῶν δὲ φείσασθαι ἑαυτοῦ καὶ τῷ τοῦ βασιλέως εἶξαι θελήματι λιπαρούντων, αὐτὸς μηδενὸς τούτων ποιησάμενος λόγον τῶν τοῦ Ἀθανασίου χειρῶν ἀφαρπάσας τὸ δηλητήριον καὶ τοῦτο τῇ αὐτοῦ δεξιᾷ σφραγίσας πρὸς τὸν Σωτῆρα Χριστὸν καὶ Θεὸν ἀνεβόησε· «Κύριε Ἰησοῦ Χριστέ, ὁ εἰπὼν περὶ τῶν εἰς σὲ πιστευόντων ὅτι, κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ, δεῖξον κἀνταῦθα τὴν δυναστείαν Σου.» Καὶ τοῦτο εἰπὼν ἐξέπιε τὸ δηλητήριον ἅπαν, ὥσπερ τις διψῶν ἡδύ τι καὶ διειδέστατον πόμα ἐκπίνει. Πάντων δὲ προσδοκώντων τὰ ὅμοια τῷ κακούργῳ πείσεσθαι τοῦτον, αὐτὸς λαμπρᾷ τῇ φωνῇ πρὸς τὸν τύραννον ἔφησεν· «Εἰς μάτην κοπιᾷς, ὦ βασιλεῦ, εἰκῇ καθ᾽ ἡμῶν χαλεπαίνων καὶ ποικίλους ἡμῖν θανάτους ἐπινοῶν· πλὴν γνῶθι, ὡς οὔτε δηλητήρια φάρμακα οὔτε πῦρ ἢ πρηστῆρες, οὐ καταπέλται, οὐ τροχοί, οὐκ ἀρθρέμβολα, οὐκ ἄγριοι θῆρες, οὐκ ἄλλη τις δριμεῖα καὶ ἀνυπόστατος βάσανος ἀποστῆσαί με δυνήσεται τῆς εἰς τὸν δεσπότην μου Χριστὸν πίστεως.» Ταῦτα τοῦ θαυμασίου φήσαντος Γεωργίου, πολλοὶ τῶν τε παρόντων ἀσινῆ τοῦτον ἐκ τῆς τοῦ δηλητηρίου ἐνεργείας διαμείναντα θεασάμενοι, ἔτι δὲ καὶ μετὰ παῤῥησίας δημηγοροῦντα ἦραν σὺν Ἀθανασίῳ τῷ φαρμακῷ λέγοντες: «Μέγας ὁ τῶν Χριστιανῶν Θεός, εἰς ὃν ἀπὸ τῆς δεῦρο πιστεύομεν τὴν πατροπαράδοτον τελείως ἡμῶν ἀπαρνούμενοι πλάνην.» Τούτων τῶν λόγων ἀκούσας ὁ βασιλεὺς καὶ θυμῷ βαρυτέρῳ διακαυθεὶς τὴν ψυχὴν ἐκείνους μὲν ἔξω τῆς

*πόλεως ἀναιρεθῆναι κελεύει, πρὸς δὲ τὸν ἀήττητον Γεώργιον εἶπεν· «Ἐγώ σου τὰ σοφίσματα καὶ τὰς μαγγανείας ἀπελέγξας διαλύσω, κατάρατε καὶ τῆς τῶν θεῶν εὐμενείας ἀλλότριε.»*

*Καὶ προστάττει κρηπῖδας γενέσθαι σιδηρᾶς ἥλους ἐχούσας ὀξεῖς καὶ πυρακτωθείσας ταύτας, ὥστε σπινθῆρας ἐκπέμπειν, λαβίσι τοῖς τοῦ δικαίου ποσὶν ἐμβληθῆναι καὶ τυπτόμενον ἐπὶ πλεῖστον ἐλαύνεσθαι καὶ οὕτως αὖθις ἄχρι τοῦ δεσμωτηρίου τοῦτον ἐπανακάμψαντα τηρεῖσθαι ἀσφαλῶς ἐν αὐτῷ.*

*Ὁ δὲ καρτερικώτατος τοῦ Χριστοῦ μάρτυς Γεώργιος τὴν χαλεπὴν ταύτην τιμωρίαν προθύμως δεξάμενος ἔσωθεν μὲν τῷ θείῳ ζήλῳ τὴν ψυχὴν ἐπυρπολεῖτο καὶ ἀνεφλέγετο, ἔξωθεν δὲ τῷ αἰσθητῷ πυρὶ τὸ σῶμα κατακαιόμενος, ὑπό τε τῶν ἐναγῶν ἐκείνων καὶ βεβήλων ἀνδρῶν ῥοπάλοις μανιωδῶς ὥσπερ τι τῶν ἀψύχων τυπτόμενος καὶ βαδίζειν ἀδυνατῶν ἠρέμα πως ἐπέλεγεν ἑαυτῷ· «Τρέχε, Γεώργιε, ἐπὶ τὸν κατειληφότα σε κλῆρον.» Καὶ μετὰ δακρύων προσευχόμενος ἔλεγε· «Κύριε, Κύριε, ὁ Θεός μου, ὁ Σωτὴρ τῶν θλιβομένων, ἡ καταφυγὴ τῶν διωκομένων, ἡ ὑπομονὴ τῶν διὰ τὸ ἅγιόν Σου ὄνομα πασχόντων, ὁ τῆς μὲν ψυχῆς μου τὴν ἀσθένειαν ἐπιστάμενος, μὴ ἐγκαταλίπῃς με τὸν σὸν δοῦλον, μηδὲ ἀπελεγχθείη τὸ τῆς ἐμῆς φύσεως ἀδρανὲς ἐπὶ τῶν ἀσεβῶν τούτων δέομαί σου, μήποτε εἴπωσιν οἱ δυσσεβεῖς οὗτοι καὶ ἄθεοι· Ποῦ ἐστιν ὁ Θεὸς Γεωργίου; μήποτε εἴπῃ ὁ ἐχθρὸς ἐπ᾽ ἐμοί· Ἴσχυσα πρὸς αὐτόν.» Ταῦτα προσευχομένου αὐτοῦ, ἠνέχθη φωνὴ ἐξ οὐρανῶν λέγουσα· «Θάρσει, Γεώργιε· ἐγὼ γάρ εἰμι μετὰ σοῦ.» Ταύτης τῆς φωνῆς ἀκούσας καὶ δυναμωθεὶς ὁ ἀοίδιμος μικρὰ φροντίσας τῶν πεπυρακτωμένων κρηπίδων καὶ τῶν ὀξυτάτων ἥλων, οἷς τοὺς πόδας ἐμπεπαρμένος ἠλαύνετο, πᾶσαν τὴν ὀδυνηρὰν ἐκείνην ὁδὸν διήνυσεν ἄχρι τῆς φυλακῆς.*

*Καὶ βληθεὶς ἐν αὐτῇ πάλιν τῇ ἑξῆς πρὸ τοῦ βήματος ἔστη,*

*καὶ φησὶ πρὸς αὐτὸν ὁ βασιλεύς· «Μέχρι τίνος θρασυνόμενος ταῖς βασάνοις ἐγκαρτερεῖς;» πρὸς ὃν ὁ ἅγιος ἀπεκρίνατο· «Ἐγὼ μὲν τὰς παρὰ τοῦ Θεοῦ μου δεχόμενος ἀντιλήψεις πάσας τὰς βασάνους ὑμῶν ἀνδρικῶς ὑφιστάμενος ἕστηκα μαρτυρῶν τῇ δυνάμει τοῦ μόνου Θεοῦ καὶ τῇ εἰς αὐτὸν ἐλπίδι καθοπλισάμενος βέλη νηπίων τὰς παρ᾽ ὑμῶν προσφερομένας μοι τιμωρίας λογίζομαι· ὑμεῖς δὲ πεπηρωμένοι τῷ ὄντι τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ποίαν ἐλπίδα κέκτησθε κωφοῖς εἰδώλοις καὶ ἀνοήτοις λατρεύοντες καὶ ξοάνων ἀψύχων παίγνιον καθιστάμενοι; αἰσχύνθητε οὖν θεοὺς ὀνομάζοντες τοὺς ἐν ἀσελγείαις καὶ φόνοις πρὸς βραχὺ μὲν ἐν τῷ κόσμῳ τούτῳ βεβιωκότας, νῦν δὲ κολαζομένους ἐν τῷ ἀσβέστῳ πυρί, ὅπερ μένει καὶ πάντας τοὺς σεβομένους αὐτούς.» Ἔκπληκτοι δὲ γεγονότες ἐπὶ τοῖς τοῦ μακαρίου μάρτυρος λόγοις κελεύουσι βουνεύροις αὐτὸν παρανόμως συγκόπτεσθαι· ὁ δὲ τῶν δημίων τοῖς σιδηροῖς ὄνυξι σπαραττόντων τὰς σάρκας φαιδρὸς καὶ γεγανυμένος ἦν ὡς ἄλλου τινὸς τὴν βάσανον ὑπομένοντος.*

*Μαγνέντιος δὲ φιλανθρωπίας ἔργον ἐπιδειξάμενος κατενεχθῆναι τοῦ ξύλου τὸν ἅγιον ἐξῃτήσατο. Οὗ γενομένου ὑπολαβὼν φησι πρὸς αὐτόν· «Εἰ βούλει κατὰ τὰς σὰς παραινέσεις προσελθεῖν ἡμᾶς τῷ θεῷ σου καὶ πιστεῦσαι εἰς αὐτόν, δεῖξον ἡμῖν σημεῖόν τι παρ᾽ αὐτοῦ ἕνα τῶν ἐν τῇ κατέναντι ἡμῶν σορῷ κειμένων νεκρῶν ἀναστῆναι ποιήσας.» Ὁ ἅγιος Γεώργιος εἶπε· «Τῷ Θεῷ μου ῥᾴδιόν ἐστι καὶ εὐχερὲς τῷ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντι καὶ νεκρὸν ἀναστῆσαι· ἀλλ᾽ ὑμεῖς ὑπὸ βαθεῖ σκότῳ τῆς ἀσεβείας κείμενοι καὶ τῇ τοῦ δυσμενοῦς ἀπάτῃ βεβακχευμένοι καὶ τούτου γενομένου ἄπιστοι διαμενεῖτε καὶ ἄθεοι· πλὴν ἀλλὰ διὰ τὸ περιεστὼς πλῆθος θαῤῥῶν τῇ τοῦ Θεοῦ φιλανθρωπίᾳ ἐπιβοῶμαι τοῦτον ἐπ᾽ ὄψεσι πάντων ὑμῶν τὸ σημεῖον ἐργάσασθαι.» Καὶ ταῦτα εἰπὼν γόνυ κλίνας*

μακρὰν εὐχὴν μετὰ δακρύων ἀπέτεινεν. Ἀναστὰς δὲ καὶ χεῖρας πρὸς οὐρανὸν διάρας σταυροειδῶς ἐκ βάθους καρδίας ἐφθέγξατο· «Χριστὲ Βασιλεῦ, ὁ διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν ξύλῳ προσπαγεὶς καὶ τὸν ἐπονείδιστον θάνατον ὑποστάς, ὁ πάντας ἀνθρώπους θέλων σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὁ διὰ τῶν ἁγίων Σου ἀποστόλων μεγάλα σημεῖα καὶ τέρατα ἐργασάμενος πρὸς ἐπιστροφὴν τῶν πεπλανημένων ἐθνῶν, αὐτὸς καὶ νῦν ἐπάκουσον τῆς προσευχῆς τοῦ Σοῦ δούλου καὶ ἀνάστησον ἐκ τῆς σοροῦ ταύτης ἕνα τῶν κειμένων νεκρῶν εἰς δόξαν τοῦ προσκυνητοῦ Σου ὀνόματος καὶ τοῦ συνανάρχου Σου Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος.» Ταῦτα τοῦ ἁγίου προσευξαμένου, σεισμὸς οὐ μικρὸς γέγονε καὶ τοῦ τῆς σοροῦ καλύμματος χαμαὶ πεσόντος ἀνέθορέ τις, ὢ τοῦ θαύματος, τῶν πάλαι σεσηπότων καὶ διεφθορότων νεκρῶν. Καὶ τοῦ πλήθους ὁρῶντος παντός, προσδραμὼν τῶν τοῦ μάρτυρος ποδῶν ἐπελάβετο λέγων· «Δέομαί σου, δοῦλε τοῦ Θεοῦ τοῦ Ὑψίστου, δός μοι τὴν ἐν Χριστῷ σφραγῖδα.» Ἀποκριθεὶς δὲ ὁ ἅγιος εἶπεν αὐτῷ· «Εἰ πιστεύεις εἰς τὸν ζωοποιήσαντά σε Θεόν, σωθήσῃ.» ὁ δέ· «Πιστεύω», φησίν, «εἰς Χριστὸν τὸν μέγαν Θεόν, τὸν ἄρτι με τῇ σῇ προσευχῇ τῶν νεκρῶν ἐξεγείραντα.» Ταῦτα τόν τε βασιλέα καὶ τοὺς συμπαρόντας θεασαμένους θάμβος εἰσῄει καὶ ἔκστασις, καὶ τὴν ταχίστην ὄνομά τε καὶ τύχην καὶ χρόνον, καθ᾽ ὃν τὸν βίον ἐτέλεσε, λέγειν ἐκέλευον. Ὁ δέ· «Ὄνομα μέν», εἶπεν, «ἐμοὶ Τωβήδ, ἱερεὺς δὲ τῶν νεκρῶν ξοάνων ὑπάρχων καὶ πρὸ τῆς Χριστοῦ παρουσίας ἀποβιοὺς τοῖς τῆς κολάσεως ὁ δείλαιος παρεπέμφθην τόποις μετὰ τῶν ὁμοίως ἐμοὶ τῇ πλάνῃ δεδουλωμένων.» Ὁ δὲ ἅγιος Γεώργιος· «Σοὶ λέγω», φησί, «τῷ παραδόξως πρὸς ζωὴν ἐκ θανάτου παλινδρομήσαντι, πορευθεὶς ἔν τινι τῶν ποταμῶν τούτων κατάδυσον σαυτὸν ἐν τοῖς ὕδασι τρίς, καὶ ἐν ὀνόματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου

*Πνεύματος ἔστω σοι τοῦτο εἰς βάπτισμα κατὰ τὴν σὴν αἴτησιν, καὶ καθαρθεὶς τῷ θείῳ λουτρῷ ἄπιθι χαίρων ἐν τῷ παραδείσῳ τρόπον, ὃν οἶδεν ὁ Κύριος.» Πλῆθος οὖν ἀριθμοῦ κρεῖττον ἔκ τε τοῦ συνεληλυθότος λαοῦ καὶ τῆς στρατιωτικῆς τάξεως ἐπίστευσαν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀπαύστως τοῦτον δοξάζοντες.*

*Ὁ δὲ ἰταμὸς καὶ ἀλάστωρ Διοκλητιανὸς ἰδὼν τὰ γενόμενα καὶ μανίας ἀκαθέκτου πλησθείς· «Μὰ τοὺς θεούς», ἐξεβόησεν, «ὦ παρόντες, μάγος ὢν ὁ Γεώργιος πνεῦμα πονηρὸν ἐν ἀνθρώπου σχήματι παρεστήσατο πρὸς ἐξαπάτην καὶ φενακισμὸν τῶν εὐηθεστέρων.» Ἐμβλέψας δὲ αὐτῷ καὶ τοῖς περὶ αὐτὸν ὁ ἀοίδιμος· «Φεῦ τῆς παραπληξίας», ἔφη, «καὶ τῆς ἀνοίας· τοσαύτην πεῖραν λαβόντες τῆς τοῦ Θεοῦ μου δυνάμεως, ὦ θεομάχοι καὶ δυσσεβεῖς, ἔτι τολμᾶτε βλασφημεῖν κατ᾽ αὐτοῦ καὶ λόγους ἀπηχεῖς προφέρειν τοῦ στόματος; Μὴ δὴ οὖν ἀπατᾶσθε. Οὐδὲ τὴν Χριστοῦ μόνην ἐπίκλησιν οἷοί τέ εἰσι φέρειν οἱ στυγητοὶ δαίμονες· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος. Πῶς οὖν οἴεσθε φάσμα πονηρὸν εἶναι τὸ ἀληθῶς ἐξαίσιον ἔργον καὶ τῆς τοῦ Θεοῦ μεγαλειότητος ἄξιον;» ὁ δὲ βασιλεὺς κλοιῷ βαρυτάτῳ περιαυχενισθέντα τὸν δίκαιον ἀσφαλῶς καθειρχθῆναι προστάξας, δρομαῖος αὐτὸς εἰσέδυ εἰς τὸ παλάτιον τῆς αἰσχύνης τὸ πρόσωπον ἀναπεπλησμένος.*

*Τοῦ δὲ μάρτυρος ἐν τῷ δεσμωτηρίῳ φυλαττομένου, διεφημίσθη κατὰ πᾶσαν τὴν πόλιν καὶ τὴν περίχωρον τὸ εἰς τὸν νεκρὸν ξενοπρεπὲς θαυματούργημα· καὶ ἦν ἰδεῖν ἀνδρῶν τε καὶ γυναικῶν δήμους εἰκόνα πελάγους ἀτεχνῶς ἀποσῴζοντας κατὰ πᾶσαν τὴν νύκτα τῇ φυλακῇ προσβάλλοντας φιλοτίμους τε δωρεὰς παρέχοντας τοῖς φυλάττουσι καὶ πρὸς τὸν θεῖον Γεώργιον εἰσιόντας καὶ τὴν εὐσεβῆ πίστιν παρ᾽ αὐτοῦ μυσταγωγουμένους. Οἳ καὶ τοὺς νόσοις χαλεπαῖς κάμνοντας*

*χωλούς τε καὶ ἀναπήρους καὶ πνεύμασιν ἀκαθάρτοις τυραννουμένους προσάγοντες, τῶν συνεχουσῶν μαστίγων ἐλευθέρους ἀπολαμβάνοντες ὑπέστρεφον μετ᾽ εὐφροσύνης ἀμυθήτου πρὸς τὰς ἰδίας οἰκίας, εὐχαριστηρίους ὕμνους ἀναπέμποντες τῷ Χριστῷ καὶ πιστεύοντες εἰλικρινῶς πρὸς αὐτόν.*

*Γλυκερίου δέ τινος ἀγροίκου ἀροτριῶντος, ὁ ἕτερος τῶν βοῶν ἄφνω συμπεσὼν ἐναπέψυξε. Φοιτήσας οὖν καὶ οὗτος πρὸς τὸν ἅγιον καὶ τῶν αὐτοῦ ποδῶν διαπύρῳ πίστει προκυλινδούμενος· «Κύριέ μού», φησιν, «εὔχρηστον εἶχον βοῦν, ὅνπερ τῷ συννόμῳ αὐτοῦ συζευγνὺς καὶ τὴν γῆν ἐργαζόμενος διετρεφόμην ὁ δυστυχής· νῦν δὲ πρὸς τῷ ἀρότρῳ πεσὼν ἐξέψυξεν. Εὖξαι τοίνυν τῷ Θεῷ σου, δέομαι· οἶδα γὰρ ὅτι τῆς σῆς αἰτήσεως εἰσακούσεται ὡς ἐν ἅπασι καὶ ἀναστήσει αὐτόν.» Ὁ δὲ ἅγιος Γεώργιος· «Εἰ πιστεύεις», εἶπεν, «εἰς τὸν Θεόν μου, ἀναστήσεται ὁ βοῦς σου.» Ὁ δὲ Γλυκέριος· «Πιστεύω», φησί, «κύριέ μου, ὅτι οὐκ ἔστι Θεὸς ἕτερος πλὴν τοῦ Θεοῦ σου.» Λέγει αὐτῷ ὁ μάρτυς· «Ἄπελθε λοιπὸν καὶ εὑρήσεις ζῶντα τὸν βοῦν.» Ὁ δὲ τάχει τὸν τόπον καταλαβὼν καὶ ζῶντα κατὰ τὸν λόγον τοῦ μάρτυρος αὐτὸν εὑρηκὼς ὑπέστρεψε κράζων μεγαλοφώνως· «Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν.» Παραχρῆμα οὖν συλλαβόντες αὐτὸν οἱ στρατιῶται ἀνήγαγον περὶ αὐτοῦ διὰ τῶν ἀρχόντων τῷ βασιλεῖ. Ὁ δὲ λίαν ταραχθεὶς ἐπὶ τούτῳ ἐκέλευσεν αὐτὸν μεληδὸν κατακοπῆναι· ὃς τελειούμενος ἐν τῇ τοῦ Χριστοῦ ὁμολογίᾳ ἐβόησεν λέγων· «Ὁ Θεὸς ὁ ἀληθινός, ὁ τὰ πάντα ποιήσας, μὴ ἀποδοκιμάσῃς με τὸ ἄχρηστον σκεῦος· προσέδραμον γάρ Σοι διὰ τοῦ δούλου σου Γεωργίου καὶ εἰς τὸ ἅγιον ὄνομά Σου πεπίστευκα. Λογισθείη οὖν μοι, Δέσποτα Κύριε, τὸ αἷμά μου εἰς βάπτισμα καὶ ἄφεσιν τῶν ἁμαρτιῶν μου· καρδιογνώστης γὰρ εἶ Θεός, καὶ προαιρέσεως ἐξεταστής.» Ταῦτα σὺν δάκρυσι πικροτάτοις καὶ στεναγμοῖς εὐχομένῳ αὐτῷ φωνὴ οὐρανόθεν*

www.tezaurliturgic.ro

*ἦλθε λέγουσα· «Δεῦρο, Γλυκέριε, πρός με χαίρων· εὔχρηστος γάρ εἶ καὶ τίμιος παρ᾽ ἐμοί.» Καὶ οὕτως ἐτελειώθη.*

*Ἐπεὶ δὲ ταῖς τοῦ ἁγίου διδαχαῖς καὶ θεοσημίαις τὰ τῶν πιστῶν ηὔξανε πλήθη καὶ πρὸς ἐπίδοσιν ἐχώρει μεγίστην, οὐκ ἀνεκτὸν ἡγησάμενος τοῦτο Διοκλητιανὸς –καὶ γὰρ ἀνηνέχθη καὶ περὶ τούτου αὐτῷ– κελεύει κράββατον χαλκοῦν ἐκπυρωθῆναι σφοδρῶς ἀχθέντα τε τὸν δίκαιον καὶ δυσὶν ἁλύσεσι χεῖρας πεδηθέντα καὶ πόδας ἐν αὐτῷ ἐκταθῆναι. Οἱ δὲ ὠμοὶ καὶ ἀπάνθρωποι δορυφόροι ἴσα καὶ λέουσιν ἁρπάσαντες τοῦτον τῷ πεπυρακτωμένῳ προσεφαπλοῦσι κραββάτῳ. Καὶ τούτου γενομένου προσεπιτάττει Δαδιανὸς θεῖον ἐπιῤῥαίνοντας καὶ ῥητίνην σφοδρότερον τὴν ὑπεστρωμένην ἐρεθίζειν πυρκαϊάν. Τῆς φλογὸς τοίνυν τὰς τοῦ ἁγίου σάρκας ἐκδαπανώσης, ἐλεεινῶς αὐτὸς τὴν ψυχὴν πρὸς τὸν ἐν οὐρανοῖς αἴρων δεσπότην τὴν παρ᾽ ἐκείνου συμμαχίαν ἐζήτει. Διὸ καὶ κατὰ τὸ πλῆθος τῶν ἐν τῇ καρδίᾳ αὐτοῦ ὀδυνῶν αἱ τοῦ Θεοῦ παρακλήσεις τὴν τούτου ψυχὴν εὔφραναν· θεία γάρ τις αὐτῷ ἐπιφοιτήσασα δύναμις τὸ μὲν λάβρον ἐκεῖνο καὶ ἀκάματον πῦρ εἰς δρόσον μετέβαλε, τὰς ἁλύσεις δὲ διαῤῥήξασα ὑγιῆ τὸν ἀθλητὴν ἀπειργάσατο. Πάντων οὖν θαμβουμένων ἐπὶ τῷ γεγονότι, Μαξιμιανὸς πρὸς τοὺς συνέδρους αὐτοῦ ἔφη· «Μὰ τὴν ἄμαχον τῶν θεῶν δύναμιν, γοητείαις τισίν, ὡς ἔγωγε νῦν ὁρῶ, ὁ ἀλιτήριος οὗτος χρησάμενος τὴν τοῦ πυρὸς κατάφλεξιν διαπέφευγεν.» Ἐκεῖσε τοίνυν Μαξιμιανὸς παρὼν καὶ ταῦτα βλέπων διεπρίετο τῷ θυμῷ καί φησι· «Κελεύσει οὖν τοῦ κράτους ὑμῶν μόλυβδος πυρὶ συντακεὶς χυθήτω διὰ τοῦ στόματος κατὰ τῶν ἐγκάτων αὐτοῦ καὶ ἴδωμεν, εἰ τῆς ἔνδον φλογὸς περιγένηται καθάπερ τῆς ἔξωθεν.» Ὑποστάντος οὖν τοῦ γενναίου καὶ ταύτην τὴν βάσανον καὶ βλάβης ἐκτὸς διαμείναντος, ἔβρυχον οἱ παράνομοι κατ᾽ αὐτοῦ*

www.tezaurliturgic.ro

τοὺς ὀδόντας, πολλῷ δὲ πλέον ὁ δυσσεβὴς Μαξιμιανὸς ὡς τῆς αὐτοῦ μηχανῆς ἀσθενοῦς καὶ ματαίας ἀποφανθείσης.

Διοκλητιανὸς δὲ κελεύει τὸν ἅγιον εἰς τὴν φρουρὰν ἀπαγαγόντας λίθον μέγιστον τῷ τραχήλῳ αὐτοῦ προσδῆσαι καὶ τῇ τοῦ δεσμωτηρίου δοκῷ κατὰ κεφαλῆς ἐξαρτῆσαι καὶ δριμυτάτῳ καπνῷ διὰ πάσης ἡμέρας ἐᾶσαι καπνίζεσθαι. Ἐγκαρτεροῦντα τοίνυν καὶ τῇ τοιαύτῃ βασάνῳ τὸν μάρτυρα καὶ μηδὲν ἀγεννὲς ἢ μικρόψυχον ἀποδεδειγμένον τῆς ἑσπέρας καταλαβούσης οἱ στρατιῶται καταβιβάσαντες τῇ ἐνδοτέρᾳ συγκλείουσι φυλακῇ.

Τῇ δὲ ἑξῆς πάλιν οἱ σκαιοὶ καὶ θεοστυγεῖς βασιλεῖς ἐπὶ τὸ αὐτὸ συνελθόντες αὖθίς τε πονηρὰ κατὰ τοῦ μηδὲν ἠδικηκότος, ὢ θεία δίκη, συλλογισάμενοι χαλκούργημά τι μέγιστον ἐνσκευασθῆναι προστάττουσιν ἥλους τε ὀξεῖς καὶ ἄλλα ξίφη πολυειδῆ ἔνδον ἐμπαρῆναι τούτου, ὥστε μὴ τὰς σάρκας μόνον, ἀλλὰ καὶ τὴν τῶν ὀστῶν στεγανωτέραν φύσιν τέλεον ταῖς ἐκείνων αἰχμαῖς συγκοπῆναι. Ἡμερῶν τοίνυν τριῶν διαγενομένων καὶ τοῦ ὀργάνου ἤδη ἀπαρτισθέντος δυσί τε στύλοις ὁμοίως τῷ τροχῷ μετεωρισθέντος, ἀχθῆναι τὸν τοῦ Χριστοῦ κελεύουσιν ἀθλητήν. Τοῦ δὲ παραστάντος, ἔφη πρὸς αὐτὸν ὁ Διοκλητιανός· «Οὐχὶ καὶ ἐν προοιμίοις φθάσας εἴρηκά σοι, ὡς τῇ θρησκείᾳ ταύτῃ προσκείμενος κολαστηρίων πειρασθήσῃ χαλεπωτάτων καὶ πόνους ἀῤῥήτους ὑπομενεῖς; ἰδοὺ τοίνυν καὶ αὖθις μετὰ τοσαύτας αἰκίας, ἃς ἀνοήτως ὑπέστης, πανάθλιε, τὰ αὐτά σοι διαμαρτύρομαι, ὡς, εἰ μὴ τῇ προκατασχούσῃ σε ἀσεβείᾳ χαίρειν εἰπὼν κἂν γοῦν ἀπὸ τῆς δεῦρο τοῖς ἀθανάτοις προσπέσῃς θεοῖς, ἀλλὰ ταῖς περιεργίαις σου πεποιθὼς τῇ τοιαύτῃ ματαιότητι βουληθῇς ἐπιμεῖναι, μείζονας τῶν πρώην καὶ αὐστηροτέρας ὑποστήσῃ βασάνους. Ἀπόθου τοίνυν, ἀπόθου τὴν πεπλανημένην σου δόξαν· εἴγε μοι πείθῃ πρὸ τοῦ βιαίως τῆς ἐπαράτου ταύτης ἀποῤῥαγῆναι ζωῆς.» Ταῦτα λέγων μορ-

www.tezaurliturgic.ro

*μολυκείοις ἐδόκει καταπλήττειν τὸν ἀριστέα, ὃς εὐθὺς μετὰ τῆς αὐτῷ προσηκούσης παῤῥησίας ἀνακραγών· «Αὐτὸς εἶ πεπλανημένος», ἔφη, «σὺν τοῖς ὁμόφροσί σου, μιαρὲ καὶ ἀνόσιε, ὁ τὴν τοῦ ἀφθάρτου Θεοῦ δόξαν τοῖς ψυχοφθόροις προσαναχθεὶς δαίμοσι καὶ διὰ τῶν ἀψύχων σου βδελυγμάτων τούτοις σπενδόμενος. Ἐγὼ δὲ τὴν ἐπίγνωσιν ἔχω τῆς ἀληθείας τήν τε τῶν ὁρωμένων καὶ νοουμένων μεγαλουργίαν θαυμάζων καὶ τὴν συνεκτικὴν καὶ ὑπεράπειρον τοῦ Θεοῦ μου δύναμιν ἐκπληττόμενος αἰνέσεως θυσίαν αὐτῷ προσφέρω διαπαντός. Ἔτι οὖν δοκιμασίας κέχρησαι πολυτρόποις καὶ ἀπειλαῖς ἀπαγαγεῖν με τῆς εὐσεβείας οἰόμενος; μὴ μέλλε τοίνυν, κακὴ κεφαλή, ἀλλὰ κατὰ τὴν προσοῦσάν σοι μανιώδη ἀπήνειαν κόλαζε τὴν ταχίστην καὶ πάσαις τιμωρίαις περίβαλλε· καὶ ὄψῃ πάλιν τὴν τοῦ Χριστοῦ πανσθενεστάτην ἰσχὺν ἐν ἐμοὶ διαλάμπουσαν καὶ τὴν ἀθεότητα καταισχύνουσαν τὴν ἐπὶ τῇ σῇ ψυχῇ ἀθλίως κωμάσασαν.»*

*Ὁ δὲ τύραννος θυμοῦ περίπλεως γεγονὼς καὶ πῦρ τὸ τοῦ λόγου πνεύσας κελεύει τοῦτον ἐμβληθῆναι τῷ χαλκουργήματι, κἀκεῖνο δίκην τροχοῦ περιστρέφεσθαι. Ἐπὶ πολὺ δὲ τούτου γενομένου καὶ τοῦ μαρτυρικοῦ σώματος τοῖς ἔνδον ἥλοις καὶ ξίφεσι τιτρωσκομένου καὶ τεμνομένου, Διοκλητιανὸς οἰηθεὶς τέλεον ἐκεῖνο διαλελύσθαι· «Ἐξαγαγόντες», φησί, «τὰ βδελυκτὰ τοῦ δυστήνου ὀστᾶ κατὰ τὰς πλατείας διασκορπίσατε, ὡς ἂν οἱ ταῦτα ὁρῶντες τῶν μεγίστων μὴ καταφρονῶσι θεῶν.» Τῶν δὲ στρατιωτῶν κοντοῖς τισιν ἐπιτηδείοις τὸ πολύαθλον σῶμα τοῦ χαλκουργήματος ἐκβαλόντων, ἦν ἰδεῖν τραγῳδίαν φρικωδεστάτην καὶ αὐτὴν τὴν τῶν ἀψύχων φύσιν τὴν ἄτεγκτόν τε καὶ ἀπαθῆ ἱκανὴν κινῆσαι πρὸς δάκρυα. Ἐπὶ τοσοῦτον γὰρ τὸ ἱερὸν ἐκεῖνο σῶμα τοῦ μάρτυρος ὡρᾶτο καταξανθέν, ὡς μηδὲ μικρόν τινα τύπον ἀνθρωπίνου σώματος ἀποσῴζειν,*

*ἀλλ᾽ ἢ μόνον σάρκας βλέπεσθαι διεσπασμένας τῇ τῶν αἱμάτων πλημμύρᾳ κατακλυζούσας τὸ ἔδαφος. Τῶν συνειλεγμένων οὖν ἀνδρῶν ἐκπεπληγμένων ἐπὶ τῷ γεγονότι, προσέταξεν ὁ θεομισὴς τύραννος ἐν λεκάνῃ τὰς τοιαύτας βληθείσας σάρκας τῷ δεσμωτηρίῳ παραπεμφθῆναι, ὡς ἂν παντάπασι τῆς ἐν αὐταῖς ὑπολειφθείσης ζωτικῆς ἐνεργείας ἐρημωθεῖεν. Καὶ νεκρῷ γὰρ παρὰ βραχὺ γεγονότι ἐπεμαίνετο τῷ δικαίῳ καὶ τῆς ὠμότητος κόρον ὁ δυσσεβὴς οὐκ ἐλάμβανεν.*

*Ἀπενεχθέντος τοίνυν ἐν τῇ φυλακῇ τοῦ ἁγίου καὶ ὅσον οὔπω καραδοκοῦντος τὴν τελευτήν, ἄφνω περὶ τρίτην ὥραν φυλακῆς τῆς νυκτὸς ὁ τοῖς ἐπικαλουμένοις αὐτὸν ἐγγὺς ὢν ἐν ἀστραπτούσῃ μορφῇ αὐτῷ ἐπιστάς· «Θάρσει, Γεώργιε», ἔφη, «ὁ διάπυρος ἐμοῦ ἐραστὴς καὶ ἄριστος στρατιώτης, ἀναῤῥωσθήτω σου τὸ σῶμα, κραταιωθήτω ἡ καρδία, καὶ τῆς ὀρθῆς πίστεως ἀντεχόμενος δόξασόν με καὶ αὖθις ἐν τοῖς σοῖς μέλεσιν. Οὔπω σοι ὁ τῆς ἀναλύσεως ἐπέστη καιρός· δεῖ γάρ σε τοῖς βασιλεῦσι τῆς γῆς καὶ ἔτι τούτων καταβάλῃς ἀσέβειαν καὶ πολλά μοι ἀνδρῶν καὶ γυναικῶν πλήθη προσάξῃς. Εἶθ᾽ οὕτως παραλήψομαί σε πρὸς ἐμαυτὸν καὶ τοῖς πόνοις σου γεωργηθέντα καρπόν σοι παρέξω ἀφθαρσίας τε στολὴν ἀμφιάσω καὶ τῷ τῆς βασιλείας στεφάνῳ κατακοσμήσω.» Τῇ οὖν τοιαύτῃ τοῦ Σωτῆρος παραδόξῳ ἐπιφοιτήσει ἀπὸ τῆς χαλεπωτάτης ἐκείνης συντριβῆς εἰς ἀθρόαν ἀποκαταστὰς εὐεξίαν καὶ χαρμονῆς ὑπερβαλλούσης πλησθεὶς ἐπὶ τοῖς ὕπαρ καὶ φανερῶς οὕτω ῥηθεῖσιν αὐτῷ προσέπεσε τοῖς ἀχράντοις Αὐτοῦ ποσὶν ὑπὲρ τῆς τοσαύτης κηδεμονίας αὐτῷ ἀνθομολογούμενος. Ὁ δὲ Κύριος τῇ ἑαυτοῦ δεξιᾷ τὸν ἀθλητὴν εὐλογήσας καί, «ἀνδρίζου κατὰ τῶν ἀθέων», πρὸς αὐτὸν εἰρηκὼς ἐξ ὀφθαλμῶν αὐτοῦ γέγονε. Διῆγεν οὖν ἐν τῇ φρουρᾷ χαίρων ὁ μάρτυς καὶ ἀγαλλόμενος ἐπὶ τῇ τοῦ Χριστοῦ θείᾳ ἐπισκοπῇ.*

*Γνοὺς δὲ διὰ τῶν συνήθων ὁ βασιλεὺς ζῆν αὐτὸν ἔτι καὶ θάμβους ἀναπλησθείς· «Ὦ τῆς συμφορᾶς», ἐβόα, «ὢ τῆς ἀμηχανίας· ποίας τιμωρίας ἰδέα ἐξευρεθεῖσα ἐκσπάσειε τοῦ ζῆν τὸν δυσθάνατον; οὐδεμία γὰρ ἀνάπαυσίς μου, λυμαινομένου καὶ διαφθείροντός μου τὴν ζωὴν τοῦ δημίου ἐκείνου. Ἀχθήτω οὖν ὁ ἀλιτήριος.» Ἤγετο οὖν ὁ ἀοίδιμος οὐ τὴν χροιὰν μεταβαλών, οὐ τὴν τοῦ λογισμοῦ ταραχὴν ὑποφαίνων τοῖς ὀφθαλμοῖς, ξενοπρεπὲς δὲ θέαμα· μειδιῶν τε ἅμα καὶ τὸ γενησόμενον ἤδη προβλέπων καὶ ὡς εἰς πανήγυριν μᾶλλον ἢ βῆμα ἐχώρει τυραννικὸν καί· «Ἕως πότε», φησί, «ταῖς ῥᾳδιουργίαις βρενθυόμενος τῆς ἀπονοίας οὐδαμῶς ἐνδοῦναι προήρησαι;» καὶ ὁ ἅγιος· «Ἕως οὗ», εἶπε, «τῷ ἐμῷ σώματι ἡ κατ᾽ εἰκόνα Θεοῦ γενομένη ἐνυπάρχει ψυχή, διελέγχειν ὑμῶν οὐ παύσομαι τὴν ἀσέβειαν. Μηδὲν οὖν ἀναβαλλόμενος πρᾶττε τό σοι παριστάμενον· ἀγὼν γὰρ οὐχ ὁ τυχών σοι ἐνέστηκεν ἐμοὶ τῷ δούλῳ τοῦ Θεοῦ περιτυχόντι κατὰ τῆς σῆς κεφαλῆς καὶ τῶν καταπτύστων σου βδελυγμάτων.» Ἐπὶ τούτοις ὥσπερ κύων ὁ τῆς ἀληθείας λυττήσας ἐχθρός· «Οὐκοῦν ἀνάγκη ἐστίν», εἶπεν, «ἐξαγαγεῖν σου τάχει πολλῷ τοῦ σώματος τὴν ψυχήν, ὅπως καθάπαξ τοῦ ἀγῶνος ἀπαλλαγεὶς ἀστασίαστον καὶ γαληνιῶσαν λοιπὸν ἔξω ζωήν», καὶ προστάττει πρίονι παραυτίκα διχοτομηθῆναι τὸν μάρτυρα.*

*Τῶν δὲ πικρῶν δορυφόρων σανίσιν ἐῤῥωμένως αὐτὸν ὑποπιεσάντων καὶ ὁρμῆς ἐχόντων τέμνειν ἤδη τὴν κεφαλήν, Δαδιανὸς τῆς καθέδρας ἐξαναστάς· «Δέομαι», εἶπε, «τῆς ἀθανάτου σου κορυφῆς, μέγιστε βασιλεῦ, λυθῆναι μὲν τὸν κατάρατον τοῦτον τῶν δεσμῶν –οὐ γὰρ θεμιτὸν σύντομον οὕτω θάνατον ὑποστῆναι τὸν ἀσεβῆ– χεῖρας δὲ πεδηθέντα ἐν λέβητι βληθῆναι μολύβδου πυρὶ συντακέντος πεπληρωμένῳ ἀνάπτειν τε σφοδροτέρως τὴν φλόγα, ἄχρι οὗ καὶ αὐτὰ τὰ μυσαρὰ τούτου ὀστᾶ*

www.tezaurliturgic.ro

*τέλεον ἐκδαπανηθῇ.» Ἀποδεξάμενος δὲ τῆς συμβουλῆς ἐκείνου ὁ βασιλεὺς κελεύει λυθῆναι τὸν ἅγιον καὶ τῇ βασάνῳ ταύτῃ παραδοθῆναι. Ἐπὶ τοσοῦτον δὲ τοῦ λέβητος ἐκκαυθέντος, ὡς τῇ τοῦ πυρὸς βίᾳ τὸν μόλυβδον τῇδε κἀκεῖσε διαῤῥιπίζεσθαι, χειροπέδαις τὸν μάρτυρα διαλαβόντες σιδηραῖς οἱ στρατιῶται ἐπειρῶντο μὲν τῷ λέβητι τοῦτον διακοντίσαι, ὑπὸ δὲ τῆς φλογὸς ἀνεχαιτίζοντο τῆς ὁρμῆς. Ὁ δὲ μάρτυς ἰλιγγιῶντας ὁρῶν αὐτοὺς καὶ μικροῦ διαπεφωνηκότας τῷ δέει ὀφθαλμούς τε ἄρας εἰς οὐρανοὺς εἶπε· «Κύριε Ἰησοῦ Χριστέ, ὁ τὰ σύμπαντα συστησάμενος, ὁ τοὺς ὁσίους σου παῖδας ἐν τῇ καμίνῳ ἀκαταφλέκτους διαφυλάξας, κἀμὲ τὸν ἀνάξιον ἀβλαβῆ διατήρησον.» Ταῦτα εἰπὼν καὶ τῷ προσώπῳ τὸν τοῦ Θείου Σταυροῦ τύπον διαγράψας καθῆκε ἑαυτὸν εἰς τὸν λέβητα θαρσαλέως οὕτως, ὡς οὐκ ἄν τις ἄλλος εἰς ὕδωρ ἐν ὥρᾳ πνίγους. Διὸ καὶ ὁ παφλάζων μόλυβδος τῆς ἑαυτοῦ φύσεως ἐκλαθόμενος αἰδοῖ καὶ φόβῳ τῆς τοῦ Σταυροῦ ἐκτυπώσεως ἄνεσις μᾶλλον ἢ κόλασις τῷ ἀθλητῇ καθωρᾶτο, ὃς καὶ τῶν δεσμῶν αὐτῷ θείῳ σθένει διαῤῥαγέντων ἐδοξολόγει τὸν κτίσαντα. Ἡ δὲ τὸν λέβητα ὑποκαίουσα φλὸξ ἐξάπινα τῆς καμίνου κατὰ τῶν περιεστώτων ἐκτιναχθεῖσα ἅπαντας ἄρδην κατέφλεξεν. Ἀλλὰ καὶ τοῦ οὐρανοῦ μέγα τι καὶ διωλύγιον ἐπὶ τῇ τοῦ μάρτυρος διηχήσαντος προσευχῇ, λάβρος καταῤῥαγεὶς ὑετὸς τὸ πονηρὸν συνέδριον φυγεῖν παρεσκεύασε.*

*Μόνος δὲ ὁ γεννάδας ἀπολειφθεὶς τοῦ λέβητος ἐξελθὼν πρὸς τὰς τοῦ ἄστεος πλατείας ἀφίκετο ψάλλων καὶ ἀγαλλιώμενος καὶ τὰ μὲν τῶν βασιλέων σεβάσματα δαίμονας ἀπεδείκνυ ψυχοβλαβεῖς, τὴν δὲ εἰς Χριστὸν τὸν Θεὸν πίστιν σωτηρίας αἰτίαν καὶ ζωῆς μακραίωνος πρόξενον. Τοιαῦτα κατὰ τὴν πόλιν κηρύττων ὁ Μέγας Γεώργιος ἔπειθε πλήθη ἄπειρα ἀφίστασθαι μὲν τῆς τῶν εἰδώλων ἀθέου λατρείας, προστρέχειν δὲ*

*τῇ ἀληθεῖ θεοσεβείᾳ, διὰ τῶν ἐπακολουθουσῶν τερατουργιῶν τοὺς λόγους πιστούμενος, ὡς κἀν τούτῳ τὸ Σολομώντειον πεπληρῶσθαι, τὸ «Σοφία ἐν ἐξόδοις ὑμνεῖται», φάσκον, «ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει.» Ἐπεὶ δὲ καὶ αὖθις τῷ βασιλεῖ περὶ τούτων ἀνηνέχθη Διοκλητιανῷ, κελεύει συλληφθέντα τῷ βήματι παραστῆναι τὸν ἅγιον καὶ ὀργίλως αὐτῷ ἐνιδών· «Ὡς ἔοικέ», φησι, «ἡμῶν ταῖς τοῦ δημοσίου φροντίσιν ἀσχολουμένων, αὐτὸς τῇ τοιαύτῃ μελλήσει ἡττῆσθαι ἡμᾶς οἰηθεὶς καὶ ἀπορεῖν σου τὸ μνημόσυνον ἐξᾶραι τῆς γῆς περιέρχῃ λοιπὸν ἀδεῶς διασύρων καὶ κωμῳδῶν τὰ ἡμέτερα καὶ τοὺς ἀφελεστέρους ἀναπείθων τοὺς μὲν ἀθανάτους θεοὺς ἀθετεῖν, τῷ ἐσταυρωμένῳ δὲ προσανέχειν· πλὴν ἀλλ᾽ ἐγὼ καθάπαξ περικόψω σου τὴν αὐθάδειαν.» Καὶ προστάττει τοῦτον ἐν τῷ ἐδάφει τεθέντα καὶ ἄνθραξι πολλοῖς τὴν ἑαυτοῦ συσχεθεῖσαν κεφαλὴν κατακαίεσθαι καὶ μετὰ πλείστην ὥραν πάλιν ἐπὶ ξύλου κρεμασθέντα σφοδρῶς καταξαίνεσθαι. Ἤδη δὲ τῶν σπλάγχνων διὰ τῆς τῶν ὀστέων συνθέσεως ὑπὸ πάντων καθορωμένων, προσεπιτάττει λαμπάσι πυρὸς τὰ γεγυμνωμένα ἐκεῖνα ὀστᾶ καταφλέγεσθαι. Τοῦ δὲ μάρτυρος ἐπὶ πολὺ φλεγομένου, φεῦ τῆς ἀνυποίστου καὶ χαλεπῆς ἀλγηδόνος! καὶ μηδὲ στεναγμόν τινα τὸ παράπαν ἐκπέμποντος ἢ μόνον κατὰ νοῦν τῷ Δεσπότῃ προσευχομένου, νομίσας ὁ μιαρώτατος βασιλεὺς ταῖς τοσαύταις ἤδη τοῦτον ἐναποθανεῖν τιμωρίαις κελεύει τὸ τίμιον ἐκεῖνο σῶμα τοῦ ξύλου κατενεχθὲν ἐν κοφίνῳ βληθῆναι καὶ ἐν τῷ ὄρει, ᾧπερ ὄνομα Ἧλιξ, ἀνενεχθὲν ἐν ἀδήλῳ ῥιφῆναι τόπῳ πρὸς τὸ μὴ τοῦτό, φησιν, ὑπὸ Γαλιλαίων κλαπῆναι.*

*Τούτου δὲ γενομένου καὶ τῶν στρατιωτῶν τοῦ ὄρους ὑποστρεφόντων, αὐτίκα πίλησίς τε καὶ ὠθισμὸς γίνεται ὑετός τε ῥαγδαῖος ἀθρόον κατενεχθεὶς ὥσπερ τινὰς λεπίδας τούς τε μώλωπας τοῦ ἁγίου καὶ τὴν τῶν ὀστέων κατάφλεξιν ἐναπέ-*

*σμηξε καὶ φωνή τις ἐξ οὐρανῶν ἦλθεν αὐτῷ· «Ἀνδρίζου, Γεώργιε», λέγουσα· «μετὰ σοῦ γάρ εἰμι.» Εὐθὺς οὖν ὑγιής τε καὶ ἄρτιος καθάπερ ἐξ ὕπνου διαναστὰς τὴν μὲν ὀφειλομένην εὐχαριστίαν ἀνέπεμψεν ἐκ καρδίας τῷ κτίσαντι, δρόμῳ δὲ τὴν πόλιν καταλαβὼν καὶ τοῖς βασιλείοις εὐθαρσῶς προσορήσας παρὰ τῶν ἐν τῷ ὄρει τοῦτον ἀναγαγόντων τριῶν στρατιωτῶν ὁ γεννάδας ἐπιγινώσκεται. Οἳ καὶ θάμβει περισχεθέντες καί· «Μέγας ὁ Θεὸς Γεωργίου», βοήσαντες, πολλοὺς μὲν πρὸς τὴν σωτήριον πίστιν συνεφειλκύσαντο, Διοκλητιανὸν δὲ εἰς τοσαύτην ἀγριότητα ἤγειραν, ὥστε θάνατον αὐτῶν εὐθέως καταψηφίσασθαι. Καὶ οὗτοι μὲν κατὰ τὴν τοῦ Μαρτίου ἐνάτην ἀναιρεθέντες τοὺς τῆς μαρτυρίας στεφάνους προαπηνέγκαντο. Ὁ δὲ τῆς ἀληθείας ὑπέρμαχος συλληφθεὶς πρὸς τὸν τύραννον ἤγετο πικροτέρων κολάσεων ἐφιέμενος· αἱ γὰρ τῶν μακαρίων γερῶν ἐλπίδες κουφίζειν πως εἰώθασι τοὺς ἐν χερσὶν αἰκισμούς.*

*Ἐν δὲ τῷ μεταξὺ Μαγνέντιός φησι πρὸς τὸν βασιλέα· «Τὸ γένος τῶν Χριστιανῶν δυσθάνατόν ἐστι καὶ φιλόνικον· ἀλλ᾽ εἴ γε βούλῃ πιθήσαντά σου τοῖς λόγοις προσελθεῖν τοῖς θεοῖς, ἠπίως μᾶλλον αὐτῷ χρῆσαι καὶ φιλανθρώπως, καὶ ἴσως ἕλξεις τὸν ἄνδρα πρὸς σαυτόν. Ὁ δὲ ἅγιος μάρτυς τῷ τοῦ βασιλέως βήματι παριστάμενος προσηύχετο λέγων· «Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον.» Καὶ πληρώσας τὸν ψαλμὸν τοῦτον παρέστη τῷ βασιλεῖ, ὃς τὴν λεοντῆν πανούργως ἐπιστρέψας ἐχειρίζετο τὴν ἀλωπεκῆν· «Μὰ τὸν δεσπότην Ἥλιον», λέγων, «καὶ τοὺς θεοὺς ἅπαντας, ἐάν πέρ μοι πεισθείης καὶ προσελθὼν θύσῃς τοῖς θεοῖς, μεγάλως σε κατὰ πρόσωπον πάσης τῆς γῆς δοξάσω καὶ κοινωνόν σε τῆς ἐμαυτοῦ βασιλείας ποιήσομαι· λίαν γάρ σε ἐπεπόθησεν ἡ ψυχή μου, Γεώργιε, καὶ κήδομαί σου ζῆν σε περιφανῶς βουλόμενος σὺν ἡμῖν, ἀλλ᾽ οὐκ ἀτίμως οὕτως καὶ δεινῶς ἀπολέσθαι.» Καὶ ὁ μάρτυς·*

*«Εἴ γέ σου ταῖς ματαίαις ταύταις», εἶπεν «ὑποσχέσεσι γνώμης εἶχον ὑπεῖξαι, οὐκ ἂν οὕτως σοι πρὸς μυρίους ἐμαυτὸν ἐξεδίδουν θανάτους. Νῦν δὲ μετὰ τοσαύτας βασάνους καὶ τιμωρίας, ἅσπερ ἐπὶ πάσης σου πέπονθα τῆς Συγκλήτου, μὴ οὕτως ἀνοηταίνων ἐκπείραζε μεταστῆσαί με τῆς εὐσεβοῦς πίστεως· κοῦφον γὰρ κομιδῇ τοῦτο καὶ εὔηθες. Εἰ γὰρ πεισθῆναί σου ταῖς θωπείαις ἐβουλόμην, ὦ τύραννε, παρὰ τίνος ἂν τὴν τοσαύτην μου καὶ τηλικαύτην ἐζήτουν ὕβριν;» ὁ δὲ βασιλεύς· «Ἐπειδή», φησι, «σπλάγχνα ἐνδείκνυμι πρὸς σὲ πατρικά, καθάπερ ὁρᾷς, χάρισαί μοι καὶ αὐτὸς ὡς πατρί σου τὸ ἔγκλημα, καὶ εἰς τοὺς ἀθανάτους θεοὺς ὄμνυμί σοι ὡς ἀξιώμασι μεγίστοις καὶ πλούτῳ καὶ δόξῃ μεθ᾽ ὑπερβολῆς σε ἀμείψομαι. Μόνον θῦσον, δέομαί σου, Γεώργιε.» Καὶ ὁ ἅγιος· «Ἐπεί περ», φησίν, «ὦ βασιλεῦ, τοσαύτην ὁρῶ τὴν περὶ ἐμέ σου διάθεσιν, θεραπεύσω λοιπόν σε κἀγὼ εἰς ὅπερ ἐπιποθεῖς. Ἀγνωμοσύνης γὰρ ἐσχάτης ἂν εἴη τὸ τοιαύτην ἀθετῆσαι φιλίαν. Ἀπέλθωμεν δὴ τάχος εἰς τοὺς θεούς.»*

*Ὁ δὲ βασιλεὺς περιχαρὴς γενόμενος ἀναπηδήσας τε τοῦ θρόνου καὶ τὸν μάρτυρα φιλοφρόνως περιπτυξάμενος μεγάλῃ τῇ φωνῇ εἶπεν· «Εὐφραινέσθωσαν οἱ θεοί, ἀγαλλιάσθωσαν ἄνθρωποι. Δέχου, ὦ Ἀπόλλων, τὸν ἀπειροκάλως μὲν παροργίσαντά σε Γεώργιον, νῦν δὲ γνησίως μετανοοῦντα καὶ πρὸς σὲ ἐπιστρέφοντα.» Καὶ ταῦτα εἰπὼν ἐκέλευσεν ἅπασαν ἐν τῷ ἱερῷ συναθροισθῆναι τὴν σύγκλητον καὶ τὸ στρατιωτικόν, κήρυκάς τε βοᾶν διὰ πάσης τῆς πόλεως, ὡς ὁ τῶν Γαλιλαίων μύστης Γεώργιος τῷ μεγάλῳ θεῷ Ἀπόλλωνι πρόσεισι θύσων. Ἦν οὖν ὁρᾶν τὰ μὲν τῶν πιστῶν πλήθη ἀπαρακλήτῳ πένθει καὶ ἀθυμίᾳ βαλλόμενα, τὰ δὲ τῶν ἀθέων Ἑλλήνων χαρᾶς ὑπερβαλλούσης πληρούμενα. Ὅθεν μεγαλοφρονοῦντες οἱ πονηροὶ καὶ εἰς ἀέρα κόρυν ὥσπερ παράφοροι βάλλοντες ὑφ᾽ ἡδονῆς τε πολλῆς ἀνασκιρτᾶν προαγόμενοι· «Ὁ Ἀπόλλων νενίκηκεν», ἐξεβόων·*

*«αὐτοκράτωρ Διοκλητιανέ, εἰς τοὺς αἰῶνας βασίλευε, ἡ τῶν Ῥωμαίων πολιτεία διὰ παντὸς εὐφραίνου, μεγάλοι οἱ θεοὶ τοῦ βασιλέως.» Εἰσελθόντων τοίνυν εἰς τὸν ναὸν καὶ σιγῆς γενομένης πολλῆς, στὰς ὁ θαυμαστὸς τοῦ Χριστοῦ μάρτυς Γεώργιος καὶ τῷ τοῦ Ἀπόλλωνος ἐμβριθῶς ἀτενίσας ἀγάλματι ἔφη· «Σὺ εἶ θεὸς καὶ σὲ χρὴ σέβεσθαι τοὺς ἀνθρώπους;» Εὐθὺς οὖν τὸ ἐν τῷ ξοάνῳ παραμένον ἀκάθαρτον πνεῦμα πυρὶ θείῳ φλεγόμενον· «Οὐκ εἰμι ἐγὼ θεός», ἀνεκραύγαζεν, «ἀλλ᾽ οὐδέ τις τῶν σὺν ἐμοί· εἷς δέ ἐστι Θεὸς ἀληθινὸς καὶ αἰώνιος καὶ ὁ τούτου Υἱὸς ὁ Χριστός, δι᾽ οὗ τὰ πάντα ἐποίησεν· ἡμεῖς δὲ ἄγγελοι αὐτοῦ τὸ πρότερον ὄντες ἀποστάται γεγόναμεν καὶ δαίμονες ὀνομαζόμεθα, καὶ πλανῶνται εἰς ἡμᾶς οἱ ἄνθρωποι.» Ὁ δὲ μάρτυς· «Καὶ εἰ μὴ ἐστε θεοί», φησι, «διὰ τί τὴν μὴ προσήκουσαν ὑμῖν τιμὴν σφετερίζεσθε καὶ τοὺς ἀνθρώπους πλανᾶτε θεοποιεῖσθαι ὑμᾶς; πῶς δὲ καὶ νῦν τολμᾶτε μένειν ἐνταῦθα, ἐμοῦ τοῦ δούλου τοῦ Θεοῦ ἑστῶτος ὧδε, ἐφ᾽ ᾧ ἐπικέκληται καὶ ἔστι Χριστὸς ὁ τῶν ὅλων Θεός;» Καὶ ἅμα τῷ τοῦ ἁγίου λόγῳ τάραχος ἐγένετο μέγας καὶ βοαὶ τῶν δαιμόνων οἰκτρῶς ὀλοφυρομένων καὶ καπνοῦ δίκην τοῦ ναοῦ ἐξιόντων· εἶτα τὸ σημεῖον τοῦ σταυροῦ τοῦ μάρτυρος ἐκτυπώσαντος, συνέπεσε τὰ ἰνδάλματα πάντα καὶ συνετρίβη, καὶ ἦν ἰδεῖν παράδοξον θέαμα, φωνῆς μόνης καὶ χειρῶν κινήσεως τρόπαιον. Θροηθέντος δὲ τοῦ βασιλέως καὶ ἐνεοῦ ὥρας οὐ βραχείας γεγονότος, οἱ τῶν εἰδώλων ἀνίεροι ἱερεῖς ζήλου πλησθέντες καὶ τοῦ ἁγίου ἴσα καὶ λύκοις ἀνημέροις δραξάμενοι· «Αἶρε τοῦτον», ἔκραζον, «ὦ βασιλεῦ· αἶρε τὸν γόητα μηδεμίαν αὐτοῦ φειδὼ ποιησάμενος· ταῖς γὰρ γοητείαις αὐτοῦ πάντας ἐξαπατήσας τελευταῖον καὶ τοὺς θεοὺς συνέτριψεν.»*

*Ὁ δὲ βασιλεὺς ἐκ τῆς τῶν δαιμόνων ἐνεργείας καὶ τῆς τῶν βδελυρῶν ἐκείνων κραυγῆς πυρποληθεὶς τῷ θυμῷ πρὸς τὸν μάρτυρα ἔφη· «Μιαρὰ κεφαλὴ καὶ πάσης ῥᾳδιουργίας πεπλη-*

www.tezaurliturgic.ro

ρωμένε, οὐχὶ συνέθου μοι τῷ μεγάλῳ θεῷ Ἀπόλλωνι θῦσαι;» Ὁ ἅγιος Γεώργιος εἶπεν· «Ἀνόητε τῷ ὄντι καὶ ἀσεβέστατε, τοιούτους ἔχων θεοὺς δι᾽ ἑνὸς λόγου κατασπωμένους εἰς ἔδαφος καὶ συνθλιβομένους οὐκ ἐγκαλύπτῃ λοιπὸν θεοὺς ἔτι αὐτοὺς ἀποκαλῶν; Σύνες, ἀναίσθητε ἀληθῶς, ὡς ἐγὼ τὴν ἐμὴν θυσίαν τῷ ἐπουρανίῳ Θεῷ προσανενεγκὼν κατέθυσα, ὡς ἔδει, τὰ μυσαρὰ βδελύγματα. Σὺ δέ, εἰ καὶ τοῖς ἀληθέσι καὶ φανεροῖς συνθέσθαι οὐ βούλῃ, διὰ τί κἂν γοῦν τῷ θεῷ σου εἰρηκότι ὡς τὰ ὑμῶν σεβάσματα δαίμονες τυγχάνουσιν ἀποστάται τοὺς ἀθλίους ἐξαπατῶντες ὑμᾶς, οὐ πείθῃ καὶ μεταβάλλῃ πρὸς θεοσέβειαν; Οὐχ ἑώρας ὡς ἐκεῖνοι μὲν καπνοῦ δίκην ἐξῄεσαν τοῦ ναοῦ, τὰ δὲ τούτων ἰνδάλματα κατηνέχθη καὶ συνετρίβη; Τίς ἡ τοσαύτη πήρωσις ὑμῶν; τίς ἡ τῶν φρενῶν ἔκστασις καὶ παράνοια, ὡς μὴ δυνηθῆναι τὴν οὕτως σαφῆ δέξασθαι γνῶσιν καὶ συνιδεῖν τί μὲν Θεός, τί δὲ ἄψυχα ξόανα ἐκ λίθων καὶ ξύλων χαλκοῦ τε καὶ χρυσοῦ τὴν σύστασιν ἔχοντα; ἴσθι δὲ ὡς, εἰ μὴ τοῦ ἐνταῦθα ἐκηδόμην λαοῦ, καὶ αὐτὸν δὴ ὅνπερ ὁρᾷς βέβηλον ναὸν ἐκ βάθρων αὐτῶν ἀνέτρεψα ἄν, καὶ ἔμελλες μὴ μόνον τὴν τῶν θεῶν σου ἀπώλειαν, ἀλλὰ καὶ τὸν τοῦ λαοῦ ἀφανισμὸν ἀποδύρεσθαι, μᾶλλον δὲ καὶ αὐτὸς ὑπ᾽ αὐτοῦ συγχωσθῆναι καὶ ἀπολέσθαι. Ἀποστράφηθι τοίνυν εἰς τὰ ὀπίσω ἀπὸ τῶν τοῦ Θεοῦ δούλων, βύθιε δράκον καὶ τοῦ διαβόλου ὑπέρμαχε· καταισχύνθητι, θεραπευτὰ τῶν χλευαζόντων σε, μᾶλλον δὲ καθάπαξ κεκρατηκότων σου δαιμόνων, ἔργῳ τὴν τῶν ψυχοφθόρων εἰδώλων ἀπώλειαν πληροφορηθείς. Εἰ δέ σοι καὶ ἕτερα ξόανα ὑπελείφθη, ὑπόδειξον ἐμοὶ ταῦτα, ὅσαπερ καὶ οἷα καὶ ὅπου δ᾽ ἂν ὦσι, καὶ μηδεμία σοι λοιπὸν περὶ τούτων ἔστω φροντίς.»

Τούτων λεγομένων ὑπὸ τοῦ θαυμαστοῦ Γεωργίου καὶ τῆς βασιλίδος Ἀλεξάνδρας τὴν τοῦ τυράννου σφοδρῶς διελεγχούσης ἀσέβειαν καὶ πολλῶν τῶν τῆς Συγκλήτου τῷ μάρτυρι

*ὁμοφρονησάντων, δυσθυμήσας ὁ βασιλεὺς καὶ νεύματι τοῦτον ἔξω βαλὼν πρὸς Μαξιμιανὸν καὶ Μαγνέντιον ἔλεγεν· «Τί ποιήσωμεν, ὦ φίλοι; ἰδοὺ ἅπαντες, ὡς ὁρᾶτε, συνάμα τῇ βασιλίσσῃ ὀπίσω τοῦ γόητος τούτου καὶ ἀπατεῶνος ἀπῆλθον, καὶ ὁποίᾳ κολάσει τοῦτον ὑποβαλὼν ἀποστερήσω τοῦ ζῆν, μὰ τοὺς θεοὺς ἐξηπόρημαι.» Μαγνέντιος δὲ Μαξιμιανοῦ τυγχάνων ὀξύτερος· «Εἰ μὴ θᾶττον», εἶπε, «μέγιστε αὐτοκράτορ, τὴν ἐπὶ θάνατον ὁ πάντολμος ἀπαχθείη, ἀλλὰ τιμωριῶν εἰσέτι πεῖραν προσαγαγεῖν βουληθείημεν, ἀλυσιτελὲς ἡμῖν ἀποβήσεται τοῦτο καὶ λύπης οὐ τῆς τυχούσης παραίτιον. Πέπεισμαι γὰρ ὡς ἑτέρας μιᾶς ἡμῶν προσβολῆς εἰς αὐτὸν γενομένης πάντες εἰς τὸν ἐσταυρωμένον πιστεύσουσιν.» Οὔπω πέρας εἶχεν ὁ λόγος αὐτῷ, καὶ Μαξιμιανὸς ἀπεκρίνατο· «Ἴσθι», λέγων, «κράτιστε βασιλεῦ, ὡς αὐστηρότατον δεινόν τε καὶ ἀμείλικτον ἄνδρα διὰ πάσης μου τῆς ζωῆς οὐ τεθέαμαι. Ὅρα γάρ· τὴν βασίλισσαν ταῖς αὐτοῦ μαγγανείαις ἠπάτησε· τοὺς θεοὺς συντρίψας ἠφάνισε· τὴν ἀήττητόν σου καὶ θειοτάτην βασιλείαν ἀδεῶς συνετάραξε· τὰς τῆς Συγκλήτου γνώμας συνέχεεν· ἔξωθεν πολυειδεῖς καὶ ποικίλαι κολάσεις οὐ κυριεύουσιν· ἔσωθεν φάρμακα δηλητήρια οὐ προσάπτονται· φόβος τὸν νοῦν οὐ κατασείει· θάνατος τὴν ψυχὴν οὐκ ἐκδειματοῖ· ἀναρίθμητοι ἀγαθῶν ὑποσχέσεις οὐ καταμαλακίζουσι, καὶ ἵνα συνελὼν εἴπω, ἅπασα ἡμῶν ἐπίνοια κενὴ καὶ ἄπρακτος εἰς αὐτὸν γέγονε. Τί ἄρα λοιπὸν ἐπινοησώμεθα κατ᾽ αὐτοῦ; Λείπεται τοίνυν, εἴ γέ μοι πείθῃ, τὸν ἐξ ἀνθρώπων ἀφανισμὸν αὐτῷ διὰ ξίφους ἐπαγαγεῖν καὶ τῆς ἑαυτοῦ δυτροπίας τήν τε σὴν βασιλείαν καὶ ἡμᾶς ἀπαλλάξαι· τὸ γὰρ ἐν πολέμοις περιὸν αὐτῷ κατὰ τῶν βαρβάρων ἀήττητον καὶ νῦν πρὸς ἡμᾶς ἐπιδεικνύμενον σχολῇ γε ἂν αὐτοῦ περιγενέσθαι ἰσχύσαιμεν. Ἀποφηνάμενος τὴν ταχίστην, ὦ βασιλεῦ, ἔκκοψον αὐτοῦ μετὰ τοῦ βίου καὶ τὴν ἀναίδειαν.» Συνήνεσαν τοῖς λεχθεῖσιν οἱ περὶ αὐτόν.*

*Τότε ὁ αὐτοκράτωρ Διοκλητιανὸς κελεύσας εἰσαχθῆναι τὸν ἅγιόν φησι πρὸς αὐτόν· «Ἰδού, παγκάκιστε καὶ τρισάθλιε, τῇ ὀλεθρίῳ σου ἀπονοίᾳ τῶν παρὰ τῆς ἐμῆς βασιλείας ὑπισχνουμένων σοι δωρεῶν ἀνοήτως ὑπερφρονήσας καὶ τῶν φρικτῶν ἐκείνων καὶ τοσούτων τιμωριῶν ταῖς σαῖς γοητείαις περιγενόμενος οὐ μόνον πλήθη τοσαῦτα τῆς ἡμετέρας ἐξουσίας περιελόμενος, ἀλλὰ δὴ καὶ τὴν λαμπροτάτην βασίλισσαν ἀπεπλάνησας καὶ τοὺς θεοὺς ἐξηφάνισας. Τίσιν οὖν ἀμοιβαῖς τῆς τοσαύτης σε κακοπραγίας νῦν ἀμειψώμεθα ἢ πάντων ᾧπερ ἧς ἄξιος θανάτῳ, ἀνθ᾿ ὧν τετόλμηκας καὶ δέδρακας εἰς ἡμᾶς, οἷα οὐδεὶς ἕτερος τῶν ἐπὶ γῆς;» Ταῦτα μετ᾿ ὀργῆς ἀφάτου καὶ λύπης πρὸς τὸν μέγαν φθεγξάμενος ἀπεφήνατο κατ᾿ αὐτοῦ οὕτως· «Γεώργιον, τὸν μύστην τῶν Γαλιλαίων, ἀθετήσαντα τοὺς ἀθανάτους θεοὺς καὶ μυρία μὲν ἕτερα τῇ βασιλείᾳ μου κακὰ ἐνδειξάμενον, συντρίψαντα δὲ καὶ αὐτοὺς τοὺς θεούς, ἔτι δὲ καὶ τὴν ἀθλίαν βασιλίδα δολίως ἀπατήσαντα, ξίφει αὐτὸν σὺν αὐτῇ ἀποτμηθῆναι προστάττω.»*

*Εὐθέως οὖν αὐτοὺς οἱ στρατιῶται λαβόντες ἐξήγαγον ἔξω τῆς πόλεως. Προθύμως δὲ αὐτῶν ἐπὶ τὸ ποθούμενον σπευδόντων κατὰ διάνοιάν τε τῆς βασιλίδος προσευχομένης, ὡς ἡ τῶν χειλέων αὐτῆς κίνησις καὶ ἡ τῶν ὀφθαλμῶν εἰς οὐρανοὺς ἐνατένισις τοῖς ὁρῶσιν ἐδείκνυ, τῶν εὐχῶν αὐτῆς ὁ ταχὺς εἰς ἔλεον ἐπήκουσε Κύριος καὶ ἀποδεξάμενος αὐτὴν τοῦ φίλτρου τοῦ πρὸς αὐτόν, τῆς διαπύρου πίστεως, τῆς τῶν γηΐνων πάντων καταφρονήσεως, τὴν τοῦ ξίφους φθάσας πληγὴν ἔν τινι τόπῳ προκαθισάσης τὴν μακαρίαν ἐκείνης ψυχὴν προσελάβετο.*

*Ὡς δὲ ἤγαγον τὸν θεῖον Γεώργιον ἐπὶ τὸν τῆς τελειώσεως τόπον οἱ δορυφόροι, αἰτήσας παρ᾿ αὐτῶν καιρὸν προσευχῆς καὶ λαβών, ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐκτείνας τε τὰς χεῖρας καὶ βαθύν τινα στεναγμὸν ἀπὸ καρδίας ἀνενεγκὼν προσηύξατο λέ-*

*γων· «Κύριε ὁ Θεός μου, ὁ πρὸ τῶν αἰώνων ὑπάρχων, πρὸς ὃν ἐγὼ κατέφυγον ἐκ νεότητός μου, ἡ καλὴ καὶ ἀληθὴς τῶν Χριστιανῶν προσδοκία, ὁ ἀνεξάλειπτος θησαυρός, ὁ καὶ πρὸς τῶν ἡμετέρων αἰτήσεων τὰς δωρεὰς παρεχόμενος, ὁ δούς μοι τὸν τῆς μαρτυρίας ἀγῶνα μέχρι τέλους διαγωνίσασθαι, ἐπάκουσόν μου, δέομαι, καὶ πρόσδεξαί μου τὴν ψυχὴν ἐν εἰρήνῃ ῥυσάμενος αὐτὴν ἐκ τῶν ἀερίων τῆς πονηρίας πνευμάτων καὶ συναρίθμησόν με τὸν σὸν δοῦλον τοῖς ἠγαπηκόσι τὸ ἅγιον ὄνομά Σου. Συγχώρησον δὲ καὶ τοῖς ἔθνεσιν, ὅσα εἰς ἡμᾶς διεπράξαντο, καὶ φώτισον, Κύριε, τοὺς ὀφθαλμοὺς τῆς καρδίας αὐτῶν πρὸς τὸ τὴν σὴν ἐπιγνῶναι ἀλήθειαν. Ἐξαπόστειλον τοῖς ἐπικαλουμένοις σε βοήθειαν ἐξ ὕψους ἁγίου σου, δὸς αὐτοῖς τὸν φόβον Σου καὶ τὸν πόθον τὸν εἰς τοὺς ἁγίους Σου, ἵνα καὶ τὴν τούτων μνήμην ποιούμενοι μιμῶνται τὴν πίστιν αὐτῶν, ὅπως ἂν σὺν αὐτοῖς καταξιωθέντες τῆς ἐπουρανίου ζωῆς καὶ τῆς αἰωνίου σου βασιλείας δοξάζωσί σου τὴν πολλὴν ἀγαθότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος εἰς τοὺς αἰῶνας. Ἀμήν.»*

*Ταῦτα εὐξάμενος καὶ ὡς ἥδιστα τὸν αὐχένα προτείνας τὴν ἀθλητικὴν ἐκτέμνεται κεφαλὴν ἡμέρᾳ παρασκευῇ ὥρᾳ ἑβδόμῃ, εἰκάδα τότε τρίτην τοῦ Ἀπριλίου μηνὸς ἄγοντος. Τὸ δὲ πολύαθλον αὐτοῦ λείψανον, ἀπὸ Νικομηδείας ἐν Διοσπόλει τῆς Παλαιστίνης ἀνεκομίσθη, τῇ μητρῴᾳ τούτου δηλονότι πατρίδι, βασιλεύοντος καθ᾽ ἡμᾶς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις, κράτος σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ ζωοποιῷ Αὐτοῦ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.»*

Ἐκ τοῦ Μαρτυρίου τοῦ Ἁγίου Γεωργίου ἀπουσιάζει ἡ ἀναίρεσις τοῦ αἰσθητοῦ δράκοντος, ἥτις ἀποτελεῖ τὴν προετοιμασίαν αὐτοῦ. Ὁ συγγραφεὺς τοῦ ἀρχαίου μαρτυρίου ἐδημιούργησε

παράδοσιν, τοποθετήσας τὴν δρᾶσιν τοῦ Ἁγίου ἐν Μικρᾷ Ἀσίᾳ μόνον, ἔνθα ἦν ἡ ἕδρα τοῦ ἀντιπάλου Διοκλητιανοῦ, καὶ παραλείψας τὴν δρᾶσιν αὐτοῦ ἐν Αἰγύπτῳ καὶ Λιβύῃ.

Ἐν Αἰγύπτῳ ἥδρευον τρεῖς ῥωμαϊκαὶ λεγεῶνες, ὧν μία ἐν Ἀλεξανδρείᾳ καὶ ἑτέρα ἐν τῇ θέσει τοῦ ἀκατοικήτου τότε Παλαιοῦ Καΐρου. Μία τούτων ἐκαλεῖτο Κυρηναϊκὴ ἢ λεγεὼν τῶν Μαρμαριτῶν. Ἐπὶ πύργου τοῦ ῥωμαϊκοῦ φρουρίου ἐν τῷ Παλαιῷ Καΐρῳ ἐκτίσθη ἡ μονὴ τοῦ Ἁγίου Γεωργίου μετὰ κυκλοτεροῦς ναοῦ. Κυκλοτερῆ ἢ ὀκταγωνικὰ κτίσματα ἱδρύοντο ἰδίᾳ ὡς ταφικοὶ ναοὶ ἐπὶ τῶν τάφων τῶν Μαρτύρων ἢ ὡς βαπτιστήρια. Κυκλοτερὴς ἦν καὶ ὁ ναός, ὃν ἵδρυσεν ὁ Μέγας Κωνσταντῖνος ἐπὶ τοῦ Παναγίου Τάφου. Ὁ κυκλοτερὴς ναὸς τοῦ Ἁγίου Γεωργίου ἐπὶ ῥωμαϊκοῦ φρουρίου ἐν τῷ Παλαιῷ Καΐρῳ ὑπεμφαίνει σχέσιν τοῦ Ἁγίου Γεωργίου πρὸς τὴν Αἴγυπτον.

Ἡ ἐν Λιβύῃ Κυρήνη ἦν τὸ κατάλληλον πεδίον πρὸς τέλεσιν τῆς δρακοντοκτονίας, τῆς ἀναιρέσεως τοῦ αἰσθητοῦ δράκοντος, ὡς προετοιμασίας τῆς ἀναιρέσεως τοῦ νοητοῦ δράκοντος. Ἐκεῖ, ἔξωθι τῆς πόλεως, ἦσαν ἡ πηγὴ καὶ ὁ ναὸς τοῦ ἀντιπροσώπου τῆς εἰδωλολατρίας Ἀπόλλωνος, αἱ θέρμαι, ἃς ἵδρυσεν ὁ Τραϊανός, τὸ ἄγαλμα τῆς Ἀφροδίτης τῆς Κυρήνης, ἔργον τοῦ δευτέρου μ.Χ. αἰῶνος, καὶ ὁ ἔκλυτος βίος. Ἡ κατανίκησις τοῦ δράκοντος ὑπὸ τοῦ Ἁγίου Γεωργίου τὴν κατανίκησιν τοῦ βυθίου δράκοντος ὑπὸ τοῦ Ἀρχαγγέλου Μιχαὴλ σημαίνει.

Ἡ δρακοντοκτονία τοῦ Ἁγίου Γεωργίου ἐλάνθανεν ἐν ταῖς παραδόσεσι παρὰ τὸ ἐπίσημον μαρτύριον αὐτοῦ. Ἐσῴζετο ἰδίᾳ παρὰ τοῖς Ἕλλησι τῆς Κυρήνης, τῆς Σικελίας καὶ τῆς Ἰταλίας. Ἐν τοῖς ἄκροις τούτοις τοῦ ἑλληνισμοῦ ἐτιμῶντο οἱ δρακοντοκτόνοι Ἀρχάγγελος Μιχαήλ, παρὰ χθαμαλὴν ἀκρώρειαν τοῦ ὄρους Γαργάνου ἐν Ἀπουλίᾳ, ἔνθα καὶ τὸ ἁγίασμα αὐτοῦ, καὶ ὁ

Ἅγιος Γεώργιος ἐν Κυρήνῃ. Αἱ ἀνακαλυφθεῖσαι ὑπὸ τῆς ἀρχαιολογικῆς σκαπάνης βασιλικαὶ ἐν Κυρήνῃ πιθανῶς ἀνῆκον τῷ ἱδρυτῇ τῆς Ἐκκλησίας τῆς Κυρήνης Εὐαγγελιστῇ Ἀποστόλῳ Μάρκῳ, τῷ Ἁγίῳ Γεωργίῳ καὶ τῷ Ἁγίῳ Ὁσιομάρτυρι Ἐπισκόπῳ Κυρήνης Θεοδώρῳ. Ὁ μητροπολιτικὸς ναὸς μετὰ μωσαϊκῶν δαπέδων ἀνῆκε πιθανῶς τῷ Ἀποστόλῳ Μάρκῳ καὶ ἡ βασιλικὴ ἐπὶ τοῦ ναοῦ τοῦ Ἀπόλλωνος τῷ Ἁγίῳ Γεωργίῳ. Καταληφθείσης ὑπὸ τῶν Ἀράβων τῆς Κυρήνης, οἱ Ἕλληνες αὐτῆς κατέφυγον εἰς Σικελίαν, καταληφθείσης καὶ τῆς Σικελίας, διεσπάρησαν ἐν Καλαβρίᾳ καὶ Ἀπουλίᾳ, ἔνθα ὑπῆρχον συμπαγεῖς ἑλληνικοὶ πληθυσμοί.

Τὴν λανθάνουσαν δρακοντοκτονίαν τοῦ Ἁγίου Γεωργίου παρέλαβε παρὰ τῆς προφορικῆς καὶ γραπτῆς παραδόσεως τῶν Ἑλλήνων ὁ Ἀρχιεπίσκοπος Γενούης Ἰάκωβος ντὲ Βοράγγινε (1230-1298) ἐν τῇ Ἱστορίᾳ Ἁγίων αὐτοῦ, περὶ τὸ 1260, ἀποτελῶν τὴν ἀρχαιοτέραν μαρτυρίαν περὶ αὐτῆς. Ταύτην ἀναφέρει καὶ ὁ Βικέντιος τοῦ Μπωβαὶ (1190-1264) ἐν τῇ Ἐγκυκλοπαιδείᾳ αὐτοῦ. Τὸ ἔργον τοῦ Ἰακώβου ντὲ Βοράγγινε μετέφρασεν ἐν τῇ Ἀγγλικῇ γλώσσῃ ὁ Οὐίλλιαμ Κάξτον κατὰ τὸν δέκατον πέμπτον αἰῶνα, προσθέτων καὶ τὸ μαρτύριον αὐτοῦ ἐκ λατινικῆς μεταφράσεως.

Περίοπτα κέντρα ἑλληνικοῦ πολιτισμοῦ ἐν Ἀφρικῇ ὑπῆρξαν αἱ μεγαλοπόλεις Ἀλεξάνδρεια καὶ Κυρήνη. Ἡ Ῥώμη παρέλαβε τὸν ἑλληνικὸν πολιτισμὸν κυρίως ἐκ τῶν δύο τούτων κέντρων, διαπλάσασα τὸν ῥωμαϊκόν. Διὰ τῆς Κυρήνης, ὡς συνόρου, διεδόθη ἡ ἑλληνικὴ φιλοσοφία καὶ ἡ χριστιανικὴ θεολογία περαιτέρω καὶ εἰς τὴν λατινικὴν βόρειον Ἀφρικὴν καὶ εἰς τὴν Ἰταλίαν καὶ τὴν λοιπὴν Εὐρώπην. Διὰ τῶν ὁδῶν τούτων διεδόθη ἐκ Λιβύης καὶ τὸ θαῦμα τῆς δρακοντοκτονίας εἰς Ἰταλίαν καὶ Εὐρώπην.

Ὁ Ἅγιος Γεώργιος ἐτιμᾶτο ἐν τῇ γενετείρᾳ αὐτοῦ Διοσπό-

λει ἡ Λύδδη. Ἡ θέσις τῆς Λύδδης ἐν τῇ ὁδῷ τῶν προσκυνητῶν πρὸς τοὺς Ἁγίους Τόπους καὶ ἡ ἀπώλεια τῆς ἑλληνικῆς Δύσεως συνέβαλον εἰς τὴν μεταφορὰν τῆς δράσεως τοῦ Ἁγίου Γεωργίου εἰς τὴν Ἀνατολὴν καὶ ἰδίᾳ ἐν τῇ γενετείρᾳ αὐτοῦ. Ἐκ τῆς Ἐγγὺς Ἀνατολῆς ἡ τιμὴ τοῦ Ἁγίου Γεωργίου ἔφθασεν εἰς τὴν Κωνσταντινούπολιν, ἔνθα ὑπῆρχον ἐννέα ναοί, ἀφιερωμένοι εἰς αὐτόν, ὧν ἀρχαιότερος ὁ ἐν τῷ Ξηροκέρῳ τοῦ ἕκτου αἰῶνος, καὶ ἐκεῖθεν εἰς τὴν Δύσιν κατὰ τὸν πέμπτον αἰῶνα. Τὸ μαρτύριον αὐτοῦ μετεφράσθη ἐν τῇ Λατινικῇ καὶ ἐν ἄλλαις γλώσσαις, ὡς ἐν τῇ Συριακῇ, τῇ Κοπτικῇ, τῇ Ἀρμενιακῇ καὶ τῇ Αἰθιοπικῇ. Ἐκ τῶν Ἑλλήνων τῆς Δύσεως διὰ τῶν Σταυροφόρων καὶ τῆς δημιουργίας φραγκικῶν κρατῶν ἐπὶ ἐδαφῶν τῆς Βυζαντινῆς αὐτοκρατορίας ἐγένετο ἐπίσημος ἡ δρακοντοκτονία τοῦ Ἁγίου Γεωργίου καὶ ἐν τῇ Ἀνατολῇ. Ἐκ τῆς Ἀνατολῆς διεδόθη ἡ παράστασις τοῦ Ἁγίου Γεωργίου ἐφίππου, ἀναιροῦντος τὸν δράκοντα. Ἐν τῇ Δύσει οἱ στρατιωτικοὶ Ἅγιοι παρεστάθησαν ἔφιπποι, ὡς κοσμικοὶ ἱππόται.

Κατὰ τὴν μεσοβυζαντινὴν περίοδον ὁ Ἅγιος Γεώργιος παρίσταται ἐνδεδυμένος στρατιωτικὴν στολὴν καὶ φέρων ἐν τῇ δεξιᾷ χειρὶ δόρυ καὶ ἐν τῇ ἀριστερᾷ ἀσπίδα. Ἐν εἰκόνι τῆς μονῆς Σινᾶ τοῦ ἐνάτου αἰῶνος παρίσταται τὸ πρῶτον ἔφιππος, καταβάλλων βάρβαρον. Ἡ παράστασις τοῦ Ἁγίου Γεωργίου ἐφίππου ἐπεκράτησεν ἀπὸ τοῦ δωδεκάτου αἰῶνος. Ἤδη ἀπὸ τοῦ πέμπτου καὶ ἕκτου αἰῶνος ἐν τοιχογραφίαις μονῶν τῆς Αἰγύπτου παρίστανται ἔφιπποι Ἅγιοι, καταβάλλοντες δράκοντα ἢ βάρβαρον μετὰ τῆς συμβολικῆς ἐννοίας τῆς νίκης κατὰ τοῦ κακοῦ καὶ τοῦ θανάτου. Ἡ παράστασις αὕτη εἰκονίζει κατὰ τὸ πρότυπον τῆς στήλης τοῦ Δεξίλεω τὴν θέωσιν τοῦ νικητοῦ ἢ τοῦ αὐτοκράτορος.

Ἡ ἀναίρεσις τοῦ δράκοντος ὑπὸ τοῦ Ἁγίου Γεωργίου φέρε-

www.tezaurliturgic.ro

ται εἰς πληθώραν κωδίκων ἀπὸ τοῦ δωδεκάτου ἕως τοῦ δεκάτου ἐνάτου αἰῶνος, ἀποκειμένων ἐν μοναῖς καὶ βιβλιοθήκαις ἐν Ἑλλάδι καὶ ἐν Εὐρώπῃ. Ὁ τόπος τῆς ἀναιρέσεως τοῦ δράκοντος ποικίλλει. Ἀναφέρονται αἱ πόλεις Λύδδα, Βηρυτός, Ἰόππη, Ἀττάλεια, Ἀλαγία, Λασία, Ἰκόνιον. Οἱ συγγράφοντες τὸν βίον τοῦ Ἁγίου λόγιοι, γινώσκοντες τὴν ἀρχαίαν μυθολογίαν, ἐτοποθέτησαν τὸ θαῦμα ἐν Ἰόππῃ, ἔνθα ἐφέρετο ὁ Περσεὺς ἐλευθερώσας τὴν Ἀνδρομέδαν ἐκ τοῦ θαλασσίου κήτους, ἢ ἐν Λυκίᾳ, ἔνθα ἐφέρετο ὁ Βελλεροφόντης ἀνελὼν τὴν Χίμαιραν. Ἡ Ἀττάλεια καὶ ἡ Ἀλαγία ἔκειντο ἐν Λυκίᾳ, ἡ ἀνύπαρκτος πόλις Λασία παραπέμπει εἰς τὰ Μύλασα τῆς Λυκίας. Ἡ Λύδδα εἵλκυσε τὸ θαῦμα ὡς γενέτειρα τοῦ Ἁγίου, ἔνθα ὑπῆρχε παλαιότατος ναὸς αὐτοῦ, καὶ ἡ Βηρυτὸς ἦν λιμὴν προσεγγίσεως τῶν προσκυνητῶν καθ᾽ ὁδὸν πρὸς τοὺς Ἁγίους Τόπους. Ἐν Ἰκονίῳ τῆς Λυκαονίας ὑπῆρχε μῦθος περὶ τοῦ Περσέως καὶ τῆς Μεδούσης, τὰ δὲ νομίσματα αὐτοῦ ἔφερον σχετικὴν παράστασιν. Βυζαντινὸς συγγραφεὺς περὶ τὸν δωδέκατον αἰῶνα, γράφων «*ὡς οἱ μῦθοί φασι καί τις τῶν ἱστορικῶν*», συγχέει τὸν μῦθον τοῦ Βελλεροφόντου πρὸς τὸν μῦθον τοῦ Περσέως καὶ τῆς Ἀνδρομέδας:

«*Καὶ γὰρ ἐν τῇ τοιαύτῃ πόλει [τῷ Ἰκονίῳ] ἱστορεῖται τὸ παρὰ Περσέως πρὸς τὸν δράκοντα γεγονὸς θαῦμα. Δράκων ἦν ἐμφωλεύων ἐκεῖ καὶ κατὰ καιρὸν συνηθείας ἐδίδουν κόρην περιφανῆ καὶ ὡραίαν. Τότε παρέσχον τὴν Ἀνδρομέδαν, παρθένον ὡραίαν καὶ καλὴν [θυγατέρα ὑπάρχουσαν Βασιλίσκου]. Διερχόμενος οὖν ὁ Περσεὺς καὶ τῆς κραυγῆς ἀκηκοὼς τῆς παρθένου [Περσεὺς ἐκεῖσε ἥκων πύθεται κλαιούσῃ τῇ Ἀνδρομέδᾳ] ἐπυνθάνετο τί ἂν ὀδύρηται [τί ἂν εἴη δεδεμένη καὶ θρηνοῦσα]. Καὶ αὐτὴ ἐξηγήσατο· ὅτι «τῷ θηρίῳ προτίθεμαι εἰς βοράν.» [Τοῦ δὲ καθίσαντος, ἧκε τὸ θηρίον]. Αὐτὸς δέ, Γοργόνης κε-*

*φαλὴν ἐν πήρᾳ κατέχων, ὀπισθοφανῶς στραφείς, δείκνυσι τῷ θηρίῳ· ὅπερ ἰδὼν ἐκεῖνο, ἀπέψυξε.»*

Ἡ Κυρήνη, ὡς τόπος τῆς δρακοντοκτονίας τοῦ Ἁγίου Γεωργίου, ἐφέρετο ἰδίᾳ παρὰ τοῖς Ἕλλησι τῆς Δύσεως, ἐξ ὧν παρέλαβον αὐτὴν οἱ Δυτικοὶ συγγραφεῖς. Ὁ Ἀρχιεπίσκοπος Γενούης Ἰάκωβος ντὲ Βοράγγινε ἀναφέρει ὡς τόπον τὴν πόλιν *Silene* τῆς Λιβύης, ἣν οἱ ἐρευνηταὶ ταυτίζουσι πρὸς τὴν Κυρήνην. Ὁ Ἀρχιεπίσκοπος, γινώσκων ἐκ τῆς ῥωμαϊκῆς Ἱστορίας τὴν Κλεοπάτραν Σελήνην, συνδεθεῖσαν πρὸς τὴν Κυρήνην, ἀναφέρει τὴν Κυρήνην διὰ τοῦ συνηχοῦντος ὀνόματος αὐτῆς. Ὁ Ἀντώνιος καὶ ἡ Κλεοπάτρα ἔσχον δίδυμα τέκνα, τὸν Ἀλέξανδρον καὶ τὴν Κλεοπάτραν, καὶ τρίτον τὸν Πτολεμαῖον Φιλάδελφον. Ἀνιστῶν τὴν παλαιὰν Πτολεμαϊκὴν αὐτοκρατορίαν, ὁ Ἀντώνιος ἀνηγόρευσε τὸν Ἀλέξανδρον, ὡς Ἥλιον, βασιλέα τῶν χωρῶν ἀνατολικῶς τοῦ Εὐφράτου, τὸν Πτολεμαῖον Φιλάδελφον βασιλέα τῶν χωρῶν δυτικῶς τοῦ Εὐφράτου καὶ τὴν Κλεοπάτραν, ὡς Σελήνην, βασίλισσαν τῆς Κυρήνης. Ἡ Κλεοπάτρα Σελήνη ἐδόθη ὡς σύζυγος τῷ ἑλληνολάτρῃ βασιλεῖ Ἰόβᾳ τῆς Νουμιδίας, ἐγένετο ἀντιβασίλισσα καί, ὡς κυρίαρχος, ἔκοψε καὶ νομίσματα.

Ὁ Ἀρχιεπίσκοπος τῆς Γενούης Ἰάκωβος ντὲ Βοράγγινε παραδίδει τὴν δρακοντοκτονίαν τοῦ Ἁγίου Γεωργίου ἐν Κυρήνῃ τῆς Λιβύης, ὡς ἀκολούθως:

*“Georgius tribunus, genere Cappadocum, pervenit quadam vice in provinciam Libyae in civitatem, quae dicitur Silena. Iuxta quam civitatem erat stagnum instar maris, in quo draco pestifer latitabat, qui saepe populum contra se armatum in fugam converterat flatuque suo ad muros civitatis accedens omnes inficiebat. Quapropter compulsi cives duas oves quotidie*

*sibi dabant, ut eius furorem sedarent, alioquin sic muros civitatis invadebat et aerem inficiebat, quod plurimi interibant.*

*Cum ergo iam oves paene deficerent, maxime cum harum copiam habere non possent, inito consilio ovem cum adiuncto homine tribuebant. Cum igitur sorte omnium filii et filiae hominum darentur et sors nemimem exciperet, et iam paene omnes filii et filiae essent consumpti, quadam vice filia regis unica sorte est deprehensa et draconi adiudicata. Tunc rex constristatus ait: " Tollite aurum et argentum et dimidium regni mei et filiam mihi dimittite, ne taliter moriatur." Cui populus cum furore respondit: "Tu, o rex, hoc edictum fecisti et nunc omnes pueri nostri mortui sunt et tu vis filiam tuam salvare! Nisi in filia tua compleveris, quod in allis ordinasti, succendemus te et domum tuum." Quod rex videns coepit filiam suam flere dicens: "Heu me, filia mea dulcissima, quid de te faciam? Aut quid dicam? Quando plus videbo nuptias tuas?" Et conversus ad populum dixit: "Oro, ut indutias octo dierum lugendi mihi filiam tribuatis." Quod cum populus admisisset, in fine octo dierum reversus populus est cum furore dicens: "Quare perdis populum tuum propter filiam tuam! En omnes afflatu draconis morimur." Tunc rex videns, quod non posset filiam liberare, induit eam vestibus regalibus et amplexatus eam cum lacrimis dixit: " Heu me, filia mea dulcissima, de te filios in regali gremio nutrire credebam et nunc vadis, ut a dracone devoreris. Heu me, filia mea dulcissima, sperabam ad tuas nuptias principes invitare, palatium margaritis ornare, tympana et organa audire, et nunc vadis, ut a dracone devoreris." Et deosculans dimisit eam dicens: "Utinam, filia mea, ego ante te mortuus essem, quam te sic amisissem." Tunc illa procidit ad pedes patris petens ab eo benedictionem suam. Quam cum pater cum lacrimis benedixisset, ad lacum processit.*

*Quam beatus Georgius casu inde transiens ut plorantem vidit, eam, quid haberet, interrogavit. Et illa: " Bone iuvenis, velociter equum adscende et fuge, ne mecum pariter moriaris." Cui Georgius: "Noli timere, filia, sed dic mihi, quid hic praestolaris omni plebe spectante!" Et illa: "Ut video, bone iuvenis, magnifici cordis es tu, sed mecum mori desideras! Fuge velociter." Cui Georgius: " Hinc ego non discedam, donec mihi, quid habeas, intimabis." Cum ergo totum sibi exposuisset, ait Georgius: "Filia noli timere, quia in Christi nomine te iuvabo." Et illa: "Bone miles, sed te ipsum salvare festines, mecum non pereas. Sufficit enim, si sola peream. Nam me liberare non posses et tu mecum perites."*

*Dum haec loquerentur, ecce draco veniens caput de lacu levavit. Tunc puella tremefacta dixit: "Fuge, bone domine, fuge velociter." Tunc Georgius equum ascendens et cruce se muniens draconem contra se advenientem audaciter aggreditur et lanceam fortiter vibrans et se Deo commendans ipsum graviter vulneravit et ad terram deiecit dixitque puellae: "Proice zonam tuam in collum draconis nihil dubitans, filia."*

*Quod cum fecisset, sequebatur eam velut mansuetissima canis. Cum ergo eum in civitatem duceret, populi hoc videntes per montes et colles fugere coeperunt dicentes: "Vae nobis, quia iam omnes peribimus!" Tunc beatus Georgius innuit iis dicens: "Nolite timere, ad hoc enim me misit Dominus ad vos, ut a poenis vos liberarem draconis. Tantummodo in Christum credite et unusquisque vestrum baptizetur et draconem istum occidam." Tunc rex et omnes populi baptizati sunt, beatus Georgius evaginato gladio draconem occidit et ipsum extra civitatem efferri praecepit. Tunc quattuor paria boum ipsum in magnum campum foras duxerunt. Baptizati autem sunt in illa die XX milia exceptis*

*parvulis et mulieribus. Rex autem in honorem beatae Mariae et beati Georgi ecclesiam mirae magnitudinis construxit. De cuius altari fons vivus emanat, cuius potus omnes languidos sanat. Rex vero infinitam pecuniam beato Georgio obtulit, quam ille recipere nolens pauperibus eam dari praecepit. Tunc Georgius de quatuor regem breviter instruxit, scilicet ut ecclesiarum deicuram haberet, sacerdotes honoraret, divinum officium diligenter audiret et semper pauperum memor esset; et sic osculato rege inde recessit. In aliquibus tamen libris legitur quod dum draco ad devorandum puellam pergeret, Georgius se cruce munivit et draconem aggrediens interfecit.”*

Ὁ Οὐίλλιαμ Κάξτον ἀρύεται τὴν δρακοντοκτονίαν τοῦ Ἁγίου Γεωργίου ἐκ τοῦ Ἰακώβου ντὲ Βοράγγινε καὶ συμπληροῖ διὰ τοῦ μαρτυρίου αὐτοῦ ἐκ μεταφράσεων:

*“George is said of geos, which is as much to say as earth, and orge that is tilling. So George is to say as tilling the earth, that is his flesh. And S. Austin saith, in libro de Trinitate that, good earth is in the height of the mountains, in the temperance of the valleys, and in the plain of the fields. The first is good for herbs being green, the second to vines, and the third to wheat and corn. Thus the blessed George was high in despising low things, and therefore he had verdure in himself, he was attemperate by discretion, and therefore he had wine of gladness, and within he was plane of humility, and thereby put the forth wheat of good works. Or George may be said of gerar, that is holy, and of gyon, that is a wrestler, that is an holy wrestler, for he wrestled with the dragon. Or George is said of gero, that is a pilgrim, and gir, that is detrenched out, and ys, that is a councillor. He was a pilgrim in the sight of the world, and he was cut and detrenched by the*

*crown of martydom, and he was a good councillor in preaching. And his legend is numbered among other scriptures apocryphal in the council of Nicene, because his martyrdom hath no certain relation. For in the calendar of Bede it is said that he suffered martyrdom in Persia in the city of Diaspolin, and in other places it is read that he resteth in the city of Diaspolin which tofore was called Lidda, which is by the city of Joppa or Japh. And in another place it is said that he suffered death under Diocletian and Maximian, which that time were emperors. And in another place under Diocletian emperor of Persia, being present seventy kings of his empire. And it is said here that he suffered death under Dacian the provost, then Diocletian and Maximian being emperors.*

*Here followeth the Life of S. George Martyr.*

*S. George was a knight and born in Cappadocia. On a time he came in to the province of Libya, to a city which is said Silene. And by this city was a stagne or a pond like a sea, wherein was a dragon which envenomed all the country. And on a time the people were assembled for to slay him, and when they saw him they fled. And when he came nigh the city he venomed the people with his breath, and therefore the people of the city gave to him every day two sheep for to feed him, because he should do no harm to the people, and when the sheep failed there was taken a man and a sheep. Then was an ordinance made in the town that there should be taken the children and young people of them of the town by lot, and every each one as it fell, were he gentle or poor, should be delivered when the lot fell on him or her. So it happed that many of them of the town were then delivered, insomuch that the lot fell upon the king's daughter, whereof the king was sorry, and said unto the people: "For the love of the*

www.tezaurliturgic.ro

*gods take gold and silver and all that I have, and let me have my daughter". They said: "How sir! ye have made and ordained the law, and our children be now dead, and ye would do the contrary. Your daughter shall be given, or else we shall burn you and your house."*

*When the king saw he might no more do, he began to weep, and said to his daughter: "Now shall I never see thine espousals." Then returned he to the people and demanded eight day's respite, and they granted it to him. And when the eight days were passed they came to him and said: "Thou seest that the city perisheth." Then did the king do array his daughter like as she should be wedded, and embraced her, and kissed her and gave her his benediction, and after, led her to the place where the dragon was.*

*When she was there S. George passed by, and when he saw the lady he demanded the lady what she made there and she said: "Go ye your way fair young man, that ye perish not also." Then said he: "Tell to me what have ye and why weep ye, and doubt ye of nothing." When she saw that he would know, she said to him how she was delivered to the dragon. Then said S. George: "Fair daughter, doubt ye no thing hereof for I shall help thee in the name of Jesu Christ." She said: "For God's sake, good knight, go your way, and abide not with me, for ye may not deliver me." Thus as they spake together the dragon appeared and came running to them, and S. George was upon his horse, and drew out his sword and garnished him with the sign of the cross, and rode hardily against the dragon which came towards him, and smote him with spear and hurt him sore and threw him to the ground. And after said to the maid: "Deliver to me your girdle, and bind it about the neck of the dragon and be not afeard." When she had done so the dragon followed her as it had been a meek beast and debonair.*

www.tezaurliturgic.ro

*Then she led him into the city, and the people fled by mountains and valleys, and said: "Alas! Alas! We shall be all dead." Then S. George said to them: "No doubt ye no thing, without more, believe ye in God, Jesu Christ, and do ye to be baptized and I shall slay the dragon." Then the king was baptized and all his people, and S. George slew the dragon and smote off his head, and commanded that he should be thrown in the fields, and they took four carts with oxen that drew him out of the city.*

*Then were there well fifteen thousand men baptized, without women and children, and the king did do make a church there of our Lady and of S. George, in the which yet sourdeth a fountain of living water, which healeth sick people that drink thereof. After this the king offered to S. George as much money as there might be numbered, but he refused all and commanded that it should be given to poor people for God's sake; and enjoined the king four things, that is, that he should have charge of the churches, and that he should honour the priests and hear their service diligently, and that he should have pity on the poor people, and after, kissed the king and departed.*

*Now it happed that in the time of Diocletian and Maximian, which were emperors, was so great persecution of christian men that within a month were martyred well twenty-two thousand, and therefore they had so great dread that some renied and forsook God and did sacrifice to the idols. When S. George saw this, he left the habit of a knight and sold all that he had, and gave it to the poor, and took the habit of a christian man, and went into the middle of the paynims and began to cry: "All the gods of the paynims and gentiles be devils, my God made the heavens and is very God." Then said the provost to him: "Of what presumption cometh this to thee, that thou sayest that our gods be devils? And*

www.tezaurliturgic.ro

*say to us what thou art and what is thy name." He answered anon and said: "I am named George, I am a gentleman, a knight of Cappadocia, and have left all for to serve the God of heaven." Then the provost enforced himself to draw him unto his faith by fair words, and when he might not bring him thereto he did do raise him on a gibbet; and so much beat him with great staves and broches of iron, that his body was all tobroken in pieces. And after he did do take brands of iron and join them to his sides, and his bowels which then appeared he did do frot with salt, and so sent him into prison, but our Lord appeared to him the of same night with great light and comforted him much sweetly. And by this great consolation he took to him so good heart that he doubted no torment that they might make him suffer. Then, when Dacian the provost saw that he might not surmount him, he called his enchanter and said to him: "I see that these christian people doubt not out forments. The enchanter bound himself, upon his head to be smitten off, if he overcame not his crafts." Then he did take strong venom and meddled it with wine, and made invocation of the names of his false gods, and gave it to S. George to drink. S. George took it and made the sign of the cross on it, and anon drank it without grieving him any thing. Then the enchanter made it more stronger than it was tofore of venom, and gave it him to drink, and it grieved him nothing. When the enchanter saw that, he kneeled down at the feet of S. George and prayed him that he would make him christian. And when Dacian knew that he was become christian he made to smite off his head. And after, on the morn, he made S. George to be set between two wheels, which were full of swords, sharp and cutting on both sides, but anon the wheels were broken and S. George escaped without hurt. And then commanded Dacian that they should put him in a*

*caldron full of molten lead, and when S. George entered therein, by the virtue of our Lord it seemed that he was in a bath well at ease. Then Dacian seeing this began to assuage his ire, and to flatter him by fair words, and said to him: "George, the patience of our gods is over great unto thee which hast blasphemed them, and done to them great despite, then fair, and right sweet son, I pray thee that thou return to our law and make sacrifice to the idols, and leave thy folly, and I shall enhance thee to great honour and worship." Then began S. George to smile, and said to him: "Wherefore saidst thou not to me thus at the beginning? I am ready to do as thou sayest." Then was Dacian glad and made to cry over all the town that all the people should assemble for to see George make sacrifice which so much had striven there against. Then was the city arrayed and feast kept throughout all the town, and all came to the temple for to see him.*

*When S. George was on his knees, and they supposed that he would have worshipped the idols, he prayed our Lord God of heaven that he would destroy the temple and the idol in the honour of his name, for to make the people to be converted. And anon the fire descended from heaven and burnt the temple, and the idols, and their priests, and sith the earth opened and swallowed all the cinders and ashes that were left. Then Dacian made him to be brought tofore him, and said to him: "What be the evil deeds that thou hast done and also great untruth?" Then said to him S. George: "Ah, sir, believe it not, but come with me and see how I shall sacrifice." Then said Dacian to him: "I see well thy fraud and thy barat, thou wilt make the earth to swallow me, like as thou hast the temple and my gods." Then said S. George: "O caitiff, tell me how may thy gods help thee when they may not help themselves!" Then was Dacian so angry that he said to his wife: "I*

www.tezaurliturgic.ro

*shall die for anger if I may not surmount and overcome this man." Then said she to him: "Evil and cruel tyrant! Ne seest thou not the great virtue of the christian people? I said to thee well that thou shouldst not do to them any harm, for their God fighteth for them, and know thou well that I will become christian." Then was Dacian much abashed and said to her: "Wilt thou be christian?" Then he took her by the hair, and did do beat her cruelly. Then demanded she of S. George: "What may I become because I am not christened?" Then answered the blessed George: "Doubt thee nothing, fair daughter, for thou shalt be baptized in thy blood." Then began she to worship our Lord Jesu Christ, and so she died and went to heaven. On the morn Dacian gave his sentence that S. George should be drawn through all the city, and after, his head should be smitten off. Then made he his prayer to our Lord that all they that desired any boon might get it of our Lord God in his name, and a voice came from heaven which said that it which he had desired was granted; and after he had made his orison his head was smitten off, about the year of our Lord two hundred and eighty-seven. When Dacian went homeward from the place where he was beheaded towards his palace, fire fell down from heaven upon him and burnt him all his servants.*

*Gregory of Tours telleth that there were some that bare certain relics of S. George, and came into a certain oratory in a hospital, and on the morning when they should depart they could not move the door till they had left there part of their relics. It is also found in the history of Antioch, that when the christian men went over sea to conquer Jerusalem, that one, a right fair young man, appeared to a priest of the host and counselled him that he should bear with him a little of the relics of S. George, for he was conductor of the battle, and so he did so much that he had some.*

*And when it was so that they had assieged Jerusalem and durst not mount ne go up on the walls for the quarrels and defence of the Saracens, they saw appertly S. George which had white arms with a red cross, that went up tofore them on the walls, and they followed him, and so was Jerusalem taken by his help. And between Jerusalem and port Jaffa, by a town called Ramys, is a chapel of S. George which is now desolate and uncovered, and therein dwell christian Greeks. And in the said chapel lieth the body of S. George, but not the head. And there lie his father and mother and his uncle, not in the chapel but under the wall of the chapel; and the keepers will not suffer pilgrims to come therein, but if they pay two ducats, and therefore come but few therein, but offer without the chapel at an altar. And there is seven years and seven lents of pardon; and the body of S. George lieth in the middle of the quire or choir of the said chapel, and in his tomb is an hole that a man may put in his hand. And when a Saracen, being mad, is brought thither, and if he put his head in the hole he shall anon be made perfectly whole, and have his wit again.*

*This blessed and holy martyr S. George is patron of this realm of England and the cry of men of war. In the worship of whom is founded the noble order of the gather, and also a noble college in the castle of Windsor by kings of England, in which college is the heart of S. George, which Sigismund, the emperor of Almayne, brought and gave for a great and a precious relique to King Harry the fifth. And also the said Sigismund was a brother of the said garter, and also there is a piece of his head, which college is nobly endowed to the honour and worship of Almighty God and his blessed martyr S. George. Then let us pray unto him that he be special protector and defender of this realm."*

Ἡ ἱστορία Ἁγίων τοῦ Ἀρχιεπισκόπου Γενούης Ἰακώβου

www.tezaurliturgic.ro

ντὲ Βοράγγινε διεδόθη εὐρέως καὶ κατέστησε γνωστὴν ἐν ὅλῃ τῇ Εὐρώπῃ τὴν δρακοντοκτονίαν τοῦ Ἁγίου Γεωργίου. Ἐν Κρήτῃ συνετάγη κατὰ τὴν Ἱστορίαν Ἁγίων ὁμοιοκατάληκτον ᾆσμα περὶ αὐτῆς, διαδοθὲν εἰς ὅλας τὰς ἑλληνικὰς χώρας Ἡ ὑστεροβυζαντινὴ λογοτεχνία ἐσυνεχίσθη ἐν τῇ βενετοκρατουμένῃ Κρήτῃ, ἔνθα ὑπῆρχον εὐνοϊκοὶ ὅροι ἀναπτύξεως πνευματικῆς ζωῆς. Τὰ θύραθεν ἐκκλησιαστικὰ ᾄσματα, διαδεδομένα ἐν ὅλαις ταῖς ἑλληνικαῖς χώραις, *Ἡ ἔγερσις τοῦ Λαζάρου*, *Ὁ θρῆνος τῆς Παναγίας*, *Ἡ Ἀνάστασις τοῦ Χριστοῦ*, προέρχονται ἐκ τῆς Κρήτης.

Τὸ ὁμοιοκατάληκτον ᾆσμα τοῦ Ἁγίου Γεωργίου ἐκ Κύπρου ἀναφέρει ὡς πόλιν τῆς δρακοντοκτονίας τὴν Κυρήνην, ὡς ἐγίνωσκε τὸ λατινικὸν πρωτότυπον ὁ Κρὴς λόγιος συνθέτης:

*«Παπᾶδες καὶ πνευματικοὶ δασκάλοι καὶ γουμένοι,*
*ἐλᾶτε ν᾽ ἀδροικήσετε μιὰν λίτην ταιρκασμένην,*
*ν᾽ ἀκούσετε τὰ θαύματα τ᾽ Ἁγίου Γεωργίου,*
*ποὺ ἔρχεται ἡ μέρα του ᾽κοστρεῖς τοῦ Ἀπριλλίου.*
*Δευτέρα ἒν τῆς Καθαρᾶς, ποὺ κάμνουν τὴν νομάδαν,*
*κι ἐξέβην ᾽ποὺ τὸ σπίτιν του τὴν πρώτην ἑβδομάδαν,*
*καὶ τρεῖς ἡμέρες ἔκαμεν νὰ ρέξῃ τὴν Κυρήνην,*
*ψουμὶν νερὸν δὲν βρίσκεται μέσα ᾽ς τὴν χώραν κείνην.»*

ἢ κατὰ τὸ σύνηθες τὴν Βηρυτόν:

*«Καὶ τρεῖς ἡμέρες ἔκαμεν νὰ ρέξῃ τὸ Βερούτιν,*
*ψουμὶν νερὸν δὲν βρίσκεται μέσα ᾽ς τὴν χώραν τούτην.»*

Μία κυπριακὴ παραλλαγὴ τοῦ ᾄσματος τοῦ Ἁγίου Γεωργίου παρουσιάζει τοῦτον ὡς παρόντα κατὰ τὴν ἐπιφοίτησιν τοῦ Ἁγίου Πνεύματος. Κατὰ τὴν διανομὴν τῶν χωρῶν πρὸς κήρυξιν τοῦ Εὐαγγελίου ὑπὸ τῶν Ἀποστόλων τῷ Ἁγίῳ Γεωργίῳ

ἐδόθη ἡ Κυρήνη, ἐν ᾗ ἤνθει ἡ εἰδωλολατρία καὶ οἱ κάτοικοι αὐτῆς ὑπέφερον ἐκ τοῦ δράκοντος. Ἀναχωρήσας ὁ Ἅγιος ἔφθασεν εἰς τὴν Αἴγυπτον καὶ ἐκεῖθεν εἰς Κυρήνην, ἔνθα εὗρε τὴν θυγατέρα τοῦ βασιλέως ἐκτεθειμένην τῷ δράκοντι πρὸς βοράν. Καθαιρεῖ τὸν δράκοντα, ἐλευθεροῖ τὴν θυγατέρα τοῦ βασιλέως καὶ προσάγει τῷ Χριστῷ τοὺς εἰδωλολάτρας κατοίκους. Τὸ ᾆσμα τοῦ Ἁγίου Γεωργίου τρέχει οὕτω:

*«Δευτέρα ᾽τουν τῆς Καθαρᾶς, ποὺ κάμνουν τὴν νομάδαν,*
*ἐξέβηκεν ἀπόστολος τὴν πρώτην ἑβδομάδαν·*
*παίρνει βουλὴν ᾽ποὺ τὸν Θεὸν καὶ ᾽ς τὸ καράβιν μπαίννει,*
*ἐνόμασεν τὴν Αἴγυπτον, ᾽ς τὴν Ἀλεξάντραν μπαίννει.*
*Δίχως καράβιν ἔραξεν κι ἐπῆεν ᾽ς ἄλλην πόλιν,*
*καὶ κείνην ἐνομάσαν την οἱ δώδεκ᾽ ἀποστόλοι·*
*ἀλλά, γιατ᾽ ἤτουν Ἕλληνες, τὰ εἴδωλα ᾽λατρεῦαν,*
*μήτε Θεόν, μήτε Χριστόν, ποτὲ δὲν ἐπιστεῦαν·*
*πάλε γιατ᾽ ἤτουν Ἕλληνες κι εἶχαν τὴν ἀπιστίαν,*
*δὲν εἴχασιν ᾽ποὺ τὸν Θεὸν καμμιὰν εὐχαριστίαν.*
*Καὶ τὸ νερόν τους ἔππεσεν πάνω μακρὰ ᾽ς τὸ πλάτος,*
*κεῖ μέσα ἐκατοίκησεν ἕνας μεγάλος δράκος,*
*καὶ δὲν ἀφίννει τὸ νερὸν ᾽ς τὴν χώραν τους νὰ πάῃ,*
*καὶ ὅλοι τοῦ ἐκάμασιν ᾽πό ᾽ναν παιδὶν νὰ φάῃ.*
*Κεῖνος ποὺ εἶχεν ἕξ᾽ ὀκτὼ ἔστειλέν του τὸ ἕναν*
*κι ἦρτεν γυρὶν τ᾽ ἀφέντη μας τοῦ μέγα βασιλέα·*
*κόρην τὴν εἶχεν μοναχὴν κι εἶχεν νὰ τὴν παντρέψῃ,*
*κι ἦρτεν γυρίν του τοῦ φτωχοῦ τοῦ δράκου νὰ τὴν πέψῃ.*
*Καὶ πολοᾶται ὁ βασιλιᾶς, ᾽ς τοὺς μισταρκούς του λέγει,*
*καὶ μὲ τὰ χείλη ἓν ποὺ μιλεῖ, καὶ μὲ τ᾽ ἀμμάτια κλαίει:*
*«Πιάστε την καὶ φορῆστέ της ῥοῦχα τῆς φορηχιᾶς της,*
*μὲ μακριά, μήτε κοντά, ὅσον τῆς ἑλικιᾶς της.»*

Ἐπιάσαν κι ἐφορῆσάν της ροῦχα τῆς φορηχιᾶς της,
μὲ μακριά, μήτε κοντά, ὅσον τῆς ἑλικιᾶς της.
Ἀπού κάτω ᾽φόρησεν χρυσᾶ, ᾽πού πάνω χρυσταλλένα,
φορεῖ τὸν σάκκον τὸν χρυσὸν κι ἐχχέπασέν τα τέλεια.
Καὶ πολοᾶται ὁ βασιλιᾶς, τοὺς μισταρκούς του λέγει,
καὶ μὲ τ᾽ ἀμμάτια ἓν ποὺ μιλεῖ καὶ μὲ τ᾽ ἀμμάτια κλαίει:
«Πιάστε την κι ἐπᾶρτέ την πάνω μακρά ᾽ς τὴν στρᾶταν,
ποὺ ρέσσουν οἱ χριστιανοί, νὰ κάμνουσιν μαντᾶτα.»
Ἐπιάσαν την κι ἐπῆράν την πάνω μακρά ᾽ς τὴν στρᾶταν,
ποὺ ᾽ρέσσαν οἱ χριστιανοὶ κι ἐκάμνασιν μαντᾶτα.
Καὶ νάσου καὶ τὴν μάναν της τοῦ κάμπου κι ἀνεφαίνει,
τιτσίρα κι ἀνεμαλλιαρκὰ κι ὡς τὰ βυζιὰ χχισμένη:
«Παρὰ καὶ σ᾽ εἶχα, κόρη μου, ᾽ς τὸν δράκονταν ταμένην
κάλλιον νὰ σ᾽ εἶχα, κόρη μου, ᾽ς τὴν μαύρην γῆν θαμμένην.
Πού ᾽σουν τριῶν χρονῶν κι ἐπήαιννες τεσσάρων
νάιν σὲ πέψω, κόρη μου, κανίχχιν εἰς τὸν Χάρον!»
Ἐσφικταγκαλιαστήκασιν κι ἐγλυκοφιληθῆκαν,
ἦρτεν ἡ ὥρα κι ἡ στιγμή, ποὺ ἐποχωριστῆκαν.
Πιάννει το κεῖνον τὸ στρατίν, κεῖνον τὸ μονοπάτιν,
τὸ μονοπάτιν βκάλλει την ᾽ς τοῦ δράκου τὸ πηγάδιν,
τοῦ δράκοντα τοῦ πονηροῦ, πού ᾽θελεν νὰ τὴν φάῃ,
νὰ ξαπολύσῃ τὸ νερόν, ᾽ς τὴν χώραν γιὰ νὰ πάῃ.
Βρίσκει μιὰν πέτραν ριζιμιὰν καὶ πάνω της καθίζει
καὶ ἄρχισεν ἡ λυερὴ νὰ δακρυολογίζῃ:
«Θεέ, κι ἂν εἶμαι πλάσμαν σου, Χριστέ, καὶ πόκουσέ μου,
καὶ ἅγιε Γεώργιε, ἔλα, βοήθησέ μου.
Ἀκόμα δὲν ἐτέλειωσεν τὸν λόγον της, ποὺ ᾽κράτεν,
ὀμπρός της φανερώννεται ὁ μὸν Ἀηγιωρκίτης,
ὁ μέγας ὁ Γεώργιος ᾽πού τὴν Καππαδοκίαν,
πάνω ᾽ς τὴν σέλλαν τὴν χρυσῆν, τὸν ἄππαρον τὸν γρίβαν.

«Ἴντα γυρεύκεις, λυερή, ᾽ς τοῦ δράκου τὸ πηγάδιν,
τοῦ δράκοντος τοῦ πονηροῦ, ποὺ θέλει νὰ σὲ φάῃ;»
«Ἔτσι ἦτουν τῆς τύχης μου, ἔτσ᾽ ἦτουν τὸ γραφτόν μου
μέ᾽ ᾽ς τὴν κοιλιὰν τοῦ δράκοντα νὰ κάμω τὸ θαφκειόν μου.»
Ὁ Ἅγιος ἐγύρισεν, ᾽κατέβην ᾽ποὺ τ᾽ ἀππάριν
καὶ τῆς τὸ ἐπαράδωσεν καὶ ᾽ποὺ τὸ χαλινάριν.
«Ταύρα το, κόρη, ταύρα το τ᾽ ἀππάριν νὰ ποδρώσῃ
κι, ἅμαν ἰδῇς τὸν δράκονταν, ἐμέναν κάμε γνῶσιν.»
Καὶ κειὰ χαμαὶ ὁ Ἅγιος ἔππεσεν κι ἐκοιμήθην,
καὶ νάσου καὶ τὸν δράκονταν, τοῦ ὄρου κατεβαίννει.
Ποὺ τὸν θωρεῖ ἡ λυερή, κατὰ πολλὰ ᾽φοήθην
᾽ποὺ πανωθκιὸν τ᾽ Ἅη Γιωργοῦ, γιὰ νὰ τὸν ἠξυπνίσῃ:
«Σήκου, σήκου, ἀφέντη μου, κι ᾽ ἐν ἄδικον καὶ κρῖμαν,
μέ᾽ ᾽ς τὴν κοιλιὰν τοῦ δράκοντα νὰ κάμωμεν τὸ μνῆμαν.»
«Μπούκκωμαν τρῶμεν ἄνθρωπον, τὸ γιόμαν τὴν κοπέλλαν
καὶ τέλεια κατὰ τὰ δειλινὰ ἅππαρον μὲ τὴν σέλλαν.»
«Μπούκκωμαν τρώεις χαγγιαρκάν, τὸ γιόμαν τ᾽ ἀλυσίδιν
κι ὡς τὰ ἡλιοβουττήματα ἐννὰ γινῇς παιγνίδιν.»
Ἀντὰν ἀκούῃ ὁ δράκοντας, πολλὰ τοῦ ᾽κακοφάνην:
«Τίνος παιδὶν εἶσαι ἐσὺ καὶ σκλεροσυντυχάννεις!»
«Εἶμαι τῆς ἀστραπῆς παιδὶν καὶ τῆς βροντῆς ἀγγόνιν
καὶ τῆς χαμηλοπουμπούρισης δισάγγονον κι ἀγγόνιν!
Τώρα ᾽στράφτω καὶ κρούζω σε, τώρα βροντῶ καὶ λειῶ σε
καὶ τώρα χαμηλοπουμπουρῶ, χαμαὶ ᾽ς τὴν γῆν σκορπῶ σε.»
Κι ἐτραύησεν ὁ Ἅγιος τὸν δρόμον του νὰ πάῃ,
᾽γονάτισεν κι ὁ δράκοντας ὀμπρός τους νὰ τοὺς φάῃ.
Μιὰν χαγγιαρκὰν τοῦ ᾽χάμνησεν τοῦ δράκου μέ᾽ ᾽ς τὸ στόμαν,
ξαναδιπλάζει τ᾽ ἄλλη μιὰν καὶ θάμματα ᾽μολόαν.
«Τάνα, κόρη, ᾽ς τὸ δισακκούδιν μου καὶ φέρ᾽ μου τ᾽ ἀλυσίδιν,
τωρὰ νὰ χαλινώσωμεν δικέφαλον τὸ φίδιν.»

*Τανᾷ ᾽ς τὸ δισακκούδιν του καὶ δκιᾷ του τ᾽ ἁλυσίδιν,*
*ἔπιαν καὶ ἐχαλίνωσεν δικέφαλον τὸ φίδιν.*
*«Ταύρα τον, κόρη, ταύρα τον ᾽ς τὸν στῦλλον τοῦ κυροῦ σου,*
*νὰ δοῦσιν Τοῦρκοι και Ῥωμιοὶ κι οὖλλοι νὰ πιστευτοῦσιν.»*
*Πάνω σὲ κείνην τὴν στιγμήν, πάνω σὲ κεὶν τὴν ὥραν,*
*ὅσον κι ἐκοντοφτάσασιν τέλεια κοντὰ ᾽ς τὴν χώραν,*
*μιὰν μουγγαρκὰν ἐχάμνησεν κι ἡ γῆ χαμαὶ ἐσείστην*
*καὶ τὸ θρονὶν τοῦ βασιλιᾶ ἔππεσεν κι ἐτσακκίστην.*
*Ὅσοι τὸν ἐμισούσασιν λαλοῦν του πῶς συμβαίννει,*
*«ἔρκεται ἡ κόρη σου τὸν δράκονταν καὶ φέρνει,*
*νὰ φάῃ τὴν βασίλισσαν κι ἐσὲν τὸν βασιλέαν*
*καὶ ὅλους σου τοὺς μισταρκούς, ποὺ βρίσκουνται σ᾽ ἐσέναν.»*
*Μὰ ὅσοι τὴν ἐμάθασιν ἐτούτην τὴν αἰτίαν,*
*τοῦ εἴπασιν καταλεπτῶς ὅλην τὴν ἱστορίαν:*
*« Καὶ μὲν φοᾶσαι, βασιλιᾶ, κι εἶναι χαλινωμένος,*
*τώρα νὰ δῇς τὸν δράκονταν ᾽ς τὸν στῦλλόν σου δημμένον.»*
*«Ποιὸς ἒν ποὺ μό ᾽καμεν ἐμέναν τοὺν τὴν χάριν,*
*κι ἐγλύτωσεν τὴν κόρην μου ᾽ποὺ τοῦτον τὸ λιοντάριν;*
*Διῶ του καὶ τὰ πλούτη μου, καὶ τὸ βασίλειόν μου,*
*διῶ του καὶ τὴν κόρην μου καὶ κάμνω τον γαμπρόν μου·*
*νὰ τοῦ δουλεύκω μισταρκὸς νύκταν μὲ τὴν ἡμέραν*
*ἐγὼ μὲ τὴν βασίλισσαν καὶ μιάν μου θυγατέραν.»*
*«Ἒν θέλω μὲ τὰ πλούτη σου, μὲ τὸ βασίλειόν σου,*
*᾽ἐν θέλω μὲ τὴν κόρην σου, μὲ νὰ γινῶ γαμπρός σου,*
*μόνον ἐκεῖ, ποὺ ἔγινεν τὸ θάμμαν τοῦ Ἁγίου,*
*νὰ κάμῃς μίαν ἐκκληχιὰν τοῦ μέγα Γεωργίου·*
*οἱ τοῖχοι νά ᾽ν ὁλόχρυσοι κι οἱ πόρτες νά ᾽ν λοβάριν,*
*νὰ γείρουσιν καὶ τὸν κουππὲν μὲ τὸ μαρκαριτάριν·*
*καὶ μὲ τ᾽ ἁμάξια τὸ κερὶν καὶ μὲ τ᾽ ἀγχιὰ τὸ λάδιν*
*καὶ μὲ τὰ βορτωνόμουλα νὰ παίρνουν τὸ λιβάνιν.»*

*Ἐκεῖ ἐσωρευτήκασιν δέκα ὀκτὼ χιλιάδες,*
*ἐκεῖ ἐβαφτιστήκασιν παιδκιὰ μὲ τὲς μανάδες,*
*κι ἐκτίσαν μίαν ἐκκληχιὰν μὲ δώδεκα καμάρες*
*κι ἀντὶς νερὸν ῥοδόστεμμαν κι ἀντὶς πηλὸν ἀσήμιν,*
*τέλεια ᾽ποὺ πά᾽ ᾽ς τὴν κορυφὴν χρυσὸν μαλαματίνιν.*
*Καὶ κεῖνος ποὺ μοῦ τό ᾽μαθεν σὰν ποιητὴς λογᾶται*
*κείνου πρέπει μακάρισι κι ἐμέναν τ᾽ ὡς πολλά ᾽τε.*
*Ζωὴν καὶ χρόνια νά ᾽χετε ὅσοι κι ἂν τ᾽ ἀγροικᾶτε,*
*Κι, ἂν ἔχετε γλυκὸν κρασίν, πρέπει νὰ μᾶς κερνᾶτε.»*

Ἆσμα τοῦ Ἁγίου Γεωργίου, ἀντλῶν ἐκ τοῦ Ἰακώβου ντὲ Βοράγγινε, συνέθεσε καὶ ὁ Κύπριος Ἀντώνιος τοῦ Δαρκές, ἐκδοθὲν ἐν Ἑνετίᾳ, ὡς ἀκολούθως:

*Προσκυνητάριον τῶν Ἱεροσολύμων, ἤγουν διήγησις εὐμορφοτάτη εἰς ἐκείνους ὁποὺ ἐπιθυμοῦν νὰ ἀκούσουν διὰ τὰ Ἱεροσόλυμα, καὶ ὅστις ἐπιθυμᾷ ἂς ὑπάγῃ νὰ ἰδῇ, καὶ μὲ τοῦτο τὸ βίβλιον ἠμπορεῖ νὰ τὸ ἔχῃ εἰς ὅ,τι θέλει χρειαστῇ νὰ ἰδῇ εἰς κείνους τοὺς τόπους, ποιηθὲν παρὰ Ἀντωνίου τοῦ Δαρκὲς ἐκ τῆς περιφήμου νήσου Κύπρου, Ἑνετίησιν, παρὰ Ἰωάννῃ Ἀντωνίῳ τῷ Ἰουλιανῷ ,αχμε΄.*

Τὸ ᾆσμα τρέχει οὕτω:

*«Μίαν φορὰν ἐβάλθηκα νὰ πά᾽ νὰ προσκυνήσω*
*τὸν ζωοδόχον τοῦ Χριστοῦ τάφον, νὰ τὸν ὑμνήσω·*
*ἀπὸ καιρὸν τ᾽ ἐννοιάζουμουν καὶ πάντα ἐπεθύμουν,*
*ἐμπόδιζέν με ὁ ἐχθρὸς κι ἡ ἔννοια ἡ δική μου.*
*Τότες ἀφῆκα τὲς δουλειὲς ὁπού ᾽χα καὶ τὰ βάρη,*
*ὡς εἶναι εἰς τὴν θάλασσαν ἐλεύθερον τὸ ψάρι.*
*Εἶπα, «Θεέ, βοήθα μου ᾽ς τοῦτον ποὺ θεν᾽ ἀρχέψω,*
*μηδὲν μοῦ ἔλθῃ ἐμπόδιο, τίποτες δὲν μισσέψω.»*

Ἐβγῆκα ἀπὸ τὸ σπίτι μου τὴν πρώτην ἐβδομάδαν,
Δευτέρα ἦτον τῆς Καθαρᾶς, ἐκείνην τὴν δμάδαν.
Ἐπιάστην ᾽ς τὴν Ἀμμόχωστο ᾽ς τὴν ὅποια ἦτον τό διάβι,
βγάνω ὁρισμὸν ἀφ᾽ τὸν πασιᾶ καὶ μπαίνω ᾽ς τὸ καράβι.
Ἐπέρασά την λοιπονὶν μὲ μιὰν χαρὰν μεγάλη,
ἀλήθεια εἰς τὴν θάλασσαν ἦλθέ μου ὀλίγη ζάλη·
ἔκαμα μέρες τέσσαρες γοιὸν νά ᾽χα πά᾽ ᾽ς τὸν τάφον,
ζάλες δυὸ ἐπερπάτησα τῆς γῆς ὡς μέσ᾽ ᾽ς τὸν τάφον.
Τὸ λοιπονὶν εἰς δυὸ ἡμέρες ῥάσσομεν ᾽ς τὸ Βερούτι,
Θαῤῥῶντας νά ᾽βρωμεν ψωμὶ ᾽ς ἐκεῖνο τὸ χανούτι.
Μὰ κεῖ ἦτον ἀκρίβεια, δὲν τὸ λαλῶ ἐν φάλλῳ,
πού ᾽τον νὰ φᾶν ᾽ς τὴν πεῖνά τους ἀνθρῶποι ἕνας τὸν ἄλλο.
Εἶπάν μας, ἐδιαβάσασιν ἕνα μέγα κανόνα,
᾽πειδὴ φαγὶ δὲν εἴχασι νὰ φᾶσι τὸν χειμῶνα.
Καὶ τὸ ψωμὶ ἐχάθηκεν, μεγάλη ἀκριβεία,
᾽στανιό τους τότε ᾽κάμασι πολλότατη νηστεία.
Ἐρώτησα τοὺς χριστιανοὺς πῶς πᾶν εἰς τὰ μαντᾶτα,
ἔχουσιν εἰς τὸν τόπον τους ἀπάνω τὰ ῥηγᾶτα;
Εἶπάν μου τὸ πῶς εἴχασιν μίαν κακὴν συνήθεια,
εἰς τὸν καιρὸν τὸν παλαιόν, ὡσὰν τὰ παραμύθια:
Μέσ᾽ ᾽ς τὸ νερόν, πὸ ᾽πίνασι, ἔξω μακρὰ ᾽ς τὸ πλάτος,
ἐκεῖ μέσα ᾽κατοίκιζεν καὶ ἔστεκεν ἕνας δράκος·
καὶ πᾶσαν μέραν ἤθελεν ἕνα παιδὶ νὰ φάγῃ,
διὰ ν᾽ ἀφήσῃ πᾶσα ἄνθρωπον εἰς τὸ νερὸ νὰ πάγῃ,
διατὶ ἄλλο δὲν εἴχασιν ᾽ς τὸν τόπον τους νὰ πιοῦσι,
καὶ ἡ χώρα ὅλη ἀπὸ κεῖ εἶχαν νὰ δουλευτοῦσι.
Ὅρκον εἶχαν ᾽ς τὴν μέσην τους νὰ ᾽ρχεται ἡ φορά του,
καὶ πᾶσα μέρα κάθε εἷς νὰ πέμπῃ τὰ δικά του.
Καὶ ἀφὸν ὅλοι ἐδώκασιν, δὲν ἔκαμε ἀλλέως,
ἦρτε ἡ γύρα τοῦ ἀφέντη τους, ὁποὺ εἶχαν, βασιλέως·

εἶχεν θυγάτηρ μοναχή, πού ᾿θε νὰ τὴν παντρέψη,
καὶ ἀλλέως δὲν ἐγίνονταν παρὰ νὰ τοῦ τὴν πέψη
τοῦ δράκου ἐκείνου τοῦ κακοῦ, ποὺ εὑρίσκετον γοιὸν μάγος,
δαίμονας, ἀμμὴ ἐφαίνετον πῶς εἶναι ἀνθρωποφάγος.
Ἄπιστος ἦτον ὁ λαὸς εἰς τὸν καιρὸν ἐκεῖνον,
ποὺ ᾿προσκυνοῦσαν εἴδωλα ᾿ς τὴν τάξιν τῶν Ἑλλήνων.
᾿Στανιὸ καὶ μὲ τὸ θέλημα καὶ κεῖνος ἐσπληνίστη,
καὶ ἔπεψεν τὴν κόρην του τοῦ τράγου διὰ κανίσκι·
τὸ λοιπονὶν ὁ βασιλιᾶς ἴζου, ὡς γοιὸν ἐθώρειεν
ἐκάμασι ὅλοι, ἀλλιῶς νὰ ποίση δὲν ἠμπόρειεν.
«Καὶ ἄμε νὰ ὑπᾷς, μηδὲν χάσῃς σήμερον τὴν ζωήν σου,
εἶσαι παιδὶν κι εἶναι ζημιὰ καὶ κρῖμα εἰς αὐτήν σου.»
Εἶχαν τόπον καὶ ἐβάλα το αὐτὸ τὸ κορασάκι
γι᾿ ἄλλον, ὁποὺ νὰ ἔλαχε, νέον παλληκαράκι·
πάνω ψηλὰ κι ἐστῆσάν το πλατιὰ εἰς ἕνα δόμο,
νὰ τὸ θωροῦν ὅσοι διαβοῦν ἀνθρῶποι ἀπὸ τὸν δρόμο.
Λοιπὸν τότες ἐδιάβαινε εἷς στρατηγὸς μὲ βία,
ὀνόματι Γεώργιος, ὀκ τὴν Καππαδοκία,
πεμπάμενος μὲ τὰ χαρτιὰ νὰ πάγῃ ᾿ς ἄλλον κάστρον,
κι ἐκαβαλλίκευε ἄλογον, ἕναν ἀππάρι ἄσπρον.
Θεωρεῖ τὴν κόρην μοναχή, σὰν τὴ χαμπιλασμένη,
μὲ ῥοῦχα χρυσοῤῥάντιστα, βασιλικὰ ντυμένη.
Φθάνει κοντὰ εἰς τὴν παίδαινα, ἐρωτᾷ την πόθεν ἔνι
καὶ διατί στέκει ἐκεῖ χαμαὶ καὶ τί ᾿ν τόσο θλιμμένη.
Καὶ ἀπηλογήθη καὶ εἶπέ του τοῦ ῥήγα ἡ θυγατέρα:
«᾿Επέμψα με ἀκ τὸ σπίτι μου τὴν σήμερον ἡμέρα·
κανίσκι εἶμαι τοῦ δράκοντα, γιὰ νὰ μὲ φά᾿ τὴν ξένη,
ἐτοῦτο ἔχει ἡ χώρα μας καὶ εἶναι συνηθισμένη.
᾿Εγὼ στέκομαι τώρα ἐδῶ, γιὰ νά ᾿βγῃ καὶ νὰ πάγῃ,
νά ᾿ρτῃ νὰ μὲ εὕρῃ μοναχή, νὰ πιάσῃ νὰ μὲ φάγῃ.»

*Καὶ ἐπῆράν τη τά κλάματα, πολλά ̓παραπονήθη:*
*«Πατέρα, μῆτερ!» ἔκραξε, γι̕ αὐτὸ τὴν ἐλυπήθη.*
*Ὅσον ̓γροικᾷς, ἀπέζευσεν παραῦθα ἀπ̕ τὸ ἀλογάρι*
*καὶ εἶπεν τῆς κόρης, «κράτει το ἀπὸ τὸ χαλινάρι.»*
*Καὶ ἀπὸ τὸν κόπον ἔκατσε ὀλίγον ν̕ ἀναπαύση,*
*ἀκαρτερῶντας νὰ ἰδῇ τὸν δράκοντα νὰ φθάση.*
*«Κάμε μου λόγον νὰ τὸν δῶ, νὰ σηκωθῶ ὀμπροστά του,*
*καὶ πεθυμῶ ν̕ ἀνταμωθῶ τὴν σήμερον μετά του.»*
*Ὀλίγον ἐκοιμήθηκε, καὶ ἡ κόρη μοιρολογᾷ τον·*
*θωρεῖ τὸν δράκον καὶ ἔρχετον, καὶ πάγει καὶ ξυπνᾷ τον.*
*Ἐθάῤῥειε καὶ ἔλεγε, πῶς μέλλει τὴν γλυτώσει,*
*καὶ ὀκ τοῦ θεριοῦ τὰ δόντια νὰ τὴν ἐλευθερώση,*
*ἀμμὴ νὰ πάγη ἀπ̕ ἐκεῖ, νὰ φύγη τὴν φουρτοῦνα·*
*λέγει του, «ἀπάνου ὀγλήγορα καὶ κάμε τὴν κουροῦνα.»*
*Ἐκείνη ἐστάθη καὶ ἔτρεξε νὰ φύγη καὶ νὰ σώση*
*ἐκεῖ, ποὺ ἔχει νὰ διαβῇ, ἂν θέλη νὰ γλυτώση:*
*«Διότι χάνεσαι καὶ ἐσὺ σήμερον, καὶ εἶναι κρῖμα*
*τὴν ὥραν τούτην νὰ γενῇ εἰς τὴν οἰκιάν του μνῆμαν!»*
*Σηκώνεται καὶ παραυθὺς ἐπιάσε τὸ κοντάρι*
*κι ἔτζι ἐκαβαλλίκεψε ἀπάνω εἰς τὸ ἀλογάρι,*
*καὶ ἔτρεξε καταπάνω του καὶ κάνει τὸν σταυρόν του*
*καὶ τὸ θηρίον εἶδέ τον, καὶ τρέχει εἰς αὐτόν του.*
*Καὶ ἀφόντις ἐπιαστήκασιν, εὑρέθη χασκισμένο,*
*θαῤῥῶντας νὰ τὸν καταπιῇ, καὶ ἦτον ἁρματωμένο.*
*Ὁ στρατιώτης τοῦ κτυπᾷ μιὰ κονταριὰ ̓ς τὸ στόμα,*
*ἔπεσεν καὶ ἐγκάριζεν, ὡσὰν νεκρὸς ̓ς τὸ χῶμα.*
*Ἐκεῖνο ἦτον τὸ δυνατὸ θεργιό, ὁποὺ ̓το ἀγριωμένο;*
*Ἐκεῖ χαμαὶ εὑρέθηκε ̓ς τὴν ὥραν νεκρωμένο!*
*Πιάνει κεῖ ἀπὸ τ̕ ἄλογον μοναῦτα τὸ ἁλυσσίδιν*
*καὶ δένει το ἀπὸ τὸ λαιμό, κινῶντάς το διὰ φίδιν.*

*Ἔδωκέν το τῆς παίδουλας καὶ σύρνει το τὴν ὥραν*
*καὶ εἶπέν της, «ἄμε, ἔπαρ᾿ το εἰς τὸν λαόν, ᾿ς τὴν χώραν.»*
*Καὶ ἔτζι ὀλίγον ἀπὸ κεῖ ἐφθάνει τὸ μαντᾶτο*
*τὸ πῶς ἡ κόρη τοῦ ῥηγὸς φέρνει τὸν δράκον κάτω.*
*Ἐβγήκασι εἰς συνάντησιν ὅλοι, μικροὶ μεγάλοι,*
*καὶ ἔμαθον τὴν ὑπόθεσιν ἀπὸ τὸ παλληκάρι,*
*τὸ πῶς τὸν ἐκοντάρευσεν ἀτός του μὲ κοντάρι,*
*ποὺ δὲν ἦτον μὲ συντροφιά, μὰ εἶχεν μεγάλη χάρι.*
*Καὶ ὁ πατέρας καὶ ἡ μάνα της ὑπᾶνε καὶ θωροῦσι*
*πῶς εἶν᾿ τὸ πρᾶγμα ἀληθινόν· χαράν, ὁποὺ κινοῦσι!*
*Μὰ δὲν ἠξεῦραν τί ἦτον τοῦ στρατιώτου νὰ πέμψουν*
*καὶ τί διὰ νὰ τοῦ δώσουνε καὶ νὰ τὸν κανισκέψουν.*
*Πάγει καὶ δίδει παραυθὺς ὁ ῥῆγας τ᾿ ἀνοιχτάρια,*
*καὶ δίδει τα τοῦ στρατηγοῦ μ᾿ ὅλα τὰ παλληκάρια,*
*κι εἶπέν του: «Ἀπὸ τὴν σήμερον ἡ χώρα νὰ εἶν᾿ δική σου,*
*καὶ ἔχε τα δι᾿ ἀγάπη μου, νὰ ζήσῃ ἡ κεφαλή σου.*
*Ἐσέναν πρέπει ἀπὸ τώρα, μὰ τὸν θεὸν τὸν Δία,*
*νὰ ῥίζῃς εἰς τὸν τόπον μου τούτην τὴν βασιλεία,*
*κι ἐγὼ καὶ ἡ γυναῖκά μου καὶ μιά μας θυγατέρα*
*σκλάβοι νὰ σὲ δουλεύωμεν νύκτα καὶ τὴν ἡμέρα.»*
*Λέγει καὶ ὁ Γεώργιος: «Ἐγὼ δὲν θέλω στᾶτο,*
*ἀπὸ αὐτό, ὁποὺ μοῦ λές, νὰ πάρω τὸ ῥηγᾶτο.*
*Ἄμε, ἂν θὲς νὰ βαπτιστῇς, νὰ πιάσῃς τὸν σταυρόν μου,*
*τὴν στρᾶταν τὴν ἀληθινήν, πίστεψε τὸν Χριστόν μου,*
*διατὶ ἐκείνη μοῦ ἀβοήθησεν σήμερον μὲ παντιέρα,*
*κι ἐγλύτωσα τὴν κόρη σου ὀκ τοῦ δράκου τὰ χέρια.*
*Καὶ δέ, ποὺ σοῦ τὴν ἤφερα ἐδῶ μὲ τὴν εἰρήνη*
*καὶ ὁ Θεός, ὁποὺ τὴν ἔπλασεν, ἐσένα τὴν ἐδίνει.»*
*Εἰς ὅλα αὐτὰ ἐβαπτίστηκε κεῖνος καὶ ἡ φαμελιά του*
*καὶ ἔγιναν χριστιανοὶ ὅλα τὰ πατρικά του.*

www.tezaurliturgic.ro

*Ἐκεῖ κοντά, ὁποὺ ἔγινε τὸ θαῦμα τοῦ Ἁγίου,*
*ἐκτίσασι μιὰν ἐκκλησιὰ τοῦ μέγα Γεωργίου.*
*Ἀφόντις ἐμαρτύρησεν καὶ ἔβγηκεν ἡ φάμα,*
*μὲ πόθον καὶ εὐλάβειαν παραῦθα τὴν ἐκάμα·*
*καὶ εἶναι ἕως τὴν σήμερον, τὴν εἶδα ἀπατός μου,*
*ἐμπῆκα κι ἐπροσκύνησα, δὲν ἤμουν μοναχός μου.*
*Πολλὰ παλιὰ εὑρίσκετον, δὲν εἶχε μέσα ᾿χράδια*
*μηδὲ εἰκόνες τῶν Ἁγιῶν, νὰ φαίνωνται σημάδια,*
*διατὶ οἱ Τοῦρκοι δὲν θέλουσιν νά ᾿χουν ᾿ς αὐτοὺς τοὺς τόπους*
*κριτάρια καὶ ἐκκλησιὲς καὶ αὐτοὺς τοὺς ἐπισκόπους.*
*Κεριὰ ἀνάπτουσι ἐκεῖ καὶ λάδι πᾶσα ἡμέρα*
*οἱ ναῦτες, ποὺ διαβαίνουσι καὶ πᾶσι ἐκεῖ πέρα.*
*Λέγουν τους τὴν ὑπόθεσιν οἱ χριστιανοὶ τοῦ τόπου,*
*ἔχουν πολλὴ εὐλάβεια ν᾿ ἀκούσουν τέτοιου τρόπου.»*

Ἀναχωρῶν ἐκ Κυρήνης πρὸς τὸ μαρτύριον ὁ Ἅγιος Γεώργιος, συνήντησε καθ᾿ ὁδὸν τὸν δαίμονα, μεταμορφωθέντα εἰς γέροντα, θέλοντα, ὅπως πλανήσῃ τοῦτον. Ὁ Ἅγιος Γεώργιος ἀντελήφθη τοῦτον καὶ σχίσας βράχον, ἐνέκλεισεν αὐτόν. Ἡ συνάντησις αὕτη ἀνήκει τῇ προετοιμασίᾳ τοῦ μαρτυρίου.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, ὁ Ἅγιος Γεώργιος ἐπαναφέρει ἐκ τῆς αἰχμαλωσίας νεανίαν Παφλαγόνα πρὸς τοὺς γονεῖς αὐτοῦ.

Καιρῷ ποτε ὁ Λέων καὶ ἡ Θεοφανὼ μετὰ τοῦ υἱοῦ αὐτῶν Γεωργίου ἐν Ἀμάστριδι τῆς Παφλαγονίας ἐτέλουν κατ᾿ ἔτος τὴν μνήμην τοῦ Ἁγίου Γεωργίου ἐν τῷ αὐτόθι ναῷ αὐτοῦ. Κατ᾿ ἐκεῖνον τὸν καιρὸν ὁ αὐτοκράτωρ Φωκᾶς, πολεμῶν κατὰ τῶν ἐξεγερθέντων Βουλγάρων, ἐξέδωσε διάταγμα στρατολογίας. Οἱ γονεῖς, ἐμπιστευθέντες τὴν ἀσφάλειαν τοῦ υἱοῦ Γεωργίου τῷ Ἁγίῳ Γεωργίῳ, ἀπέστειλαν αὐτὸν εἰς τὸν πόλεμον. Οἱ Βούλγαροι, καιροφυλακτήσαντες, περιεκύκλωσαν τὸν στρατὸν τοῦ

αὐτοκράτορος καὶ συνέτριψαν αὐτόν. Ὁ Γεώργιος, συλληφθεὶς αἰχμάλωτος, παρεδόθη τῷ ἀρχηγῷ τὸν Βουλγάρων, ὅστις, ἐκτιμήσας αὐτόν, ἔλυσε τῶν δεσμῶν, ἵνα ὑπηρετῇ αὐτόν.

Οἱ γονεῖς τοῦ Γεωργίου ἐν Ἀμάστριδι ἐθρήνουν, ἀγνοοῦντες τὴν τύχην τοῦ υἱοῦ αὐτῶν, ἂν ζῇ ἢ ἐφονεύθη. Ἀλλ᾽ ἐτέλεσαν τὴν ἑορτὴν τοῦ Ἁγίου Γεωργίου καὶ κατὰ τὸ ἔτος ἐκεῖνο. Μετὰ τὸν ἑσπερινὸν ὁ πατὴρ ἐκάλεσε τοὺς παρευρεθέντας οἴκοι, ἵνα περιποιηθῇ αὐτούς. Ἡ μήτηρ παρέμεινεν εἰσέτι ἐν τῷ ναῷ, ἱκετεύουσα τὸν Ἅγιον Γεώργιον ὑπὲρ τοῦ υἱοῦ αὐτῆς. Ἀλλὰ καὶ ὁ αἰχμάλωτος Γεώργιος ἐν Βουλγαρίᾳ ἐμέμνητο τῆς ἑορτῆς τοῦ Ἁγίου Γεωργίου καὶ παρεκάλει τοῦτον ὑπὲρ ἐλευθερώσεως αὐτοῦ.

Παρακαλῶν ὁ Γεώργιος, ἐθέρμαινεν ἅμα τὸ ὕδωρ, ἵνα νιφθῇ ὁ κύριος αὐτοῦ πρὸ τοῦ δείπνου αὐτοῦ. Ἀνήρχετο ὁ Γεώργιος τὴν κλίμακα, κρατῶν τὸ δοχεῖον τοῦ χλιαροῦ ὕδατος, ὅτε ἐνεφανίσθη ἔμπροσθεν αὐτοῦ ὁ Ἅγιος Γεώργιος, ἱππεύων ἵππον λευκόν. Ἀνῆλθεν εἰς τὰ ὄπισθεν τοῦ ἵππου καὶ αὐθωρεὶ εὑρέθη εἰς τὸν οἶκον αὐτοῦ μεταξὺ τῶν συνδαιτυμόνων, κρατῶν εἰσέτι τὸ δοχεῖον μετὰ τοῦ χλιαροῦ ὕδατος. Μετὰ τὴν ἔκπληξιν ἐκ τοῦ θαύματος, πλήρεις χαρᾶς, μετέβησαν πάντες μετὰ τοῦ ἐλευθερωθέντος Γεωργίου εἰς τὸν ναὸν τοῦ Ἁγίου Γεωργίου καὶ ἐτέλεσαν ὁλονυκτίαν, εὐχαριστοῦντες τῷ Θεῷ καὶ τῷ Ἁγίῳ Αὐτοῦ Γεωργίῳ.

Ἡ ὑπερφυὴς μεταφορὰ τοῦ Παφλαγόνος νεανίου ἐπαναλαμβάνει τὴν μεταφορὰν τοῦ προφήτου Ἀββακοὺμ ὑπὸ ἀγγέλου εἰς Βαβυλῶνα:

*«Καὶ ἦν Ἀμβακοὺμ ὁ προφήτης ἐν τῇ Ἰουδαίᾳ, καὶ αὐτὸς ἥψησεν ἕψεμα καὶ ἐνέθρυψεν ἄρτους εἰς σκάφην καὶ ἐπορεύετο εἰς τὸ πεδίον ἀπενέγκαι τοῖς θερισταῖς.*

*καὶ εἶπεν ὁ ἄγγελος Κυρίου Ἀμβακούμ· ἀπένεγκε τὸ ἄρι-*

*στον, ὃ ἔχεις, εἰς Βαβυλῶνα τῷ Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων.*

*καὶ εἶπεν Ἀμβακούμ· Κύριε, Βαβυλῶνα οὐχ ἑώρακα καὶ τὸν λάκκον οὐ γινώσκω.*

*καὶ ἐπελάβετο ὁ ἄγγελος Κυρίου τῆς κορυφῆς αὐτοῦ καὶ βαστάσας τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ ἔθηκεν αὐτὸν εἰς Βαβυλῶνα ἐπάνω τοῦ λάκκου ἐν τῷ ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ.*

*καὶ ἐβόησεν Ἀμβακοὺμ λέγων· Δανιὴλ Δανιήλ, λαβὲ τὸ ἄριστον, ὃ ἀπέστειλέ σοι ὁ Θεός.*

*καὶ εἶπε Δανιήλ· ἐμνήσθης γάρ μου, ὁ Θεός, καὶ οὐκ ἀγκατέλιπες τοὺς ἀγαπῶντάς σε.*

*καὶ ἀναστὰς Δανιὴλ ἔφαγεν· ὁ δὲ ἄγγελος τοῦ Θεοῦ ἀποκατέστησε τὸν Ἀμβακοὺμ παραχρῆμα εἰς τὸν τόπον αὐτοῦ»* (Δα 33-39).

Ὅμοιον θαῦμα ἐτέλεσαν καὶ οἱ τρεῖς Μάρτυρες Γουρίας, Σαμωνᾶς καὶ Ἄβιβος, ἐλευθερώσαντες τὴν αἰχμάλωτον Εὐφημίαν. Αὕτη, καταγομένη ἐξ Ἐδέσσης τῆς Συρίας, ἐδόθη ὡς σύζυγος βαρβάρῳ τινὶ Γότθῳ, ὅστις ὡδήγησεν αὐτὴν εἰς τὸν τόπον αὐτοῦ καὶ ἐβασάνιζε. Ἔθαψεν αὐτὴν καὶ ζῶσαν. Οἱ τρεῖς Μάρτυρες, θαυματουργοῦντες, ἥρπασαν αὐτὴν ἐκ τοῦ τάφου, ἤνεγκον εἰς τὸν ναὸν αὐτῶν καὶ ἀπέδωσαν ζῶσαν τῇ μητρί.

Ἡ παράστασις ἐπὶ τῶν νώτων τοῦ ἵππου τοῦ Ἁγίου Γεωργίου, ἀναιροῦντος τὸν δράκοντα, τοῦ Παφλαγόνος νεανίου, κρατοῦντος τὸ δοχεῖον τοῦ ὕδατος, ἢ τῆς ἐντρόμου βασιλόπαιδος, ἐκτεθείσης πρὸς βοράν, τὴν σωτηρίαν τῶν ψυχῶν σημαίνει. Ὁ Ἅγιος Γεώργιος, ὁ ἐπίγειος στρατηλάτης, ἐνεργῶν ὡς ὁ οὐράνιος Ταξιάρχης Μιχαήλ, σῴζει ψυχάς, ἐλευθερῶν αὐτὰς ἐκ τῆς αἰχμαλωσίας καὶ ὁδηγῶν εἰς τὸν Παράδεισον.

www.tezaurliturgic.ro

Ὡς ψυχοπομπῷ, πλεῖστοι κοιμητηριακοὶ ναοὶ εἶναι ἀφιερωμένοι αὐτῷ. Κατὰ μίμησιν τῆς Ἑνετίας, ἧς τὸ κοιμητήριον εὑρίσκεται ἐπὶ νήσου, ἐν τῷ Αἰγαίῳ τὰ κοιμητήρια τῶν νήσων ἱδρύοντο ἐπὶ ἀκατοικήτων νησίδων. Ἐν αὐταῖς ἱδρύοντο προστατευτικὰ ναΐδια τοῦ Ἁγίου Γεωργίου.

Ὁ Ἅγιος Γεώργιος, ὡς ῥυόμενος τοὺς παῖδας, καθίσταται προστάτης καὶ τῶν φυσικῶν παιδίων, καλουμένων ὑπὸ τῶν Φράγκων *πουλλίων* ἢ καθ᾿ ἑλληνικὴν ἀπόδοσιν *ὀρνιθίων*. Εἶναι ὁ Ἅγιος Γεώργιος τῶν Ὀρνιθίων, ὡς καλεῖται καὶ ἐγκαταλελειμμένον χωρίον τῆς φραγκοκρατίας ἐν Κύπρῳ.

Ὁ ἐλευθερωτὴς Ἅγιος Γεώργιος ὑπεμφαίνεται καὶ ἐν τῇ ἐπαναφορᾷ τῆς Ἀρετῆς, ὑπανδρευθείσης ἐν ξένῳ τόπῳ, πρὸς τὴν μητέρα αὐτῆς οἴκαδε ὑπὸ τοῦ νεκροῦ ἀδελφοῦ αὐτῆς Κωνσταντίνου, ἐγερθέντος ἐκ τοῦ τάφου αὐτοῦ.

Γυνή τις χήρα εἶχεν ὡραίαν θυγατέρα, καλουμένην Ἀρετήν, ὡς ἐκαλοῦντο αἱ ὡραῖαι ἐν τῷ Βυζαντίῳ, καὶ ἐννέα ἀδελφούς, ὧν μνημονεύεται ὀνομαστὶ μόνον ὁ Κωνσταντῖνος. Προσέρχονται προξενηταὶ ἐκ ξένης χώρας, ἐντοπιζομένης ὡς Βαβυλῶνος, ὡς ἐκαλεῖτο ἡ Αἴγυπτος, ζητοῦντες τὴν Ἀρετὴν ἐκ μέρους ἀγνώστου γαμβροῦ. Ἡ μήτηρ καὶ οἱ ὀκτὼ ἀδελφοὶ ἀρνοῦνται, ἀλλ᾿ ὁ Κωνσταντῖνος δέχεται, κάμπτων τὰς ἐνστάσεις τῆς μητρός· ὑπισχνεῖται ὅτι ἐν περιπτώσει θλιβεροῦ ἢ χαρμοσύνου γεγονότος θὰ ἐπαναφέρῃ αὐτήν. Δικαιολογεῖ τὴν θέσιν αὐτοῦ ὅτι θὰ ἔχῃ ἴδιον αὐτοῦ ἄνθρωπον ἐν ταῖς χώραις, ἐν αἷς περιπλανᾶται. Ἐνσκηψάσης ἐπιδημίας, ἀποθνήσκουσι πάντες οἱ ἀδελφοί, καὶ ὁ Κωνσταντῖνος. Θρηνοῦσα ἡ μήτηρ, ζητεῖ παρὰ τοῦ νεκροῦ πλέον Κωνσταντίνου τὴν ἐκπλήρωσιν τῆς ὑποσχέσεως αὐτοῦ. Ὁμοίως ἡ μήτηρ τοῦ αἰχμαλώτου Γεωργίου, προσκαρτεροῦσα, παρακαλεῖ τὸν Ἅγιον Γεώργιον ὑπὲρ τῆς ἀπελευθερώσεως αὐτοῦ.

Ὁ Κωνσταντῖνος ἐγείρεται ἔφιππος καὶ νύκτωρ μεταβαίνει εἰς τὴν Ἀρετήν. Εὑρίσκει αὐτὴν μόνην ἐν τῷ σεληνόφωτι καί, λαμβάνων ἐπὶ τοῦ ἵππου αὐτοῦ, ἐπαναφέρει τῇ μητρί. Οὐδεὶς λόγος γίνεται περὶ συζύγου. Ὀλίγον ἔξωθι τῆς οἰκίας τῆς μητρὸς ὑπάρχει ναὸς τοῦ Ἁγίου Γεωργίου. Ὁ Κωνσταντῖνος ἀφιππεύει τὴν Ἀρετήν, ἀποστέλλων αὐτῇ τῇ μητρί, αὐτὸς δὲ καταδύεται ἐν τῷ τάφῳ αὐτοῦ. Ἔξωθι τῆς θύρας γίνεται ἡ ἀναγνώρισις μητρὸς καὶ θυγατρὸς καί, ἀνοιγομένης, ἀποθνήσκουσιν ἀμφότεραι.

Ἀνάλογον θέμα ἐκ τῆς μεσαιωνικῆς φραγκικῆς δαιμονολογίας εὑρίσκεται καὶ ἐν τῷ κυπριακῷ παραμυθίῳ τοῦ Τριμμάτου. Ὁ διάβολος μεταμορφοῦται εἰς ὡραῖον γαμβρόν, νυμφεύεται ὡραίαν νεᾶνιν καὶ ἐγκλείει αὐτὴν ἐν τῷ πύργῳ αὐτοῦ. Ἡ νεᾶνις ἀνακαλύπτει ὅτι ὁ σύζυγος αὐτῆς ἐπισκέπτεται τὰ μνήματα καὶ εἶναι πτωματοφάγος. Μετὰ μυθώδεις περιπετείας ἐλευθεροῖ αὐτὴν ὁ ἀδελφὸς αὐτῆς.

Τὸ ᾆσμα τῆς Ἀρετῆς παραπέμπει εἰς τὴν ῥύσιν αἰχμαλώτων ὑπὸ τοῦ Ἁγίου Γεωργίου. Ὁμοίως καὶ τὰ ᾄσματα συναντήσεως καὶ ἀναγνωρίσεως συζύγων. Προστάται καὶ ῥύσται ἐκ κακῶν εἶναι ἥρωες καὶ Ἅγιοι, ζῶντες καὶ μετὰ τὸν θάνατον αὐτῶν, ὁ Μέγας Ἀλέξανδρος, ὁ φθάσας εἰς τὰ ἄκρα τοῦ κόσμου, ὁ ὄντως Ἀκρίτης, καὶ ἡ βυζαντινὴ ἔκδοσις αὐτοῦ ὡς Διγενῆ Ἀκρίτου, ὁ Μέγας Κωνσταντῖνος, ὁ ἱδρυτὴς τῆς χριστιανικῆς Οἰκουμένης, ὡς Κωνσταντῖνος, σύζυγος ἢ ἀδελφὸς τῆς Ἀρετῆς, καὶ ὁ Ἅγιος Γεώργιος, στρατηλατῶν ἐν γῇ, ὡς ὁ Ταξιάρχης Μιχαὴλ ἐν οὐρανῷ.

Ἡ τιμὴ τοῦ Ἁγίου Γεωργίου κατέλαβε πᾶσαν τὴν Εὐρώπην διὰ τὰς ἐμφανίσεις αὐτοῦ ἐν πολέμῳ καὶ τὰς παραστάσεις τῶν Χριστιανῶν καὶ τῶν Μώρων. Ὁ Ἅγιος Γεώργιος καθιερώθη

ὡς τροπαιοφόρος καὶ ἀρχηγὸς τοῦ στρατεύματος τῶν Χριστιανῶν.

Ὁ Οὐίλλιαμ τοῦ Μαλμέσμπουρυ παραδίδει ὅτι ὁ Ἅγιος Γεώργιος καὶ ὁ Ἅγιος Δημήτριος, «οἱ μάρτυρες ἱππόται», ἐνεφανίσθησαν μετὰ στρατοῦ λευχειμόνων, βοηθοῦντες τοῖς Σταυροφόροις κατὰ τὴν πολιορκίαν τῆς Ἀντιοχείας τῷ 1098. Ὁμοία ἐμφάνισις αὐτοῦ ἐγένετο καὶ κατὰ τὸ ἑπόμενον ἔτος ἐν Ἱερουσαλήμ. Ἐπιστρέφοντες οἱ Σταυροφόροι εἰς τὰς χώρας αὐτῶν, ἰδίᾳ ὁ Ῥιχάρδος ὁ Λεοντόθυμος, ἔτρεφον ἀκράδαντον τὴν πίστιν εἰς τὴν δύναμιν τῆς παρεμβάσεως τοῦ Ἁγίου Γεωργίου. Οὗτος ἐπροστάτευσεν ἔφιππος τοὺς κατοίκους τῶν νήσων Μάλτας καὶ Γκότζο, δεχομένους ἐπίθεσιν τῶν Μαυριτανῶν, ἀνακηρυχθεὶς πολιοῦχος αὐτῶν. Ἐβοήθησε τοὺς Γεωργιανούς, ἵνα ἀποκρούσωσι τοὺς Σελτζούκους. Ἐπίσης ἐβοήθησεν αὐτοὺς καὶ κατὰ τὴν ἐξέγερσιν αὐτῶν κατὰ τῶν Περσῶν, θεωρούμενος ὡς τὸ σύμβολον τῆς ἐθνικῆς ἀποκαταστάσεως αὐτῶν. Τὸν δέκατον τέταρτον αἰῶνα ἐδωρήσατο τὴν νίκην τοῖς Πορτογάλοις κατὰ τῶν Ἱσπανῶν. Ἐν τῇ μάχῃ τῆς Πρινίτσης ἐν Πελοποννήσῳ κατὰ τὸ Χρονικὸν τοῦ Μωρέως ἐνεφανίσθη, βοηθῶν τοῖς Φράγκοις:

*«Τινές, ὁποὺ ἤσασιν ἐκεῖ ᾽ς τὸν πόλεμον ἐκεῖνον,*
*εἶδαν καὶ ἐμαρτύρησαν ὅτι εἶδαν καβαλλάρην*
*ἀσπραλογᾶτον εἰς φαρί, γυμνὸν σπαθὶν ἐβάστα,*
*καὶ πάντα ὑπήγαινεν ὀμπρός, ἐκεῖ ποὺ ἦσαν οἱ Φράγκοι,*
*καὶ εἶπαν καὶ ἀφιρώσασιν ὅτι ὁ Ἅγιος Γεώργιος ἦτον*
*κι ὡδήγευεν κι ἀντρείευεν τοὺς Φράγκους νὰ πολεμοῦσιν.»*

Ναΐδια αὐτοῦ ἱδρύοντο εἰς τὰ σύνορα πολλῶν χωρίων, ἵνα ὁ Ἅγιος προστατεύῃ αὐτὰ καὶ ἀποτρέπῃ τὴν εἴσοδον παντὸς κακοῦ. Καθ᾽ ὅλην τὴν νύκτα εὑρίσκετο ἐν περιπολίᾳ. Ἐν τῷ ναῷ

www.tezaurliturgic.ro

τοῦ Ἁγίου Γεωργίου ἐν Λάρνακι ὁ ἵππος τῆς εἰκόνος αὐτοῦ εὑρίσκετο βεβρεγμένος, διότι κατὰ τὴν νύκτα ὁ Ἅγιος ἐπεσκέπτετο τὸν ναὸν αὐτοῦ ἐν Λύδδῃ. Ἐν τῇ κώμῃ Μόρφου τῆς Κύπρου χωρικοί, ἀγραυλοῦντες κατὰ τὴν νύκτα, ἔβλεπον φῶτα κινούμενα μακρὰν καὶ ἔλεγον ὅτι περιπολεῖ ὁ Ἅγιος Γεώργιος ὁ Ἐξαλωνίτης, ἐκ τοῦ παρακειμένου ναϊδίου αὐτοῦ. Ἐπίσης οἱ χωρικοὶ ἤκουον κατὰ τὴν νύκτα ἐν τῇ αὐλῇ αὐτῶν τὴν κλαγγὴν τῶν πετάλων τοῦ ἵππου τοῦ Ἁγίου Γεωργίου, προστατεύοντος τὴν οἰκίαν αὐτῶν. Τοιχογραφίαι τοῦ Ἁγίου Γεωργίου καὶ τοῦ Ἀρχαγγέλου Μιχαὴλ ἐν ναϊδίοις τῆς Κύπρου ταυτίζονται ὑπὸ τῶν χωρικῶν πρὸς τὸν Διγενῆν. Οἰκειοποιηθέντες ὑπὸ τῶν Φράγκων, εὑρίσκονται ἐν Κύπρῳ καὶ Ἅγιος Γεώργιος Ἀλαμᾶνος καὶ Ἅγιος Κωνσταντῖνος Ἀλαμᾶνος, μαρτυροῦντες τό ποτε φραγκικὸν βασίλειον τῆς Κύπρου. Ἐν Κύπρῳ σῴζονται τὰ ἐρείπια τῆς μονῆς τοῦ Ἁγίου Γεωργίου τοῦ Ὁριάτου, φερομένης παρὰ τῷ λαῷ ὡς τοῦ Ῥιγάτη, ἤτοι τῶν ὁρίων, ἐν τῇ περιοχῇ τῆς Μόρφου. Ὡς ἐξορίζων τὸ κακόν, καλεῖται καὶ *Ἐξορινός*. Ὁ Ἅγιος Γεώργιος εἶναι ὁ ὁριοφύλαξ τοῦ Ἁγίου Ὄρους.

Δεδόσθω ἡμῖν ἐνταῦθα καί τι μικρὸν ἐντρυφῆσαι τῇ ἐνεγκαμένῃ ἱμερτῇ πόλει Μόρφου.

Ἡ Κύπρος ἀπεκλήθη *Νῆσος τῶν Ἁγίων* διὰ τὸ νέφος τῶν Ἁγίων αὐτῆς, ἀλλὰ καὶ διὰ τὴν ἀποδοθεῖσαν αὐτῇ σημαντικήν, ὡς Γῆ Ἐπαγγελίας. Διοικηταὶ αὐτῆς, ἐρχόμενοι ἐκ Κωνσταντινουπόλεως, ἵδρυον ναοὺς ἐπ᾽ ὀνόματι Ἁγίων, τιμωμένων ἐν Κωνσταντινουπόλει καὶ τοῖς πέριξ, καλοῦντες τεχνίτας καὶ ζωγράφους πρὸς κόσμον αὐτῶν. Ὀνόματα ναῶν, μονῶν καὶ Ἁγίων μαρτυροῦσι τὴν σχέσιν ταύτην Κύπρου καὶ Κωνσταντινουπόλεως. Τοῖς ἀσκηταῖς τῶν ἐρήμων τῆς Αἰγύπτου καὶ τῆς Παλαιστίνης ἡ Κύπρος, περικλειομένη θαλάσσῃ, ἐλειτούργει ὡς Γῆ Ἐπαγγελίας. Οἱονεὶ διαβαίνοντες Ἐρυθρὰν θάλασσαν, οὗτοι ἀφι-

κνοῦντο εἰς Κύπρον, ἐγκαταβιοῦντες ἐν σκήταις, ἑλληνιστικοῖς ἢ ρωμαϊκοῖς τάφοις. Ἐκ τῆς Μικρᾶς Ἀσίας ἤρχοντο διὰ θαλάσσης θαυματουργικῷ τῷ τρόπῳ λάρνακες Ἁγίων καὶ ἄλλα ἱερά.

Κατὰ τὴν παράδοσιν ἦλθεν εἰς Κύπρον ὁ ἀναστηθεὶς ὑπὸ τοῦ Χριστοῦ Λάζαρος, γενόμενος πρῶτος ἐπίσκοπος Κιτίου. Ἡ Παναγία, ἐλθοῦσα, ἐδωρήσατο αὐτῷ τὸ ὠμοφόριον. Ἐκ τοῦ παλατίου τοῦ Βασιλέως τῆς Κωνσταντινουπόλεως ἦλθεν ἡ χαριτόβρυτος Εἰκὼν αὐτῆς, ἐνοικήσασα ἐν τῇ Ἱερᾷ Μονῇ Κύκκου, τῇ κἀμοὶ τροφῷ, πρωτοδευτέρα ἐνεγκαμένῃ. Παρὰ τῷ λαῷ τρέχει παράδοσις ὅτι καὶ αὐτὴ ἡ Παναγία ἐπεσκέψατο τὴν Μονὴν αὐτῆς, ἀναπαυθεῖσα ἐν τῷ Θρονίῳ αὐτῆς, ἔνθα ἐτοποθετεῖτο κατὰ τὰς λιτανείας ἡ Εἰκὼν αὐτῆς, ὡς ἐπεσκέψατο καὶ τὸ Περιβόλιον αὐτῆς, τὸ Ἅγιον Ὄρος.

Εἰς Κύπρον ἦλθεν ἡ Ἁγία Ἑλένη, πήξασα τὸν Σταυρὸν τοῦ Κυρίου καὶ καθάρασα αὐτὴν ἐκ τῆς ἐπηρείας τῶν δαιμόνων καὶ τῆς εἰδωλολατρίας. Ἡ Ἁγία Ἑλένη ἐφέρετο προσορμισθεῖσα καὶ ἐν Τιλλιρίᾳ, ἔνθα ὑπῆρχε χωρίον φερώνυμον αὐτῇ. Ἡ ἀκύμαντος θάλασσα καλεῖται γαληνή. Ἡ Ἁγία Ἑλένη κατὰ τὸν πλοῦν αὐτῆς ἐγαλήνευσε τὴν θάλασσαν ἐκ τῶν ταρασσόντων αὐτὴν δαιμόνων. Παράλιον χωρίον ἐν τῷ λιμένι τῆς Μόρφου φέρει τὸ σημαντικὸν ὄνομα *Γαληνή*.

Διὰ τοὺς ἀφικνουμένους ἐκ τῶν ἐρήμων Ἁγίους ἡ Κυπριακὴ Ἐκκλησία ἐδημιούργησε τὴν παράδοσιν ὅτι οἱ Ἅγιοι αὐτῆς ἔρχονται ἐκ τῶν Ἁγίων Τόπων. Οὗτοι εἶναι τριακόσιοι ἑξήκοντα πέντε, ὅσαι καὶ αἱ ἡμέραι τοῦ ἔτους. Ἁγιάζουσιν ὅλον τὸ ἔτος, μεταβάλλοντες τοῦτο ἐκ κοσμικοῦ εἰς αἰῶνα Κυρίου. Οἱ Φράγκοι, καταλαβόντες τὴν Κύπρον, μετέβαλον τοὺς Ἁγίους τῆς Κυπριακῆς Ἐκκλησίας, τοὺς ἐρχομένους ἐκ τῶν Ἁγίων Τόπων, εἰς Ἀλαμάνους ἱππότας, καταφυγόντας εἰς Κύπρον μετὰ τὰς

www.tezaurliturgic.ro

Σταυροφορίας. Μετεβλήθησαν εἰς Ἀλαμάνους, καὶ ὁ Ἅγιος Γεώργιος, καὶ ὁ Ἅγιος Κωνσταντῖνος.

Οἱ ἐρχόμενοι ἐκ τῶν Ἁγίων Τόπων Ἅγιοι, καταλαμφθέντες ὑπὸ τοῦ φωτὸς τοῦ Χριστοῦ, εἶναι πάμφωτοι. Φέρουσιν ὀνόματα, οἷον *Ἡλιόφωτος, Χρυσήλιος, Λάμπων, Φωτολαμπής.*

Ἡ Παναγία, ὡς καταλαμπομένη ἡλιακαῖς λαμπηδόσι, καλεῖται *Χρυσῆ*, ὡς *Χρυσελεοῦσα, Χρυσοπαντάνασσα, Χρυσοπολίτισσα, Χρυσορροϊάτισσα, Χρυσοσπηλιώτισσα* καὶ πλεῖστα ἄλλα. Ὁ τουρισμὸς ὠνόμασε τὴν Κύπρον *Νῆσον τῆς Ἀφροδίτης*, λησμονηθείσης ὅλως ὑπὸ τοῦ λαοῦ, ἀλλὰ τῷ ὄντι αὕτη εἶναι ἡ *Νῆσος τῆς Παναγίας.*

Ὁ γνωστὸς σήμερον ὡς *Κόλπος Μόρφου* ὑπῆρξεν ὁ λιμὴν τῶν ἀρχαίων Σόλων. Κατὰ τοὺς βυζαντινοὺς χρόνους ὑπῆρξε νεώριον ἐπικοινωνίας πρὸς τὴν Κωνσταντινούπολιν καὶ τὴν Μικρὰν Ἀσίαν. Διὰ τούτου ἤρχοντο, ὡς εἰς Γῆν Ἐπαγγελίας, δρόμωνες, Ἅγιοι, λάρνακες Ἁγίων, εἰκόνες. Ἐνταῦθα ἦλθεν ἐκ τοῦ παλατίου τοῦ βασιλέως τῆς Κωνσταντινουπόλεως ἡ χαριτόβρυτος Εἰκὼν τῆς Παναγίας Ἐλεούσης, ἵνα ἐγκατοικήσῃ ἐν τῷ Περιβολίῳ αὐτῆς τῇ Ἱερᾷ Μονῇ Κύκκου. Ἐν τῷ κόλπῳ τῆς Μόρφου κεῖται σήμερον ἡ κώμη Πεντάγεια, ὑποδεχομένη αἰσίως τοὺς ἀφικνουμένους. Ἔλαβε τὸ ὄνομα αὐτῆς κατ' ἐτυμολογίαν ἐκ τῶν προστατῶν *Πάντων τῶν Ἁγίων*, ἤτοι *Πανταγιοὶ - Πενταγιοὶ - Πεντάγεια.*

Ἡ πόλις Μόρφου μνημονεύεται κατὰ τὸν δέκατον αἰῶνα ὡς *Θεομόρφου* ὑπὸ Βυζαντινοῦ ἄρχοντος, ἐπισκεφθέντος αὐτὴν καὶ τὴν ἐν τῇ περιοχῇ αὐτῆς μονὴν τοῦ Ἁγίου Γεωργίου τοῦ Ὁριάτου. Ὁ χρονογράφος Λεόντιος Μαχαιρᾶς μνημονεύει τιμώμενον ἐν Μόρφου τὸν Μέγαν Ἀσκητὴν Θεοδόσιον τὸν Κοινοβιάρχην. Ἐν Μόρφου ἦλθε θαυματουργικῷ τῷ τρόπῳ ἐκ Μικρᾶς Ἀσίας ἡ λάρναξ τοῦ Ἁγίου Μάμαντος, ἀποκειμένη ἐν τῇ φερωνύμῳ Ἱερᾷ

Μονῇ αὐτοῦ. Ἐν τῇ πόλει τιμῶνται ὁ Ἅγιος Γεώργιος καὶ ἡ Ἁγία Παρασκευή, ἥν, σκέπουσαν τὴν ἐν τῇ ἐνορίᾳ αὐτῆς οἰκίαν μου καμέ, ἐξαιρέτως σέβομαι, καὶ ἐν τῇ χώρᾳ αὐτῆς ἡ Παναγία ἡ Φορβιώτισσα καὶ ἡ Παναγία τοῦ Μνασῆ, ὁ Τίμιος Σταυρός, ὁ Ἀρχάγγελος Μιχαήλ, ὁ Ἅγιος Ἰωάννης ὁ Πρόδρομος, ἡ ξυνωρὶς τῶν Ἁγίων Σεργίου καὶ Βάκχου καὶ ἄλλοι, ἁγιάσαντες τὴν Γῆν ταύτην τῆς Ἐπαγγελίας.

Τὸ ὄνομα *Μόρφου* προέρχεται ἐκ τοῦ αὐτόθι τιμωμένου Ἁγίου Θεοδοσίου, κληθέντος *Θεομόρφου* κατὰ συσχετισμὸν τοῦ ὀνόματος αὐτοῦ. Ὁ Ἅγιος Θεοδόσιος εἶναι *Θεόμορφος*, ὡς μορφώσας ἐν ἑαυτῷ τὸν ἐνανθρωπήσαντα Χριστόν, γενόμενος πρότυπον μοναστῶν. Συγκοπὲν εἰς *Θεμόρφου* καὶ γενόμενον ὑπὸ τῶν Φράγκων *ντὲ Μόρφου*, κατέληξεν εἰς *Μόρφου*.

Ὁ πολιοῦχος τῆς Μόρφου Ἅγιος Μάμας ἦν ποιμήν. Εἰκόνισε τὸν Καλὸν Ποιμένα Χριστόν, ὅστις ἀφίησι τὰ ἐνενήκοντα ἐννέα πρόβατα καὶ ἀναζητεῖ, ὅπως εὕρῃ καὶ σώσῃ τὸ ἀπολωλός. Ὁ Καλὸς Ποιμὴν παρεστάθη ὑπὸ τῆς πρωτοχριστιανικῆς τέχνης ὡς Ὀρφεύς, φέρων ἐπ' ὤμων πρόβατον. Ὁ Ἅγιος Μάμας, εἰκονίζων τὸν Χριστὸν ὡς Ὀρφέα, θέλγει καὶ ἡμεροῖ συμβολικῶς καὶ τὰ ζῷα.

Παρακειμένη κώμη καλεῖται *Χρυσηλίου*, ἔχουσα ναὸν τῆς Μεταμορφώσεως τοῦ Χριστοῦ. Ὁ ναὸς τῆς Ἁγίας Αἰκατερίνης ἐν τῷ Ὄρει Σινᾶ ἐκαλεῖτο πρότερον ναὸς τῆς Μεταμορφώσεως.

Ἑτέρα κώμη καλεῖται *Ζώτεια* ἐκ τοῦ *Ζωτικοῦ* Σταυροῦ. Ἐν τῇ Ἄνω Ζωτείᾳ τιμᾶται ὁ Ταξιάρχης τῶν οὐρανίων δυνάμεων Ἀρχάγγελος Μιχαήλ. Τὸ ὄνομα *Νικήτας* ὁμόρου κώμης ἀνάγεται εἰς τὸ σταυρικὸν *Ἐν τούτῳ νίκα* τοῦ Μεγάλου Κωνσταντίνου, ἤτοι *Σταυρονικήτας-Νικήτας*.

Ὁ ποταμὸς τῆς Πεντάγειας καλεῖται *Ξεροπόταμος*, ὡς καλεῖται καὶ ἀναστάσιμον παίγνιον, εἰκονίζον τὴν διάβασιν τῆς

www.tezaurliturgic.ro

Ἐρυθρᾶς θαλάσσης. Αὐτόθι ὑπῆρχε τὸ μετόχιον τοῦ Ξηροποτάμου τῆς Ἱερᾶς Μονῆς Κύκκου, ἐν ᾧ ἐτιμᾶτο ἡ ξυνωρὶς τῶν Ἁγίων Σεργίου καὶ Βάκχου. Οἱ Ἅγιοι οὗτοι διεδόθησαν ἐκ Κωνσταντινουπόλεως, ἔνθα ὁ Ἰουστινιανὸς καὶ ἡ Θεοδώρα ἐδείμαντο μονὴν αὐτοῖς. Τὸ ὄνομα *Σέργιος* τυγχάνει δημοφιλὲς ἐν Ῥωσσίᾳ.

Ὁ μεγάλος ποταμὸς τῆς Μόρφου Σεῤῥάχης ἐπέχει αὐτόθι θέσιν Ἰορδάνου. Ἐν ὁμόρῳ κώμῃ παρ' ἣν ῥέει ὁ ποταμός, τιμᾶται ὁ Βαπτιστὴς Ἅγιος Ἰωάννης ὁ Πρόδρομος, ἀναφερόμενος ἐν πηγῇ τοῦ δεκάτου αἰῶνος ὡς *Ἅγιος Ἰωάννης ὁ Πρόδρομος ὁ ἐν τῷ Ῥύακι*. Ὁ Ῥύαξ ἔδωσε τὸ ὄνομα τῆς νῦν κώμης *Ἀργάκι*, ἤτοι *Ῥυάκιον - Ἀργυάκι - Ἀργάκι*.

Βυζαντινὸς ἄρχων ἐν τῇ περιοχῇ τῆς Μόρφου ἐδείματο ἐν τοῖς ὁρίοις αὐτῆς τὴν μονὴν τῆς Παναγίας Φορβιωτίσσης. Πρὸς κόσμον αὐτῆς ἐκάλεσε ζωγράφον ἐκ Κωνσταντινουπόλεως. *Φορβιώτισσα* εἶναι ἡ προστάτις τῶν ποιμνίων, ἡ αὐλὴ τῶν λογικῶν προβάτων, ἡ Παναγία τοῦ Ἀκαθίστου ὕμνου. Ὁ κτήτωρ, ἵνα παράσχῃ τὰ ἀναγκαῖα πρὸς συντήρησιν τῆς μονῆς, προσέδεσεν αὐτῇ ὑποτακτικούς. Μετεκόμισε τὴν κώμην Ἀσίνου παρ' αὐτήν, τὴν νῦν πολίχνην Ἀσίνου, καὶ κατοίκους ἐκ τῆς κώμης Νικήτα, τὴν νῦν κώμην Νικητάρι.

Ὦ Μόρφου ἐνεγκαμένη, κόρη Λακεδαιμονίς, κλεινή, μυρίπνους, πανωραία, ἐρατεινή, καθαγιασθεῖσα, ἐπίγειε Παράδεισε τῆς ζωῆς ἡμῶν!

Πολλὰ εἶναι τὰ σημεῖα τῆς παρουσίας τοῦ Ἁγίου Γεωργίου. Βράχοι, νησῖδες, ἀποτυπώματα χειρῶν αὐτοῦ καὶ ὁπλῶν τοῦ ἵππου αὐτοῦ δείκνυνται πολλαχοῦ. Ἔξωθι τῆς πύλης τῆς Δαμασκοῦ δείκνυται λίθος, ἐξ οὗ ὁ Ἅγιος Γεώργιος ἵππευσε, μεταβαίνων κατὰ τοῦ δράκοντος. Ἐν τῷ ἀρμενιακῷ ναῷ τῆς Προύσης καθ' ἑκάστην Παρασκευὴν ἤρχετο ἔφιππος ὁ Ἅγιος

Γεώργιος καὶ ἐκτύπα διὰ τοῦ δόρατος αὐτοῦ ἓν κοίλωμα ἐν τῷ βάθει αὐτοῦ.

Τὰ πολεμικὰ λάβαρα τῶν Βυζαντινῶν ἔφερον τὴν εἰκόνα τοῦ Ἁγίου Γεωργίου ἐφίππου. Καὶ σήμερον ἡ σημαία τοῦ ἑλληνικοῦ στρατοῦ φέρει ἔφιππον τὸν Ἅγιον Γεώργιον, ἀναιροῦντα τὸν δράκοντα. Ὁ αὐτοκράτωρ Ἰωάννης Β΄ ὁ Κομνηνὸς (1118-1143) ἐχάραξε πρῶτος τὴν μορφὴν τοῦ Ἁγίου Γεωργίου ἐν τῷ ὀπισθοτύπῳ τῶν νομισμάτων αὐτοῦ. Παράσημα καὶ νομίσματα εὐρωπαϊκῶν κρατῶν, ὡς ἡ ἀγγλικὴ λίρα, φέρουσι τὸν Ἅγιον Γεώργιον δρακοντοκτόνον. Ὁ ἐν τῇ ἀσπίδι τοῦ Ἁγίου Γεωργίου σταυρὸς τὸ μαρτύριον αὐτοῦ σημαίνει. Βρεταννικὴ στρατιωτικὴ ἀφίσα τοῦ πρώτου Παγκοσμίου πολέμου εἰκονίζει τὸν Ἅγιον Γεώργιον, καταβάλλοντα τὸν δράκοντα. Ὁ βασιλεὺς τῆς Ἀγγλίας Γεώργιος ὁ Στ΄ κατὰ τὸν δεύτερον Παγκόσμιον πόλεμον καθιέρωσε τῷ 1940 τὸ παράσημον «Σταυρὸς τοῦ Γεωργίου», εἰκονίζον τὸν Ἅγιον Γεώργιον, καταβάλλοντα τὸν δράκοντα, ὡς ὑψίστην τιμὴν γενναιότητος, καὶ ἕτερον παρόμοιον μετάλλιον τιμῆς. Κατὰ τὴν ἀμερικανικὴν ἐπανάστασιν (1776-1783) οἱ δύο ἀντίπαλοι πρωταγωνισταὶ ἔφερον τὸ ὄνομα Γεώργιος, ἡ ψυχὴ τῆς ἐπαναστάσεως Γεώργιος Οὐάσιγκτων καὶ ὁ βασιλεὺς τῆς Ἀγγλίας Γεώργιος ὁ Γ΄.

Ἐν Ἑλλάδι ὑπάρχουσι πέρα τῶν ἐννεακοσίων τοπωνυμίων, φερωνύμων τῷ Ἁγίῳ Γεωργίῳ. Ἐπίσης πέρα τῶν τεσσαράκοντα κῶμαι φέρουσι τὸ ὄνομα αὐτοῦ. Ὀκτὼ μεγάλαι μοναὶ εἶναι ἀφιερωμέναι αὐτῷ, μεθ᾽ ὧν τρεῖς ἐν τῷ Ἁγίῳ Ὄρει, ἡ τοῦ Ξενοφῶντος, ἡ τοῦ Ζωγράφου καὶ ἡ τοῦ Ἁγίου Παύλου. Ἐν Ἀθήναις εἶναι ἀφιερωμένοι αὐτῷ ὁ ναὸς τοῦ Ἁγίου Γεωργίου τοῦ Καρύκη, ὁ Ἅγιος Γεώργιος τοῦ Λυκαβηττοῦ καὶ ἄλλοι συνοικιακοί. Ὁ πατριαρχικὸς ναὸς ἐν Κωνσταντινουπόλει εἶναι ἀφιερωμένος τῷ Ἁγίῳ Γεωργίῳ. Ἐν τῷ Παλαιῷ Καΐρῳ ὑπάρ-

www.tezaurliturgic.ro

χει ἡ παλαίφατος Πατριαρχικὴ Θεοβάδιστος Μονὴ τοῦ Ἁγίου Γεωργίου. Ὁμοίως ἐν τῷ Πατριαρχείῳ Ἀντιοχείας ὑπάρχει ἡ Πατριαρχικὴ Μονὴ τοῦ Ἁγίου Γεωργίου, ἡ ἐν Χειμάῤῥῳ. Ἐν Κύπρῳ πέρα τῶν πεντακοσίων τοπωνυμίων εἶναι φερώνυμα τῷ Ἁγίῳ Γεωργίῳ. Ἐπίσης ἓξ κῶμαι ἐν Κύπρῳ φέρουσι τὸ ὄνομα αὐτοῦ. Οἱ Ἄγγλοι, ἅμα τῇ καταλήψει τῆς Κύπρου, ἵδρυσαν Ἀγγλικανικὸν ναὸν τοῦ Ἁγίου Γεωργίου ἐν τῷ ὄρει Τροόδει. Ὅταν οἱ Ἕλληνες, περίφημοι μισθοφόροι ἐν τῇ Δύσει, ἔλαβον τὴν ἄδειαν παρὰ τοῦ πάπα ἱδρύσεως ὀρθοδόξου ναοῦ ἐν Ἑνετίᾳ, ἵδρυσαν τὸν Ἅγιον Γεώργιον τῶν Ἑλλήνων.

Ἡ πλείστη ὑφήλιος βοᾷ τὰ ὀνόματα τοῦ Μεγάλου Ἀλεξάνδρου καὶ τοῦ Ἁγίου Γεωργίου. Ὁ ἀρχαῖος στρατηλάτης Μέγας Ἀλέξανδρος καὶ ὁ στρατιώτης τοῦ Χριστοῦ Ἅγιος Μεγαλομάρτυς Γεώργιος ὁ Τροπαιοφόρος εἶναι αἱ δημοφιλέστεραι μορφαὶ ἐν ταῖς λαϊκαῖς παραδόσεσι. Ἐν τῷ χώρῳ τούτῳ οἱ δύο μεγάλοι οὗτοι συμπλέκονται. Ὁ Μέγας Ἀλέξανδρος εἶναι ἀκρίτης, διότι ἔφθασεν εἰς τὰ ἄκρα τοῦ κόσμου, ὁ Ἅγιος Γεώργιος εἶναι ἀκρίτης, διότι περιέρχεται τὰ ἄκρα τῆς Οἰκουμένης, φρουρῶν αὐτήν. Ὁ Μέγας Ἀλέξανδρος κτίζει τὴν τριχίνην γέφυραν, ἑνοῦσαν τὸν ὧδε κόσμον τῷ πέραν, ὁ Ἅγιος Γεώργιος ἐλευθεροῖ αἰχμαλώτους ψυχάς, μετάγων αὐτὰς εἰς τὸν Παράδεισον. Ὁ Διγενῆς, βυζαντινὴ μεταμόρφωσις τοῦ Μεγάλου Ἀλεξάνδρου, ἀναιρεῖ τὸν φοβερὸν καρκῖνον ἢ τὸν ἀκατάβλητον Σαρακηνόν, ὁ Ἅγιος Γεώργιος ἀναιρεῖ τὸν βύθιον δράκοντα.

Ὁ Μέγας Ἀλέξανδρος ἐλυπεῖτο, διότι δὲν ἔτυχεν Ὁμήρου, ὡς ὁ Ἀχιλλεύς, ἵνα ὑμνήσῃ τὰ κατορθώματα αὐτοῦ. Ὅμηρος τῷ Μεγάλῳ Ἀλεξάνδρῳ ὑπῆρξεν ὁ ἑλληνικὸς λαός, ὅστις οὐδέποτε ἐλησμόνησε τὴν μυθιστορίαν τοῦ νεαροῦ βασιλέως, τοῦ ἰδανικοῦ, τοῦ ὁραματιστοῦ, τοῦ ἱδρύσαντος νέον κόσμον εἰς κοσμικοὺς αἰῶνας, καὶ ἔψαλε τὰ ἀκριτικὰ ᾄσματα αὐτοῦ. Ὁ Ἅγιος

www.tezaurliturgic.ro

Γεώργιος ἐτιμήθη ὑπερβαλλόντως ἀνὰ πᾶσαν τὴν Εὐρώπην ὡς προστάτης τῶν χριστιανῶν ἐν ταῖς μιμητικαῖς παραστάσεσιν «Οἱ Μῶροι καὶ οἱ Χριστιανοί.» Μῶροι ἦσαν οἱ ἐξαραβισθέντες κάτοικοι τῆς Μαυριτανίας, οἵτινες εἰσέβαλον εἰς τὴν Ἱσπανίαν καὶ ἵδρυσαν τὸ περίφημον ἀραβικὸν κράτος ἐν αὐτῇ.

Αἱ παραστάσεις «Οἱ Μῶροι καὶ οἱ Χριστιανοί» ἀπετέλουν χορούς, μιμουμένους μάχην, μετὰ διαλόγων καὶ δράματος. Πλεῖστοι εὐρωπαϊκοὶ χοροί, ὡς ὁ ἀγγλικὸς χορὸς μόρρις, προέρχονται ἐκ τῶν παραστάσεων τούτων. Αἱ παραστάσεις ἐτελοῦντο κατὰ τὰς ἑορτὰς τῆς Δύσεως, τὰς ἡμέρας τοῦ Καρναβαλίου, τὴν ἡμέραν τοῦ Σώματος τοῦ Χριστοῦ καὶ τὴν ἡμέραν τοῦ Ἁγίου Ἰωάννου τοῦ Προδρόμου. Συγκρούονται εἰκονικῶς δύο ὁμάδες, οἱ κακοὶ Μῶροι καὶ οἱ καλοὶ Χριστιανοὶ καὶ νικῶσι πάντοτε οἱ Χριστιανοί. Αἱ παραστάσεις συμπεριλαμβάνουσι στοιχεῖα, ὅπως μάχην, φόνον, ἀνάστασιν, γελωτοποιόν, προσωπεῖα, μεταμφίεσιν εἰς γυναῖκα, αἰθάλωσιν προσώπου, κώδωνας, χορὸν ξιφῶν. Τὰ προσωπεῖα καὶ ἡ αἰθάλη δηλοῦσι τὸ ὀθνεῖον. Ἡ μεταμφίεσις εἰς γυναῖκα δηλοῖ τὸ ἀπόλεμον τῶν ἀντιπάλων. Αἱ παραστάσεις αὗται ἐν τῇ χριστιανικῇ Εὐρώπῃ ἀντικατέστησαν παλαιοτέρας εὐετηρικὰς συγκρούσεις τῶν ἐποχῶν, χειμῶνος καὶ ἔαρος.

Κατὰ τὰς ἡμέρας τοῦ Καρναβαλίου ἐν τῷ Κεραμεικῷ ἐν Ῥώμῃ ἐγίνοντο παραστάσεις πολέμου τοῦ καλοῦ καὶ τοῦ κακοῦ, καθ᾽ ἃς ἐνίκα τὸ καλόν, ἃς παρηκολούθει καὶ ὁ πάπας. Μεγάλην ἀκμὴν ἔλαβον αἱ ἑορταὶ τοῦ Καρναβαλίου ἐν τῇ Δύσει κατὰ τὸν δέκατον τέταρτον καὶ δέκατον πέμπτον αἰῶνα. Σὺν τῷ χρόνῳ αἱ ἠθικαὶ αὗται παραστάσεις εἱλκύσθησαν ὑπὸ τοῦ κακοῦ. Εἰσήγετο ὁ διάβολος, ὃν ἀνεῖλεν ὁ δρακοντοκτόνος Ἅγιος Γεώργιος, μετημφιεσμένος εἰς βασιλέα Καρνάβαλον, καὶ ἐλατρεύετο. Οἱ ἄλλοτε νικηταὶ χριστιανοὶ ἐπεδίδοντο εἰς

www.tezaurliturgic.ro

προσκαίρους ἀκολασίας. Ἀρχομένου τοῦ σταδίου τῶν ἀγώνων τῆς Μεγάλης Τεσσαρακοστῆς, θὰ μετενόουν. Ἐφ᾽ ὅσον ὁ φιλεύσπλαγχνος Πατὴρ ἔχαιρε καὶ ἐπὶ ἑνὶ μετανοοῦντι, θὰ ἔδιδον χαρὰν τῷ Θεῷ διὰ τῆς μετανοίας αὐτῶν ἐκ τῶν ἁμαρτιῶν αὐτῶν. Ἀλλ᾽ ὁ Θεὸς δὲν μυκτηρίζεται. Ἡ ἐσκεμμένη ἁμαρτία πρὸς μετάνοιαν ἀποτελεῖ παραλλαγὴν τῆς αἱρέσεως τῶν Νικολαϊτῶν.

Στοιχεῖα ἐκ τῶν παραστάσεων τῆς Δύσεως ἔφθασαν καὶ εἰς τὰς ἑλληνικὰς χώρας. Αἱ μιμητικαὶ παραστάσεις τῆς Θράκης, οἱ χοροὶ σπαθοφόρων μετὰ προσωπείων ἐν Μακεδονίᾳ, οἱ μετημφιεσμένοι μετὰ κωδώνων ἐν Σκύρῳ, οἱ Μωμόγεροι, ἤτοι *Μωρόγεροι*, μωροὶ γέροντες, ἐν Πόντῳ, οἱ ἠθαλωμένοι κατὰ τὰς Ἀπόκρεως ἐν Κύπρῳ μετὰ γυναικείας ἐνδύσεως προέρχονται ἐκ τῶν παραστάσεων τῶν Μώρων ἐν τῇ Δύσει.

Ἱσπανοὶ Μῶροι, προσελθόντες εἰς τὸν χριστιανισμόν, ἀπεκλήθησαν *Μωρίσκοι*, ἤτοι Μικροὶ Μῶροι. Προστάτης τούτων ἦν ὁ ὑποστηρίζων τοὺς Χριστιανοὺς κατὰ τὰς παραστάσεις Μώρων καὶ Χριστιανῶν Ἅγιος Γεώργιος. Ἐν τῇ ἀγάπῃ Μώρου καὶ χριστιανῆς, ἀποκρουούσης τοῦτον, ὁ Ἅγιος Γεώργιος ὑποστηρίζει τὸν Μῶρον, ὑπισχνούμενον ὅτι θὰ βαπτισθῇ χριστιανός. Ἐν δημώδει ᾄσματι τὴν θέσιν τοῦ Μώρου, λαμβάνει ὁ Διγενῆς, ἀποῤῥιπτόμενος, ὡς Μῶρος:

*«Ὁ κύρης τό ᾽ν Σαρακηνὸς κι ἡ μάνα τό ᾽ν Ὀβραῖσσα,*
*καὶ κεῖνος παιδὶν Σαρακηνόν, γαμπρόν μου δὲν τὸν θέλω.»*

Διὰ τὴν σχέσιν πρὸς τοὺς Μώρους ὁ Ἅγιος Γεώργιος ἐζωγραφήθη που μελαμψὸς μετὰ τῆς προσωνυμίας Ἀράπης. Παράδειγμα ἀποτελεῖ εἰκὼν αὐτοῦ ἐξ Ἡρακλείας Θρᾴκης ἐν τῷ Βυζαντινῷ Μουσείῳ Ἀθηνῶν, φέρουσα τὴν ἐπιγραφὴν «Ὁ ἐν

www.tezaurliturgic.ro

τῇ Ἡρακλείᾳ Ἀράπης.» Τὴν εἰκόνα μετήνεγκον πρόσφυγες, καταθέμενοι ἐν τῷ ἐνοριακῷ ναῷ Νέου Ἡρακλείου Ἀθηνῶν.

Κατὰ τὴν Καθαρὰν Δευτέραν, πρώτην ἡμέραν τῆς Μεγάλης Τεσσαρακοστῆς, ἡ Ἐκκλησία μνείαν ποιεῖται τῆς ἐξόδου ἐκ τοῦ Παραδείσου τοῦ Ἀδὰμ καὶ τῆς Εὔας. Παντὶ χριστιανῷ προτίθεται ἡ προετοιμασία, ἡ ὁμολογία τοῦ Χριστοῦ, τὸ Πάθος καὶ ἡ Ἀνάστασις. Ἡ Μεγάλη Τεσσαρακοστὴ εἶναι ἡ ἔρημος, ἣ θὰ ἀκολουθήσῃ τὸ Πάθος καὶ ἡ Ἀνάστασις. Κατὰ τὴν ἑβδομάδα τῆς Ἀπόκρεω οἱ χριστιανοὶ ἀπέχουσι κρέατος, ὡς δηλωτικοῦ τῆς κοσμικῆς τρυφῆς. Κατὰ τὴν Κυριακὴν τῆς Τυροφάγου ἐσθίουσι προϊόντα γάλακτος, ὡς νήπια Χριστοῦ, τρεφόμενα διὰ γάλακτος. Κατὰ τὸ ὁμαδικὸν δεῖπνον τῆς Κυριακῆς τῆς Τυροφάγου ἐπισκέπτονται τοὺς συνδαιτυμόνας περιφερόμενοι ᾐθαλωμένοι καὶ μετημφιεσμένοι εἰς γυναῖκας. Οὗτοι δὲν παριστῶσι τὰς ψυχὰς τῶν κεκοιμημένων, ἀλλὰ προέρχονται ἐκ τῶν παραστάσεων τῶν Μώρων ἐν τῇ Δύσει. Εἶναι οἱ Μῶροι, οἱ ὀθνεῖοι, οἵτινες ἐπισκέπτονται τὴν ἑορτὴν τῶν Χριστιανῶν. Οὕτω κατὰ τόπους ἐμφανίζονται μετημφιεσμένοι κατὰ τὰς μεγάλας ἑορτὰς τῶν Χριστιανῶν, ὡς οἱ μετημφιεσμένοι κατὰ τὸ Δωδεκαήμερον καὶ τὰ Θεοφάνια ἐν Θεσσαλίᾳ καὶ Μακεδονίᾳ, καὶ οἱ Μωμόγεροι κατὰ τὴν πρώτην τοῦ ἔτους ἐν Πόντῳ. Κατὰ τὴν Καθαρὰν Δευτέραν οἱ Χριστιανοὶ ἐξέρχονται εἰς τοὺς ἀγρούς, εἰς συμβολισμὸν τῆς ἐξόδου ἐκ τοῦ Παραδείσου καὶ τοῦ ἀγῶνος ἐν τῷ σταδίῳ τῆς ἐρήμου, καὶ ἐσθίουσι χόρτα καὶ πλακοῦντας ἐκ πικρῶν χόρτων, ὡς καὶ οἱ Ἑβραῖοι εἰς ἀνάμνησιν τῆς ἐρήμου.

Ἀνάλογος πρὸς τὰς μεταμφιέσεις εἶναι καὶ ἡ ἐπίσκεψις τῶν *Παγανῶν* κατὰ τὸ Δωδεκαήμερον, ἀπὸ τῆς Γεννήσεως τοῦ Χριστοῦ μέχρι τῶν Θεοφανίων, ὅτε διὰ τῆς Βαπτίσεως τοῦ Χριστοῦ ἁγιάζονται τὰ ὕδατα. Ταῦτα δὲν εἶναι αἱ ψυχαὶ τῶν

ἠγαπημένων ἡμῶν, ὡς αἱ Κῆρες κατὰ τὰ ἀρχαῖα Ἀνθεστήρια, οὐδὲ δαιμόνια ἐκ τοῦ στύλου τῆς γῆς κατὰ τὴν γερμανικὴν μυθολογίαν, ἀλλά, ὡς δηλοῖ καὶ τὸ ὄνομα αὐτῶν, οἱ ἀρχαῖοι θεοί, τὸ δωδεκάθεον τοῦ Ὀλύμπου, τὰ στοιχεῖα τοῦ ζῳδιακοῦ κύκλου, ἅτινα διὰ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ ἀπέρχονται ὁριστικῶς. Οἱ κοσμικοὶ αἰῶνες συνεπληρώθησαν, ἄρχεται νῦν ὁ αἰὼν τοῦ Χριστοῦ, οὗ οὐκ ἔστι τέλος.

Ὁ Ἅγιος Γεώργιος εἶναι προστάτης πλείστων χωρῶν, ὡς τῆς Ἀγγλίας, τῶν Χριστιανῶν τῆς Αἰγύπτου, τῆς Αἰθιοπίας, τῆς Βουλγαρίας, τῆς Γεωργίας, τῆς Ἑλλάδος, τοῦ Λιβάνου, τῆς Λιθουανίας, τῆς Οὐκρανίας, τῆς Παλαιστίνης, τῆς Πορτογαλίας, τῆς Ῥουμανίας, τῆς Ῥωσσίας, τῆς Σερβίας καὶ πλείστων πόλεων, ὡς τῆς Βαρκελώνης, τῆς Βηρυτοῦ, τῆς Γενούης, τῆς Μόσχας, τοῦ Ῥίου Ἰανεΐρου. Ἐπίσης ἀνηγορεύθη προστάτης τῶν προσκόπων και πολλῶν ἐπαγγελμάτων καὶ νοσηλευτικῶν ἱδρυμάτων. Ἐν Ἑλλάδι εἶναι ὁ προστάτης τῶν ποιμένων, ὧν ἡ ποιμενικὴ ῥάβδος συμβολίζει τὴν δρακοντοκτόνον λόγχην αὐτοῦ. Ἱπποτικὰ τάγματα φέρουσι τὸ ὄνομα αὐτοῦ ἐν Ἀραγωνίᾳ, ἐν Γενούῃ, ἐν Οὐγγαρίᾳ. Ἐν Ἀγγλίᾳ, οἱ Ἱππόται τῆς Περικνημῖδος ἔχουσιν ἐν τῷ λαβάρῳ αὐτῶν τὴν εἰκόνα τοῦ Ἁγίου Γεωργίου. Ἡ εἰκὼν αὐτοῦ κοσμεῖ καὶ τὴν σημαίαν τοῦ ἑλληνικοῦ στρατοῦ. Ἀληθῶς ἡ φήμη αὐτοῦ ἐπλήρωσε πᾶσαν τὴν γῆν.

Ἐν Ἑλλάδι ἡ περίοδος τοῦ Πεντηκοσταρίου εἶναι ἀφιερωμένη τῇ Ἀναστάσει τοῦ Χριστοῦ καὶ τῷ Ἁγίῳ Γεωργίῳ. Κατὰ τὴν περίοδον αὐτὴν τελοῦνται τὰ Ῥουσάλια, ἤτοι τὰ *Ῥοσάρια*, ὁ ῥοδισμὸς τῶν ἐκκλησιῶν καὶ τῶν εἰκόνων διὰ ῥόδων, ὡς συμβόλων τῆς Ἀναστάσεως καὶ τοῦ Παραδείσου. Τὴν ἑορτὴν ἀναφέρει ὁ Βαλσαμὼν ὡς τελουμένην μετὰ τὸ Ἅγιον Πάσχα «*ἐν ταῖς ἔξω χώραις.*» Καθ᾽ ὅλην τὴν περίοδον γίνονται λιτανεῖαι μετὰ τῶν εἰκόνων καὶ χορεύονται συμβολικοὶ χοροί, ὡς ἡ κα-

www.tezaurliturgic.ro

μάρα, χορὸς ἡμικυκλικός, καὶ ἡ τράτα, χορὸς μιμούμενος τὴν ἕλξιν τῶν ἁλιευτικῶν δικτύων. Κατὰ τοὺς χοροὺς αἱ γυναῖκες κρατοῦσι τὰς χεῖρας ἀλλήλων χιαστὶ πρὸς σχηματισμὸν σταυρικοῦ σχήματος. Κατὰ τὴν ἑορτὴν τοῦ Ἁγίου Γεωργίου γίνονται ἱπποδρομίαι καὶ δρομικοὶ ἀγῶνες. Κρεμῶνται αἰῶραι καὶ οἱ ἄνθρωποι ζυγίζονται. Ἡ αἰώρα σημαίνει τὴν ἀναγέννησιν καὶ ἡ ζύγισις τὴν συνέχισιν τῆς ὑγιείας καὶ τῆς ζωῆς καθ᾽ ὅλον τὸ ἔτος. Ἐν Κύπρῳ βάφονται ἀναστάσιμα ᾠὰ μέχρι τῆς Ἀναλήψεως καὶ προσφέρονται τοῖς θερισταῖς ἐν τοῖς ἀγροῖς.

Ἡ δημιουργία ἱεροῦ κύκλου πρὸς ἀποτροπὴν εἰσόδου τοῦ κακοῦ καὶ τοῦ ἀνοσίου ἀποτελεῖ παμπάλαιον δοξασίαν. Ἐν Κύπρῳ κατὰ τὰ ἐγκαίνια ναοῦ περισχοινίζεται ἡ Ἁγία Τράπεζα, ὡς τόπος καθιερώσεως. Περιεσχοινίζετο πάλαι καὶ ὁ ναὸς ὁμοίως κατὰ τὰ ἐγκαίνια αὐτοῦ. Ὁ περισχοινισμὸς τοῦ ναοῦ παρέμεινεν ὡς ἑορταστικὸν καὶ ἀποτρεπτικὸν ἔθιμον. Ἑορταστικὸς περισχοινισμὸς ἐγίνετο κατὰ τὴν πανήγυριν τοῦ ναοῦ καὶ κατὰ τὴν ἐπίσκεψιν ἐπισκόπου. Κατὰ τὴν Ἀνάστασιν ἐστρώννυντο κλάδοι μυρσίνης ἐν τῷ ναῷ, ὡς σύμβολα νίκης τοῦ Χριστοῦ κατὰ τοῦ θανάτου. Κλάδοι μυρσίνης ἐστρώννυντο καὶ κατὰ τὴν ἐπίσκεψιν ἐπισκόπου κατὰ τὴν ὁδόν, ἣν θὰ ἐβάδιζεν οὗτος, ἵνα μεταβῇ εἰς τὸν ναόν, οἷα τὰ βαΐα κατὰ τὴν εἴσοδον τοῦ Χριστοῦ εἰς Ἱεροσόλυμα. Ἀποτρεπτικὸς περισχοινισμὸς ἐγίνετο ἐν περιόδοις πολέμων, καταδρομῶν, καταστροφῶν καὶ ἐπιδημιῶν. Τὰ παρεκκλήσια τοῦ Ἁγίου Γεωργίου ἐν τοῖς ὁρίοις τῶν χωρίων ἦσαν σχεδὸν πάντοτε περιεσχοινισμένα. Ταῦτα ἐλειτουργοῦντο κατὰ τὴν ἡμέραν τοῦ Ἁγίου Γεωργίου τῇ εἰκοστῇ τρίτῃ Ἀπριλίου ἢ τῇ Δευτέρᾳ τῆς Διακαινησίμου, ἂν αὕτη, ὡς ἀναστάσιμος, συνέπιπτεν ἐν τῇ Μεγάλῃ Τεσσαρακοστῇ. Κατὰ τὴν πανήγυριν περιεσχοινίζοντο τὰ παρεκκλήσια, ὡς καθιέρωσις τοῦ μέρους ἀντὶ τοῦ ὅλου, τοῦ χωρίου. Ἐνίοτε ἐγίνετο καὶ προσωπικὸς περισχοινισμὸς πρὸς θε-

ραπείαν ἀσθενοῦς, κινδυνεύοντος. Μετὰ τὴν λειτουργίαν ἐν τῷ παρεκκλησίῳ ᾔδετο ἐκ στήθους ἢ ἐκ χειρογράφου τὸ ᾆσμα τῆς δρακοντοκτονίας τοῦ Ἁγίου Γεωργίου, ὡς ἀποτρεπτικὸν παντὸς κακοῦ ἐκ τοῦ χωρίου. Τὸ πλέον διαδεδομένον ᾆσμα ἐν Κύπρῳ εἶναι τὸ ᾆσμα τοῦ Ἁγίου Γεωργίου. Ὁ Ἅγιος Γεώργιος κατέβαλε τὸν βύθιον δράκοντα, τὸν ἐσθίοντα τοὺς ἀνθρώπους, καὶ πρὸ τῆς ἀναιρέσεως παρέδωσε τοῦτον δέσμιον τῇ ἐκτεθείσῃ πρὸς βορὰν αὐτοῦ βασιλόπαιδι. Τὸ θαῦμα τοῦ Ἁγίου Γεωργίου παραπέμπει εἰς τὴν κάθοδον τοῦ Χριστοῦ εἰς Ἅδου τῶν ἀποκρύφων κειμένων, καθ' ἣν κατεδέθη ὁ Σατανᾶς, ὁ κατεσθίων τοὺς ἀνθρώπους, μέχρι τῆς τελικῆς κρίσεως. Ὁ Ἅγιος Γεώργιος εἶναι ὁ ἐπίγειος στρατηλάτης κατὰ τοῦ ἀντιθέου, ὡς ὁ οὐράνιος Ταξιάρχης Ἀρχάγγελος Μιχαήλ.

Κατὰ τοὺς ἑορτασμοὺς τοῦ Πεντηκοσταρίου ᾄδονται ᾄσματα, συμβολικὰ τῆς κατανικήσεως τοῦ δράκοντος, τῆς ἐπιστροφῆς ξενιτευθέντων καὶ τῆς ἀναγνωρίσεως συζύγων. Τὰ ᾄσματα ταῦτα ᾄδονται καὶ κατὰ τὸν γάμον. Ὁ Ἅγιος Γεώργιος βοηθεῖ εἰς τὴν σύναψιν συνοικεσίων καὶ ἐπανενοῖ συζύγους, χωρισθέντας διὰ ξενιτείαν ἢ στρατείαν ἢ αἰχμαλωσίαν. Τὸ ᾆσμα τῆς τρομοκρατήσεως τοῦ δράκοντος ὑπὸ τῆς νεονύμφου, ᾀδόμενον καὶ ὡς γαμήλιον, ἀποσκοπεῖ εἰς τὴν ὑγίειαν καὶ τὴν μακροημέρευσιν τῶν νεονύμφων:

*«Ὁ υἱὸς εἰς τὴν Ἀνατολήν, 'ς τὴν Δύσιν προξενειέται,*
*καὶ θὲν νὰ πά' νὰ παντρευτῇ, τρία θεριὰ φοβᾶται·*
*φοβᾶται 'ποὺ τὸν δράκονταν, φοβᾶται 'ποὺ τὸν λιόνταν,*
*'ποὺ τὸν Ἀβρίτην ποταμόν, μὲν τὸν κακοδοικήσῃ.*
*Ἡ πεθθερὰ τοῦ 'μήνυσεν μ' ἕναν πουλλὶν ξιφτέριν,*
*σὰν θὲν νὰ πά' νὰ παντρευτῇ, κάλλιον καιρὸν δὲν θέλει·*
*τὸν δράκον ἐσκοτώσασιν, τὸν λιόνταν ἐφουρκίσαν,*

*καὶ τὸν Ἀβρίτην ποταμὸν γιοφύριν τὸν ἐκτίσαν.*
*Πού τ᾽ ἄκουσεν ὁ νιούλλικος, ᾽πού τὴν χαράν του ᾽πέταν·*
*ἐπῆεν εἰς τὸν στάβλον του, ἁπού ᾽ταν τ᾽ ἄλοά του,*
*μουδὲ τὴν μοῦλαν ἔπιασεν, μουδὲ τὴν βεργινάδαν,*
*μόνον τὸν μαῦρον ἔπιασεν, τὸν λέουσιν πετρίτην,*
*ποὺ καταλυεῖ τὰ σίδερα καὶ πίννει τὸν ἀβρίτην,*
*ποὺ μὲ τὰ νέφη παρπατεῖ καὶ τὲς δροχιὲς ἐγλείφει.*
*᾽Ππηδᾷ κι ἐκαβαλλίκεψεν, σὰν ἤτουν μαθημένος·*
*ὥστι νὰ πῇ «ἔχετε γειάν», ἔκοψεν χίλια μίλια,*
*κι ὥστι νὰ ποῦν «εἰς τὸ καλόν», ἄλλα ᾽κατὸν πενῆντα.*
*Ὅσον καὶ ἐκοντόφτασεν τὸν ποταμὸν Ἀβρίτην,*
*πιάννει το κεῖνον τὸ στρατίν, κεῖνον τὸ μονοπάτιν,*
*τὸ μονοπάτιν βκάλλει τον ᾽ς τοῦ δράκοντα τὸν σπήλιον.*
*Ποὺ τὸν θωρεῖ ὁ δράκοντας, κρυφὲς χαρὲς τοῦ ἦρταν:*
*«Καλῶς μοῦ ᾽ρτεν τὸ μπούκκωμαν, καλῶς μοῦ ᾽ρτεν τὸ γιόμαν·*
*μπούκκωμαν τρώω ἄθρωπον, τὸ γιόμαν τ᾽ ἄλοόν του,*
*καὶ μὲ τὲς κοκκαλίστρες του φτάννουν με να δειπνήσω.»*
*Καὶ πολοᾶται νιούλλικος τοῦ δράκοντα καὶ λέει:*
*« Ἄφησ᾽ με, δράκο, ἄφησ᾽ με, ἄφησ᾽ με νὰ περάσω,*
*νὰ πά᾽ κι ἐγὼ νὰ παντρευτῶ, κι ἐννά ᾽ρτω νὰ μὲ φάῃς.»*
*«Μόσε μου, παίδιο, μόσε μου κι ἀφίννω σε να πάῃς.»*
*Ἔμοσέν του χαμαὶ ᾽ς τὴν γῆν, εἶπέν του χῶμαν νά ᾽νι,*
*ἔμοσέν του ᾽ς τὸν οὐρανόν, ᾽ς τ᾽ ἄστρη, καὶ ᾽ς τὸ φεγγάριν*
*πὼς τριῶν ᾽μερῶν γαμπρὸς νά ᾽νι κι ἐννά ᾽ρτῃ νὰ τὸν φάῃ,*
*κι ἂν παραλλάξῃ ᾽πoὺ τὲς τρεῖς, ἂς τρώ᾽ ᾽ποὺ τὸ φεγγάριν.*
*Ὁ δράκος ᾽στάθην ἐμπιστὰ κι ἀφῆκέν τον καὶ πάει.*
*Πιάννει το κεῖνον τὸ στρατίν, κεῖνον τὸ μονοπάτιν,*
*τὸ μονοπάτιν βκάλλει τον ᾽ς τῆς λυερῆς τὰ σπίτια.*
*Κεῖ ποὺ τὸν δῇ ἡ λυερὴ ἀποὺ τὸ παναθύριν,*
*διπλοῦ τριπλοῦ ᾽κατέβηκεν ἀπὸ τὸ ποδοσκάλιν·*

σηκώννει τὸ χεράκιν της κι ἄννοιξεν τὸ μαντάλιν,
καὶ κεῖ χαμαὶ 'φιλήθησαν κι ἐγίνησαν ζευκάριν,
καὶ δὲν τοὺς 'ποχωρίζασιν Βράγκοι μὲ τὸ κοντάριν.
Κάμνουν τὸν γάμον ἐμπιστά, καὶ κάμνει τρεῖς ἡμέρες·
περνᾷ ἡ μιά, περνοῦν οἱ δυό, 'ς τὲς τρεῖς ἀναστενάζει.
Ποὺ τ' ἄκουσεν ἡ λυερή, στέκει καὶ ἀρωτᾷ τον:
«Ἰντά 'χεις, νιούλλικ', ἴντα 'χεις καὶ βαριαναστενάζεις;»
«Τοῦ δράκοντ' ἀθθυμήθηκα τωρά, πὸ 'ννὰ μὲ φάῃ!»
Καὶ πιάννει καὶ τὸν μαῦρόν του, τὸν πετροκαλύτην,
ποὺ κοκκαλιεῖ τὰ σίδερα καὶ πίννει τὸν ἀβρίτην·
'πηδᾷ κι ἐκαβαλλίκεψεν, σγοιὰν ἦτουν μαθημένος,
ἐκεῖ ἐποχαιρέτισεν, κι ἐπήαιννεν κλαμένος·
οὔλην τὴν στρᾶταν ἔπιασεν, οὗλον τὸ μονοπάτιν,
τὸ μονοπάτιν βκάλλει τον 'ς τοῦ δράκοντα τὸν σπήλιον.
Ὁ νιὸς πάει τῆς μερικιᾶς κι ἡ κόρη τῆς μερίκας–
ἡ κάλη του τοῦ 'φώναζεν καὶ κεῖνος δὲν ἐγροίκαν.
Κεῖ ποὺ τὸν δῆ ὁ δράκοντας, πολλὴν χαρὰν ἐπῆρεν:
«Καλῶς ἦρτεν τὸ μπούκκωμαν, καλῶς ἦρτεν τὸ γιόμαν
μπούκκωμαν τρώω ἄθρωπον, τὸ γιόμαν τ' ἄλοόν του,
ἐτσὰ τὰ καταδείλινα τρώω καὶ τὴν γεναῖκαν.»
Κόρη, σὰν ἦτουν βρένιμη, βρένιμα 'πολοήθην:
«Δράκο, νὰ φᾷς τὴν φάουσαν, νὰ φᾷς την κεφαλήν σου,
παρὰ νὰ φᾷς τὸν ἄντραν μου, τὸν εὐλοητικόν μου,
ποὺ μοῦ τὸν εὐλοήσασιν πισκόποι καὶ γουμένοι.
Καὶ νά 'ξερες, ἆ δράκοντα, τίνος παιδάκιν εἶμαι!
Καὶ τῆς 'στραπῆς παιδὶν εἶμαι καὶ τῆς βροντῆς ἀγγόνιν,
καὶ τῆς χαμηλοπουμπούρισης δισάγγονον κι ἀγγόνιν·
Τώρα 'στράβκω καὶ καύκω σε, βροντῶ καὶ καταλυῶ σε,
σηκώννω καὶ τὸν ἄνεμον καὶ παίρνω τὸν στακτόν σου.»
Ποὺ τ' ἄκουσεν ὁ δράκοντας, πολλὰ ἀκροφοήθην:

www.tezaurliturgic.ro

*«Καὶ τὴν ᾽στραπὴν φοοῦμαί την καὶ τὴν βροντὴν περίτου,*
*καὶ τὴν χαμηλοπούμπουρην περίτου καὶ περίτου.»*
*Καὶ πολοᾶται κι εἶπέν της τῆς λυερῆς καὶ λέει:*
*«Καὶ πιάσε καὶ τὸν κάλον σου κι ἀμέτε ᾽ς τὴν εὐχήν μου.»*

Ὁ Ἅγιος Γεώργιος ὑπὸ τὸ ὄνομα *Ἄλ Χὶντρ* (*Al Khidr*), σημαῖνον τὸν Πράσινον, τυγχάνει καὶ Ἅγιος τῶν μουσουλμάνων. Κατὰ τὴν παράδοσιν ὁ μάγειρος τοῦ Μεγάλου Ἀλεξάνδρου, πιὼν τὸ ὕδωρ τῆς ἀθανασίας, ζῇ ἀθάνατος ἐν τῇ θαλάσσῃ. Ὡς ἀθάνατον, οἱ μουσουλμᾶνοι συνέδεσαν τοῦτον πρὸς τὸν ἐπίσης ἀθάνατον Ἠλίαν, καλοῦντες τοῦτον *Χὶντρ Ἐλιάζ*. Ἐκ τῆς σχέσεως Ἁγίου Γεωργίου καὶ Προφήτου Ἠλιοῦ συνεδέθη καὶ παρ᾽ Ἕλλησιν ὁ Ἅγιος Γεώργιος πρὸς τὴν βροχὴν καὶ τὰ καιρικὰ φαινόμενα. Ἐν Πόντῳ ὑπάρχει ἡ περιώνυμος μονὴ τοῦ Ἁγίου Γεωργίου τοῦ Χουτουρᾶ, ἧς ἡ ἐπωνυμία προέρχεται ἐκ τοῦ *Χὶντρ* (*Khidr*). Αὐτόθι ἐκ τοῦ ὀνόματος τούτου λαμβάνεται ὄνομα *Χιδίρης* καὶ *Χιδίρογλου*, ὡς ταυτόσημον τοῦ *Γεώργιος* καὶ *Γεωργιάδης*. Ἐν Κοτυώροις καὶ Κερασοῦντι τοῦ Πόντου Ἕλληνες καὶ Τοῦρκοι ἑώρταζον ἀπὸ κοινοῦ τὴν μνήμην τοῦ *Χουτουρλὲζ* (*Khidr Eliaz*), ὡς ἀπεκαλεῖτο αὐτόθι ὁ Ἅγιος Γεώργιος. Περιηγηταὶ κατὰ τὰς ἀρχὰς τοῦ εἰκοστοῦ αἰῶνος ἀναφέρουσιν ὅτι χριστιανοὶ καὶ μουσουλμᾶνοι προσήρχοντο εἰς τὸν ὀρθόδοξον ναὸν τοῦ Ἁγίου Γεωργίου ἐν Μπεϊθτζαλᾷ, ἐπικαλούμενοι τὴν βοήθειαν τοῦ Ἁγίου. Κατὰ μουσουλμανικὴν παράδοσιν ὁ Ἄλ Χὶντρ ἐφόνευσε δράκοντα πλησίον τῆς θαλάσσης τῆς Βηρυτοῦ. Τὸν Ἅγιον Γεώργιον ἐτίμων ἰδιαιτέρως οἱ Τοῦρκοι σπαχῆδες (ἱππεῖς), θεωροῦντες αὐτὸν ὡς ἕνα τῶν Ἁγίων αὐτῶν, διατρέχοντα τὴν γῆν καὶ προστατεύοντα τοὺς ἀδυνάτους.

Ἐν Λύδδῃ, ἔνθα ἐμαρτύρησεν ὁ Ἅγιος Γεώργιος, ὑπῆρχε βασιλικὴ αὐτοῦ, ἐν ᾗ ἐγένετο ἡ ἀνακομιδὴ τῶν λειψάνων αὐτοῦ τῇ τρίτῃ Νοεμβρίου. Ἡ ἀνακομιδὴ τῶν λειψάνων τὴν εἴσοδον

www.tezaurliturgic.ro

εἰς τὸν Παράδεισον καὶ τὴν θέωσιν τοῦ Ἁγίου σημαίνει. Ἡ βασιλικὴ κατεστράφη τῷ 1010, ἐπανοικοδομηθεῖσα ὑπὸ τῶν Σταυροφόρων. Τῷ 1191 κατὰ τὴν τρίτην Σταυροφορίαν κατεστράφη καὶ πάλιν ὑπὸ τοῦ σουλτάνου Σαλαδίνου. Ἡ ἐν Λύδδῃ νῦν ἐκκλησία αὐτοῦ ἀνηγέρθη τῷ 1872. Τὸν τάφον τοῦ Ἁγίου Γεωργίου ἐν Λύδδῃ τῆς Παλαιστίνης ἀναφέρει πρῶτος ὁ προσκυνητὴς διάκονος Θεοδόσιος κατὰ τὸν ἕκτον αἰῶνα.

Ἡ τιμὴ τοῦ Ἁγίου Γεωργίου ἤρξατο διαδιδομένη ἀνὰ τὴν οἰκουμένην. Ἤδη κατὰ τὸν τέταρτον αἰῶνα ὑπῆρχον ναοί, ἀφιερωμένοι αὐτῷ ἐν Συρίᾳ. Ἐν Αἰγύπτῳ ἱδρύθησαν πρὸς τιμὴν αὐτοῦ τεσσαράκοντα ναοὶ καὶ τρεῖς μοναί. Ἐν Κωνσταντινουπόλει μνημονεύεται ἡ ὕπαρξις ναοῦ αὐτοῦ ἤδη ἐπὶ Μεγάλου Κωνσταντίνου. Κατὰ τὸν πέμπτον αἰῶνα ἡ τιμὴ αὐτοῦ διὰ τοῦ Βυζαντίου διεδόθη καὶ εἰς τὴν Δύσιν.

Κατὰ τὸν τέταρτον αἰῶνα ἡ τιμὴ τοῦ Ἁγίου Γεωργίου ἔφθασε καὶ εἰς Γεωργίαν. Κατὰ τὸ Ἁγιολόγιον τῆς Γεωργίας Εὐαγγελίστρια τῆς χώρας ὑπῆρξεν ἡ Ἁγία Νῖνα, συγγενὴς τοῦ Ἁγίου Γεωργίου, ἧς ἡ μνήμη τιμᾶται τῇ εἰκοστῇ τρίτῃ Νοεμβρίου. Ὁ Ἅγιος Γεώργιος εἶναι εἷς τῶν πολιούχων Ἁγίων τῆς Γεωργίας, ὅστις μετεσχημάτισε καὶ τὸ ὄνομα αὐτῆς. Τὸ ἐθνικὸν ὄνομα τῆς χώρας εἶναι *Σακαρτβέλο* καὶ τὸ ἐξώνυμον αὐτῆς ἐν τῇ Περσικῇ γλώσσῃ *Γκούρτζ*. Οἱ Εὐρωπαῖοι ἀπέδωσαν τὸ περσικὸν ὄνομα διὰ τοῦ *Γεωργία* διὰ τὴν εἰδικὴν τιμὴν τοῦ Ἁγίου Γεωργίου ἐν τῇ χώρᾳ, ὡς λέγουσι. Κατὰ τὴν παράδοσιν ὑπάρχουσι τριακόσιοι ἑξήκοντα πέντε ὀρθόδοξοι ναοὶ ἐν Γεωργίᾳ, ὅσαι καὶ αἱ ἡμέραι τοῦ ἔτους, ἀφιερωμένοι τῷ Ἁγίῳ Γεωργίῳ. Τὸ σῶμα τοῦ Ἁγίου διεμελίσθη εἰς τόσα τεμάχη, ὅσαι αἱ ἡμέραι τοῦ ἔτους, διασκορπισθέντα καθ᾽ ὅλην τὴν χώραν. Ἅπασα ἡ Γεωργία εἶναι τόπος, εὐλογηθεὶς ὑπὸ τοῦ Ἁγίου Γεωργίου.

Ἡ Κοπτικὴ Ἐκκλησία τῆς Ἀλεξανδρείας ἑορτάζει τὸ μαρ-

www.tezaurliturgic.ro

τύριον τοῦ Ἁγίου Γεωργίου τῇ πρώτῃ Μαΐου καὶ τὴν καθιέρωσιν τοῦ πρώτου ναοῦ αὐτοῦ τῇ δεκάτῃ ἑβδόμῃ Νοεμβρίου. Μεγάλως τιμῶσα αυτόν, ἀποκαλεῖ Πρίγκιπα τῶν Μαρτύρων.

Ὁ Ἅγιος Γεώργιος συνεδέθη πρὸς τὸν Ἅγιον Δημήτριον, ἕτερον πρώιμον στρατιώτην Ἅγιον. Ὅταν οἱ δύο οὗτοι Ἅγιοι εἰκονίζωνται ὁμοῦ ἔφιπποι, συνδέονται πρὸς ἐπιγείους ἐμφανίσεις τῶν Ἀρχαγγέλων Μιχαὴλ καὶ Γαβριήλ. Ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ ὁ Ἅγιος Γεώργιος εἰκονίζεται ἐπὶ λευκοῦ ἵππου, καταβάλλων τὸν δράκοντα, καὶ ὁ Ἅγιος Δημήτριος ἐπὶ ἐρυθροῦ, καταβάλλων τὸν Μαξιμιανόν.

Ἐπ᾽ ὀνόματι τοῦ Ἁγίου Γεωργίου ἱδρύθησαν ἐκκλησιαστικὰ καὶ ἱπποτικὰ τάγματα, ὡς τὸ τάγμα τῆς Ἀραγῶνος τῷ 1201, τῆς Γενούης, τῆς Οὐγγαρίας, τῆς Ἁγίας Ῥωμαϊκῆς Αὐτοκρατορίας ὑπὸ τοῦ αὐτοκράτορος Φρειδερίκου τοῦ Γ΄, τῆς Ῥωσσίας, τῆς Σικελίας, τῆς Ἀγγλίας. Τὰ διάσημα τῶν ταγμάτων ἀπενέμοντο ἐπ᾽ ἀνθραγαθίᾳ ἐν πολέμῳ.

Ἡ τιμὴ τοῦ Ἁγίου Γεωργίου ἀνεζωπυρήθη ἐν Εὐρώπῃ ἐκ τῶν ἐπανακαμπτόντων ἐκ τῆς Ἀνατολῆς Σταυροφόρων, ἰδόντων αὐτὸν ἐρχόμενον εἰς ἐπικουρίαν αὐτῶν κατὰ τὴν ἅλωσιν τῆς Ἀντιοχείας τῷ 1089.

Ὁ δοὺξ τῆς Νορμανδίας Ῥοβέρτος ὁ Β΄, υἱὸς τοῦ Γουλιέλμου τοῦ Κατακτητοῦ, ἐπιστρέφων ἐκ τῆς Ἱερουσαλήμ, ἀνεκήρυξεν ὡς πολιοῦχον τῆς Νορμανδίας τὸν Ἅγιον Γεώργιον.

Ἐν Ἀγγλίᾳ μνημονεύεται ὡς ὁ ἀρχαιότερος ναὸς τοῦ Ἁγίου Γεωργίου ὁ ἀφιερωθεὶς ὑπὸ τοῦ Ἀλφρέδου τοῦ Μεγάλου (848-900) κατὰ τοὺς πολέμους αὐτοῦ. Ἡ σύνοδος τῆς Ὀξφόρδης τῇ εἰκοστῇ τρίτῃ Ἀπριλίου τῷ 1222 ἀνεκήρυξε τὴν ἑορτὴν τοῦ Ἁγίου Γεωργίου ὡς ἑορτὴν τοῦ βασιλείου τῆς Ἀγγλίας. Ὁ βασιλεὺς Ἐδουάρδος ὁ Γ΄ τῷ 1340 ἵδρυσε τὸ Τάγμα τῆς Περικνημῖδος, ὅπερ ἔθεσεν ὑπὸ τὸ λάβαρον τοῦ Ἁγίου Γεωργίου,

www.tezaurliturgic.ro

ἀφιερώσας αὐτῷ καὶ παρεκκλήσιον ἐν Οὐίνδσωρ. Ἔκτοτε ἐθεωρήθη ὡς πολιοῦχος Ἅγιος τῆς Ἀγγλίας. Ἀπὸ τῆς ἐμφανίσεως τοῦ Οἴκου τοῦ Ἀννοβέρου τῷ 1714 βασιλεῖς ἐπὶ ἑκατὸν δεκαὲξ συνεχῆ ἔτη ἔφερον τὸ ὄνομα Γεώργιος. Κατὰ τὴν ἀγγλικὴν μεταῤῥύθμισιν τῷ 1552 κατηργήθησαν οἱ Ἅγιοι, πλὴν τοῦ Ἁγίου Γεωργίου, ὅστις ἀνηγορεύθη πολιοῦχος Ἅγιος τῆς Ἀγγλίας. Κατὰ τὸν ἑκατονταετῆ πόλεμον (1337-1453) οἱ Ἄγγλοι στρατιῶται ἐχρησιμοποίουν τὸ ὄνομα τοῦ Ἁγίου Γεωργίου ὡς πολεμικὴν ἰαχήν. Ὁ Ἅγιος Γεώργιος ἐν Ἀγγλίᾳ συνεδέθη καὶ πρὸς τὸν κύκλον τοῦ βασιλέως Ἀρθούρου, ὡς προστάτης τῶν Ἱπποτῶν τῆς Στρογγύλης Τραπέζης.

Τῷ 1190 ἡ Ἀγγλία υἱοθέτησε τὴν σημαίαν τοῦ Ἁγίου Γεωργίου, ἐρυθρὸν σταυρὸν ἐν λευκῷ βάθει, εἰς τὰ πλοῖα αὐτῆς, τὰ πλέοντα ἐν τῇ Μεσογείῳ. Ἡ σημαία τῆς Σκωτίας ἔφερε τὸν χιαστὶ σταυρὸν τοῦ Ἀποστόλου Ἀνδρέου. Διὰ τῆς ἑνώσεως τῶν δύο σημαιῶν τῷ 1606 προῆλθεν ἡ Ἡνωμένη Σημαία τοῦ Ἡνωμένου Βασιλείου, παρασταθεῖσα καὶ ἐν ταῖς σημαίαις τῆς Αὐστραλίας καὶ τῆς Νέας Ζηλανδίας.

Ἐμφανισθεὶς ἐν μάχῃ καὶ ἐπικουρήσας τοῖς Πορτογάλοις, ὁ Ἅγιος Γεώργιος ἀνηγορεύθη κατὰ τὸν δέκατον τέταρτον αἰῶνα πολιοῦχος τῆς Πορτογαλίας. Ὁ βασιλεὺς Ἰωάννης ὁ Α΄ ὥρισεν, ὅπως τὸ ἄγαλμα τοῦ Ἁγίου Γεωργίου μεταφέρηται ἐπὶ ἵππου κατὰ τὴν λιτανείαν τοῦ Σώματος τοῦ Χριστοῦ. Τὸ ἔμβλημα τοῦ πορτογαλικοῦ στρατοῦ ἀναγράφει: «Ἡ Πορτογαλία καὶ ὁ Ἅγιος Γεώργιος ἐν κινδύνοις καὶ ἀγῶσι πολέμου.»

Γλυπτά, εἰκονίζοντα τὴν δρακοντοκτονίαν τοῦ Ἁγίου Γεωργίου, εὑρίσκονται ἐν τῇ Παλαιᾷ Ἐκκλησίᾳ ἐν τῇ Παλαιᾷ Πόλει τῆς Στοκχόλμης. Ἐν Σουηδίᾳ ἡ δρακοντοκτονία ἐκλαμβάνεται ἀλληγορικῶς. Ἡ σῳζομένη βασιλόπαις θεωρεῖται τὸ βασίλειον τῆς Σουηδίας καὶ ὁ δράκων εἰσβάλλων ἐχθρός.

Ἐν Ῥωσσίᾳ ἡ εἰκοστὴ ἕκτη Νοεμβρίου ἑορτάζεται ὡς ἡ ἡμέρα ἀφιερώσεως ναοῦ τοῦ Ἁγίου Γεωργίου ἐν Κιέβῳ.

Ὑποδησάμενοι τὰ ὑποδήματα τῆς ἀφιερώσεως καὶ ἀναλαβόντες τὴν βακτηρίαν τῆς δυνάμεως, ἐπορεύθημεν ὁδοὺς ἐν τῇ οἰκουμένῃ πρὸς ὑπάντησιν τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου. Ὑπαντήσαμεν τοῦτον ἐν πλατείαις καὶ γωνίαις τοῦ κόσμου, δοξάζοντα τὸν Θεὸν καὶ μαρτυροῦντα ὑπὲρ Αὐτοῦ ἐν ἀνθρώποις. Ὁ Θεὸς διαχέει τὴν χάριν τοῦ Ἁγίου Πνεύματος εἰς τοὺς ἀνθρώπους διὰ τῶν Ἁγίων Αὐτοῦ. Ὁ στρατιώτης τοῦ Θεοῦ Γεώργιος ἐτιμήθη παρ᾽ ἀνθρώποις ὡς ὁ πρῶτος Ἅγιος ἐν Μάρτυσιν, ὁ καταβαλὼν τὸν βύθιον δράκοντα, ὁ ταχὺς ἀντιλήπτωρ, ὁ ἀκαταμάχητος σύμμαχος.

Ὁ Ἅγιος Ἀπόστολος Εὐαγγελιστὴς Ἰωάννης ἄρχεται τοῦ Εὐαγγελίου αὐτοῦ διὰ τοῦ Λόγου, ὅστις εἶναι ὁ Θεός, ἐνοικῶν καὶ ἐν ἀνθρώποις:

«*Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος*» (Ἰω α΄ 1).

Ὁ ἄνθρωπος, ἔχων ἐν ἑαυτῷ τὸν Λόγον, πιστοποιεῖ τὴν ὕπαρξιν τοῦ Θεοῦ, μόνος ἐν τῇ δημιουργίᾳ. Ὁ Λόγος δὲν εἶναι Ἔργον, διότι τότε ἡ δημιουργία θὰ ἦτο θεός. Οὐδὲ εἶναι Γνῶσις, διότι τότε ὁ παντελεύθερος καὶ ὑπερεπέκεινα Θεὸς θὰ ὑπήγετο εἰς τὴν γνῶσιν τοῦ ἀνθρώπου.

Οἱ Ἅγιοι διὰ τῆς παρεχομένης αὐτοῖς χάριτος μαρτυροῦσι τοῖς ἀνθρώποις τὸν Λόγον, ὅστις ἀναφέρει αὐτοὺς τῷ Θεῷ καὶ τελεσιουργεῖ τὴν θέωσιν. Ὁ Ἅγιος Γεώργιος ἐν τῇ δόξῃ αὐτοῦ μαρτυρεῖ ἐν ἀνθρώποις ὑπὲρ τοῦ χαριτώσαντος αὐτὸν μόνου Θεοῦ, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς ὑπεραιῶνας τῶν ὑπεραιώνων· ἀμήν.

www.tezaurliturgic.ro

# ΕΠΙΛΕΛΕΓΜΕΝΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ


*Acta Sanctorum*

*Bibliotheca Hagiographica Graeca*

Burkitt, F. C., *Euphemia and the Goth*

Butler's *Lives of the Saints*

Delehaye, Hippolyte, *Les Legendes Grecques des Saints Militaires*

Δετοράκης, Θεοχάρης, *Μηνᾶς ὁ Μεγαλομάρτυς, Ὁ Ἅγιος τοῦ Μεγάλου Κάστρου, Ἁγιολογικὰ-Ὑμνογραφικὰ-Ἱστορικὰ*

*Encyclopedia Judaica*

*Θρησκευτικὴ καὶ Ἠθικὴ Ἐγκυκλοπαιδεία*

Λάγγης, Ματθαῖος, *Ὁ Μέγας Συναξαριστὴς τῆς Ὀρθοδόξου Ἐκκλησίας*

McGrath, Alister E., *Historical Theology*

*Μεγάλη Ἑλληνικὴ Ἐγκυκλοπαιδεία*

*Μεγάλη Ὀρθόδοξη Χριστιανικὴ Ἐγκυκλοπαίδεια*

*Μηναῖα*

*New Catholic Encyclopedia*

Νικοδήμου, Ἁγίου Ἁγιορείτου, *Συναξαριστὴς τῶν Δώδεκα Μηνῶν τοῦ Ἐνιαυτοῦ*

Παπαδάκης, Χρυσόστομος Ἰ., *Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου Ὑμνογραφικὰ καὶ Ἐγκωμιαστικὰ*

*Patrologia Graeca*

*Propylaeum ad Acta Sanctorum*

*The Oxford Dictionary of Byzantium*

www.tezaurliturgic.ro

Δρος Χαραλάμπους Μ. Μπούσια
*Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας*

# ΑΚΑΘΙΣΤΟΣ ΥΜΝΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΔΡΑΚΟΝΤΟΚΤΟΝΟΝ ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ



www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

Ἐν ἀρχῇ τοῦ Ἀκαθίστου Ὕμνου λέγομεν τὰ προκαταρ-
κτικὰ τοῦ Μικροῦ Ἀποδείπνου ἕως τοῦ «Ἄξιόν ἐστι.»
Τὸ λοιπὸν αὐτοῦ μέρος ψάλλομεν ἐν τέλει τοῦ Ἀκαθίστου.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Δρακοντοκτόνον στρατηλάτην εὐφημήσωμεν,
τροπαιοφόρον, πᾶσι νάματα δωρούμενον
ἀφθαρσίας ἀκενώτου Χριστοῦ ἀγάπης
ἐκ πηγῆς τῆς ζωηφόρου, καθαρτήριον
τῆς ἀπάτης τῶν εἰδώλων ῥύπου χεύμασιν
ἄθλων κράζοντες· Χαίροις, Μάρτυς Γεώργιε.

Εἶτα ὁ Κανὼν τοῦ Μεγαλομάρτυρος, οὗ ἡ Ἀκροστιχίς·

«Γεώργιε, ὁ δράκοντα συντρίψας, χαῖρε. Χ.»

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Γεώργιε, ἄγαλμα
τῆς ἀρετῆς θεοσμίλευτον,

Κυρήνης ὁ χάριτι
σῇ ἁγιάσας πηγὴν
καὶ τὸν δράκοντα
συντρίψας τῶν εἰδώλων
ἐν ταύτῃ, πανεύφημε,
χαῖρε, τὸν κείμενον.

Ἐπίσταξον ἅπασι
τὸν ὑετὸν τῆς σῆς χάριτος
ἡμῖν μεγαλύνουσι
κατορθωμάτων πληθὺν
τῶν ἀπείρων σου,
Γεώργιε τρισμάκαρ,
πρὸς πάντων ἀνάψυξιν
βίου ἐν καύματι.

Ὡς φρέαρ ἀκένωτον
τῶν δωρημάτων τοῦ Πνεύματος
σὲ πάντες, Γεώργιε,
ἀνευφημοῦμεν λαμπρῶς,
τὸν δροσίζοντα
θεοπειθῶν εὐχῶν σου
ῥανίσι τοὺς σπεύδοντας
ταῖς ἱκεσίαις σου.

Θεοτοκίον.

Ῥοάς μου ἀπόσμηξον
πολλῶν δακρύων, Μητρόθεε,

τῷ μάκτρῳ ἀγάπης σου
καὶ ἀνυστάκτου φρουρᾶς
πρὸς τοὺς δούλους σου,
ὦ Κεχαριτωμένη,
ἀπαύστως ἐν ᾄσμασι
σὲ μεγαλύνοντας.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Γεώργιε, Μάρτυς τροπαιοῦχε,
σεπτῶν Καππαδόκων θησαυρέ,
Πολυχρονίας μάκαρος
καὶ Γεροντίου εὔοσμον
λευκάνθεμον, καθήδυνας
πιστοὺς εὐχῶν εὐωδίᾳ σου.

Ἰσχὺν εἰληφὼς θεόθεν, Μάρτυς,
πηγὰς ἀπεξήρανας ταχὺ
εἰδώλων καὶ ἀνέβλυσας
θεογνωσίας νάματα
λαοῖς πανδείνως στένουσιν
ἐν ἀγνωσίας τῷ καύματι.

Ἐνστάσει, Γεώργιε, στεῤῥᾷ σου
κατήσχυνας τύραννον στυγνὸν
λατρεύοντα τὰ εἴδωλα
καὶ ηὔφρανας ὁμήγυριν
πιστεύουσαν εἰς Κύριον,
Λόγον Θεοῦ Παντοκράτορα.

Θεοτοκίον.

Ὁδὸν καθυπόδειξον σοῖς δούλοις
ἀπάγουσαν πρὸς τῶν οὐρανῶν
σκηνώματα, Μητρόθεε,
λαμπρῶς σε μακαρίζουσιν
ὡς ἀπλανῆ ἰθύντειραν
Χριστιανῶν πρὸς τὴν θέωσιν.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Δεῦτε, ᾄσμασιν εὐτάκτοις
τροπαιοῦχον Γεώργιον,
τὸν δρακοντοκτόνον,
μέλψωμεν ἀνδρείας ὡς χείμαῤῥον
καὶ ποταμὸν εὐτολμίας παρακλήσεσι
πρὸς τὸν Ὕψιστον
ψυχῶν ἀρούρας ποτίζοντα.

Ῥαντισμῷ σῆς εὐψυχίας
καὶ ἀνδρείας, Γεώργιε,
δράκοντα εἰδώλων
κρήνην τῆς Κυρήνης φυλάττοντα,
τροπαιοφόρε, ἀπέκτεινας καὶ ὕδατα
καθηγίασας
αὐτῆς δυνάμει τοῦ Κτίσαντος.

Ἀθλητὰ Μεγαλομάρτυς,
ὁ συντρίψας τὰ εἴδωλα

καὶ πηγὴν ξηράνας
χάριτι Θεοῦ ὑπὸ δράκοντος
φυλαττομένην, Γεώργιε πανθαύμαστε,
ἐμεγάλυνας
τῆς εὐσεβείας τὴν δύναμιν.

Θεοτοκίον.

Κάθαρόν μου βορβορῶδες
τῆς καρδίας ἱμάτιον
ῥυπτικαῖς εὐχαῖς σου
πρὸς Υἱόν σου, κόσμου τὸν αἴροντα
τὰς ἁμαρτίας, Κυρία Μητροπάρθενε,
καθαρτήριον
τοῦ Χριστωνύμου πληρώματος.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ὁ τρώσας τὸν δράκοντα
τῷ δόρατι σῆς χάριτος
κρήνην τὸν φυλάσσοντα εἰδώλων
καὶ δοῦναι ὕδωρ
τοῖς Χριστωνύμοις πιεῖν
κωλύοντα, ἔνδοξε, αὐτὸν
ηὔφρανας, Γεώργιε,
εἰς Χριστὸν τοὺς πιστεύοντας.

Νασμὸν ἀπεκάθηρας
ἐκ Ναϊάδων, ἔνδοξε,

πόλιν τὸν ἀρδεύοντα Κυρήνης
Σταυροῦ δυνάμει,
Μεγαλομάρτυς στεῤῥέ,
Γεώργιε μάκαρ, τοῦ Χριστοῦ
Στρατηλάτα εὔφημε
καὶ δαιμόνων ἀντίπαλε.

Ταμεῖον, Γεώργιε,
ἀφάτου γενναιότητος,
ᾔσχυνας ἀγῶσί σου ἀρίστοις
εἰδώλων λάτρην,
φεῦ, Διοκλητιανὸν
καὶ ηὔφρανας δῆμον εὐσεβῶν
δρόσῳ τῆς σῆς χάριτος
καὶ προνοίας σου νάμασι.

Θεοτοκίον.

Ἀφθόνως κατάπεμψον
ἡμῖν τῆς προστασίας σου
ὄμβρον οὐρανόθεν, Θεοκῦμον,
καὶ θείας σκέπης
τὸν ὑετόν, ἀγαθή,
τοῖς πόθῳ τιμῶσί σου πληθὺν
θαυμασίων, ἄχραντε,
ὑπερύμνητε Δέσποινα.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Σέ, τροπαιοῦχε Γεώργιε,
τὸν ἐλευθερωτὴν ἐκ τοῦ δράκοντος
ἐγκωμιάζοντες
ὀδόντων τοῦ εἰδωλόφρονος
ἁπάντων Χριστωνύμων
μνήμην σου ἄγομεν.

Ὑμνοῦντες, Μάρτυς Γεώργιε,
Διοκλητιανοῦ σὲ ὡς ἄφρονος
τραῦμα δοξάζομεν
Χριστόν, τὸν σὲ θαυμαστώσαντα
καὶ δράκοντα νικῆσαι
καταξιώσαντα.

Νικήσας δράκοντα, ἔνδοξε
Γεώργιε, εἰδώλων, Ἀπόλλωνος
φρέαρ φυλάττοντα
Κυρήνης δήμους ἠγλάϊσας
Χριστιανῶν ἐν ὕμνοις
σὲ μεγαλύνοντας.

Θεοτοκίον.

Ταῖς σαῖς εὐχαῖς καταφεύγοντες
ἐν βίου τρικυμίαις καὶ θλίψεσι,
Θεογεννήτρια,
δοξολογοῦμεν τὸν Τόκον σου

ἡμᾶς ἐκ τοῦ θανάτου
ἐλευθερώσαντα.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.

Ῥίψας λόγων σου
τὸ δόρυ ἀπεχθέστατον
εἰδώλων δράκοντα
ἔκτεινας, Μάρτυς στεῤῥέ,
καὶ κόσμον ἐπότισας
νάματα πίστεως
ἀναβλύζοντα
ἐκ τῆς πηγῆς, Γεώργιε,
τοῦ Υἱοῦ Θεοῦ χειλέων.

Ἰσχυρότατος
καὶ τροπαιοῦχος πέφηνας
ἐν μάχαις, ἄλκιμε,
Στρατάρχα τοῦ Ἰησοῦ,
Γεώργιε πάντιμε,
κατὰ τοῦ δράκοντος
τοῦ Ἀπόλλωνος,
ῥοὴν πηγῆς κωλύοντος
σβέσαι δίψαν Χριστωνύμων.

Ψάλλειν ἄθλους σου,
Γεώργιε, ἀξίωσον
ἡμᾶς, πανένδοξε,
οὓς ἔτλης περιφανῶς

διὰ τὴν ἀλήθειαν
καὶ τὴν εὐσέβειαν,
Μάρτυς ἄριστε,
ὁ θριαμβεύσας δράκοντα
ἐν Κυρήνῃ τῶν εἰδώλων.

Θεοτοκίον.

Ἁγιάζουσα
καὶ εὐλογοῦσα δούλους σου
μὴ παύσῃ, Δέσποινα,
τοὺς ἀνυμνοῦντας λαμπρῶς
πληθὺν θαυμασίων σου
καὶ μεγαλύνοντας
τὰ παλαίσματα
τοῦ τροπαιούχου Μάρτυρος
ἐν σταδίῳ, Γεωργίου.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Σύντριμμα τοῦ δράκοντος εἰδώλων
καὶ τάχιστος ἐλευθερωτὴς ὀφθείς, Γεώργιε,
αἰχμαλώτων, ἤλεγξας
τοὺς ἐχθροὺς δριμύτατα
καὶ αἰκισμοὺς ὑπέμεινας
τροχοῦ ὡς ἄσαρκος,
ἐγκαύματα ἀσβέστου καὶ τμῆσιν
κάρας σου τιμίας
Χριστὸν ὁμολογούσης.

Χαίροις, Στρατηλάτα τροπαιοῦχε,
Γεώργιε, ὁ ἑλκύσας εἰς εὐσέβειαν
καὶ εἰς ἄθλους πίστεως
εὐσθενεῖ ἐνστάσει σου
τοὺς θείους, Ἀνατόλιον
καὶ Πρωτολέοντα,
τὴν ἄνασσαν, σεμνὴν Ἀλεξάνδραν,
σὺν Ἀθανασίῳ
τῷ μάγῳ, καλλιμάρτυς.

Ἄσειστον, Γεώργιε ἀλκίφρον,
θεμέλιον τοῦ Χριστοῦ ἁγίας πίστεως
πεφηνὼς ἐπέδειξας
καρτερίαν, ἄριστε,
ἀδάμας ὡς πολύτιμος,
εἰς κολαστήρια,
ὁ δράκοντα εἰδώλων λατρείας
δόρατι ἀνδρείας
ψυχῆς σου ἀποκτείνας.

Θεοτοκίον.

Ἴθυνον πρὸς δόμους ἀφθαρσίας
τοὺς πίστει σε μεγαλύνοντας ἀείποτε,
Παναγία Δέσποινα,
κόσμου ὡς ἰθύντειραν
ἀπλανεστάτην, πάναγνε,
πρὸς ἀγαλλίασιν

τοῦ πόλου, ἔνθα ἑορταζόντων
ἦχος καὶ βοώντων·
Σοὶ δόξα πρέπει, Σῶτερ.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ῥεύμασι τῆς σῆς
εὐψύχου ἐνστάσεως
ἐχθροὺς ἀπέπνιξας
πίστεως, Γεώργιε,
καὶ Χριστωνύμων
χοροὺς ἐδρόσισας,
σημειοφόρε Ἅγιε,
Στρατάρχα ἔνδοξε,
ὁ Κυρήνης
ἀποκτείνας δράκοντα,
τῶν εἰδώλων τὸ φρέαρ φυλάττοντα.

Ἔσωσας ταχὺ
ἐκ στόματος δράκοντος
τὴν βασιλόπαιδα
πίστιν τὴν χριστώνυμον
σῇ εὐτολμίᾳ,
στεῤῥὲ Γεώργιε,
καὶ εὐσεβεῖς ἐπότισας
νάμασι πίστεως
ἀειζώου,

εὐσταλὲς μεγάλαθλε,
Στρατηλάτα Χριστοῦ Παντοκράτορος.

Χαῖρε, ἀθλητὰ
Ὑψίστου, Γεώργιε,
περιφανέστατε,
γεωργοῦ διάσωσμα
τοῦ Γλυκερίου
καὶ ἀγαλλίαμα
πανευκλεῶν συνάθλων σου,
μεθ᾿ ὧν ἀείποτε
συγχορεύεις
πόλου ἐν σκηνώμασι
καὶ Θεοῦ ἀπολαύεις λαμπρότητος.

Θεοτοκίον.

Μῆτερ τοῦ Θεοῦ,
πιστῶν καταφύγιον
ἐν περιστάσεσι,
τοὺς ὑμνοῦντας σκάμματα
τοῦ Γεωργίου
τοῦ καλλιμάρτυρος
εὐλόγει ἐξ εὐκλείας σου
τοῦ ὕψους, Δέσποινα,
Παναγία,
σκέπη καὶ κραταίωμα
εὐσεβῶν καὶ θερμὸν ἱλαστήριον.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Δρακοντοκτόνον στρατηλάτην εὐφημήσωμεν,
τροπαιοφόρον, πᾶσι νάματα δωρούμενον
ἀφθαρσίας ἀκενώτου Χριστοῦ ἀγάπης
ἐκ πηγῆς τῆς ζωηφόρου, καθαρτήριον
τῆς ἀπάτης τῶν εἰδώλων ῥύπου χεύμασιν
ἄθλων κράζοντες· Χαίροις, Μάρτυς Γεώργιε.

Οἱ Οἶκοι.

Ἄγγελος εὐψυχίας
καὶ ἀνδρείας ὡς ἄλλος,
Γεώργιε, Χριστοῦ καλλιμάρτυς, (ἐκ γ΄)
κατετρόπωσας ἄθλοις τοῖς σοῖς
δράκοντα εἰδώλων ζωηρὰ νάματα
στεροῦντα ἐκ συστήματος
πιστῶν, πανευλαβῶς βοώντων·

Χαῖρε, τὸ στίγμα τῆς εὐσεβείας·
χαῖρε, τὸ ῥῆγμα τῆς ἀσεβείας.
Χαῖρε, ἐλατὴρ τοῦ ἐχθίστου κακότητος·
χαῖρε, ὁ λαμπτὴρ ψυχικῆς γενναιότητος.
Χαῖρε, ὅτι ἄθλοις ἔτρωσας δράκοντα τὸν νοητόν·
χαῖρε, ὅτι ἐθανάτωσας δράκοντα τὸν ὑπαρκτόν.
Χαῖρε, κόσμον εἰδώλων πλάνης ἐλευθερώσας·
χαῖρε, δρόμον ἀγώνων ἱερῶν διανύσας.

Χαῖρε, ψαλτήριον πίστεως εὔηχον·
χαῖρε, λυτήριον δράκοντος ἄμεσον.
Χαῖρε, ἡ κάθαρσις κρήνης Κυρήνης·
χαῖρε, ἡ ἔλλαμψις θείας γαλήνης·
Χαίροις, Μάρτυς Γεώργιε.

Βέλεμνα τῶν σεβόντων
ἀναισθήτους, φεῦ, λίθους
ἀπέκρουσας τῷ δόρατι, μάκαρ,
τοῦ τιμίου Κυρίου Σταυροῦ
καὶ τῆς εὐσεβείας παμφαὲς τρόπαιον
ἀνήγειρας, Γεώργιε,
ὁ ψάλλων ἀκλινῶς Κυρίῳ·
Ἀλληλούϊα.

Γέρα τῆς ἀφθαρσίας
ἐκομίσω θεόθεν,
Γεώργιε, γεράσμιε Μάρτυς,
ὁ στυγνοῦ Διοκλητιανοῦ
ἐδαφίσας θράσος καὶ λαμπρὸν μέλαθρον
ἐγείρας θείας πίστεως·
διό σοι εὐλαβῶς φωνοῦμεν·
Χαῖρε, ἡ σάλπιγξ ἀνδραγαθίας·
χαῖρε, ἡ σῦριγξ τῆς εὐσεβείας.
Χαῖρε, ὁ συντρίψας ἀρχέκακον δράκοντα·
χαῖρε, ὁ ποτίσας πιστοὺς θεῖα νάματα.

Χαῖρε, ὅτι καθυπέμεινας τὸν κατώδυνον τροχόν·
χαῖρε, ὅτι ἠλευθέρωσας τὸν ζωήῤῥυτον κρουνόν.

Χαῖρε, Πολυχρονίας εὐθαλέστατος γόνος·
χαῖρε, τῆς Ἐκκλησίας ἀδιάσειστος στῦλος.

Χαῖρε, ἐχθρῶν τῆς πίστεως ἥττημα·
χαῖρε, πολλῶν νοσούντων τὸ ἴαμα.

Χαῖρε, υἱὸς κραταιοῦ Γεροντίου·
χαῖρε, σεμνὸς ἀθλητὴς τοῦ Κυρίου.

Χαίροις, Μάρτυς Γεώργιε.

Δόρατι ἀγχεμάχῳ
σοῦ, Γεώργιε Μάρτυς,
τοῦ δράκοντος ἐκέντησας κάραν,
τοῦ φρουροῦντος Κυρήνης κρουνόν,
ἐν ᾧ Ναϊάδες, ἀθλητὰ πρώταρχε,
ἐλούοντο, καὶ νάματα
ἀπέδωκας αὐτοῦ βοῶσιν·

Ἀλληλούϊα.

Ἔνδοξε Στρατηλάτα,
Καππαδόκων γῆς φύτρον,
σεμνῆς Πολυχρονίας ἐκ μήτρας
καὶ κλεινοῦ Γεροντίου, στεῤῥέ,
ἐξ ὀσφύος, Μάρτυς, ὡς ἡδὺ κύμινον
ἐβλάστησας, Γεώργιε,
ὁ πάντας διεγείρων ψάλλειν·

Χαῖρε, εἰδώλων ὁ καταλύτης·
χαῖρε, τροπαίων ὁ ἀποδέκτης.
Χαῖρε, ὁ αἰσχύνας τοὺς λίθους λατρεύοντας·
χαῖρε, ὁ ἐλέγξας τυράννους κακόφρονας.
Χαῖρε, ὅτι προσωμίλησας ταῖς ἀκίσι τοῦ τροχοῦ·
χαῖρε, ὅτι κατεπάτησας τὴν ὀφρὺν τοῦ μιαροῦ.
Χαῖρε, πολυθεΐας πλατυσμὸν ὁ συστείλας·
χαῖρε, ὁ τὰς χορείας εὐσεβῶν ἀγλαΐσας.
Χαῖρε, σκηπτὸς συντρίβων τὸν δράκοντα·
χαῖρε, φανὸς αὐγάζων τὰ σύμπαντα.
Χαῖρε, πιστῶν τὸ θεόσδοτον σθένος·
χαῖρε, ἐχθρῶν ἀδυσώπητον μένος.
Χαίροις, Μάρτυς Γεώργιε.

Ζήλου ἔμπλεως θείου
ὤν, Γεώργιε Μάρτυς,
βροτοὺς ἀπηλευθέρωσας πλάνης
τῶν εἰδώλων καὶ δόρατι σῷ
δράκοντα φρουροῦντα τῆς πηγῆς νάματα
ἀπέκτεινας τῆς γνώσεως
Θεοῦ, Ὢ ἀσιγήτως ᾖδες·
Ἀλληλούϊα.

Ἤνεγκας τῶν βασάνων
καὶ κακώσεων πόνους,
Γεώργιε, ὡς πάσχοντος ἄλλου,

καὶ πρὸς ἄθλησιν, Μάρτυς στεῤῥέ,
ὡς ὠκύπους ἔδραμες ταχὺ ἔλαφος,
Μεγαλομάρτυς ἔνδοξε,
πρὸς ὃν οἱ εὐσεβεῖς βοῶμεν·

Χαῖρε, ὁ ὅρπηξ τῆς ἀριστείας·
χαῖρε, ὁ πέλυξ τῆς τυραννίας.

Χαῖρε, ὁ αἰσχύνας τοὺς εἴδωλα σέβοντας·
χαῖρε, ὁ φαιδρύνας Θεὸν τοὺς λατρεύοντας.

Χαῖρε, δράκοντος τοῦ φρέατος τῶν εἰδώλων συντριβή·
χαῖρε, χάριτος ἀκένωτος θαυμασίων ἡ πηγή.

Χαῖρε, ἐμπεριστάτων ἀρωγὸς ἐν Κυρήνῃ·
χαῖρε, πολεμουμένων ἀλγεινῶς ἡ γαλήνη.

Χαῖρε, αὐλὸς ἀρίστης ἀθλήσεως·
χαῖρε, κρουνὸς ἡδίστης ἐκβλύσεως.

Χαῖρε, διψώντων τὸ εὔληπτον ὕδωρ·
χαῖρε, στενόντων τὸ πάμφωτον ἔαρ·

Χαίροις, Μάρτυς Γεώργιε.

Θέλων κατανικῆσαι
τῶν εἰδώλων τοὺς λάτρεις
νομίμως εἰς τὸ σκάμμα ἐῤῥίφθης
τῶν ἀγώνων καὶ σθένει Θεοῦ
τροπαιοῦχος ὤφθης, πάνυ Γεώργιε,
ὁ δόρατί σου δράκοντα
νεκρώσας μὴ εἰδότα ψάλλειν·

Ἀλληλούϊα.

Ἴσχυσας Ἀλεξάνδραν
βασιλίδα ἑλκύσαι
εἰς πίστιν τοῦ Χριστοῦ, ἀθλοφόρε,
καὶ Γλυκέριον τὸν γεωργόν,
οὗ τὸν βοῦν εὐχαῖς σου ξένως ἐζώωσας,
Γεώργιε πανθαύμαστε,
πρὸς ὃν οἱ εὐσεβεῖς βοῶμεν·

Χαῖρε, τὸ ῥεῖθρον τῶν ἰαμάτων·
χαῖρε, τὸ λίκνον πολλῶν θαυμάτων.

Χαῖρε, τὸ σεπτὸν βασιλίδος διάσωσμα·
χαῖρε, τὸ τερπνὸν Γλυκερίου ἀγλάϊσμα.

Χαῖρε, σύντριμμα θεόσδοτον τοῦ Διοκλητιανοῦ·
χαῖρε, καύχημα περίδοξον Ἐκκλησίας τοῦ Χριστοῦ.

Χαῖρε, δράκοντος κάραν ὁ ταχέως συνθλάσας·
χαῖρε, Πνεύματος χάριν δαψιλῶς ὁ ἑλκύσας.

Χαῖρε, κρουνοῦ εἰδώλων ἡ ξήρανσις·
χαῖρε, χοροῦ βροτῶν ἐξυγίανσις.

Χαῖρε, δεινὸς συντριμμὸς τῶν τυράννων·
χαῖρε, στεῤῥὸς στηριγμὸς τρυχομένων·

Χαίροις, Μάρτυς Γεώργιε.

Κρήνην φυλασσομένην
ὑπὸ τῶν Ναϊάδων
καὶ δράκοντος εἰδώλων Κυρήνης
ἠλευθέρωσας καὶ δι’ αὐτῆς
τῶν ναμάτων πλῆθος εὐσεβῶν, ἔνδοξε

Γεώργιε, ἐπότισας
ἐν ἄκρᾳ κατανύξει ψάλλον·

Ἀλληλούϊα.

Λάμψας αὐγαῖς ἀνδρείας
πρὸ τῶν εἰδωλοφρόνων
τυράννων ὡς ἀστὴρ ἑωσφόρος
ἀσεβοῦς Διοκλητιανοῦ
ἔλυσας σκοτίαν καὶ αὐτοῦ σύνευνον
ἐφώτισας, Γεώργιε,
βοᾶν σοι ὁλοθύμως ταῦτα·

Χαῖρε, τὸ δόρυ τῆς ἀριστείας·
χαῖρε, τὸ δάκρυ τῆς συμπαθείας.

Χαῖρε, τῶν στενόντων ταχεῖα ἀνάψυξις·
χαῖρε, τῶν σωμάτων παθῶν ἡ κατάπαυσις.

Χαῖρε, Μάρτυς ἀκατάβλητε, δᾲς ἀνδρείας ψυχικῆς·
χαῖρε, ἄνερ ἐνιστάμενε κατ’ ἐχθροῦ ἐπιβουλῆς.

Χαῖρε, εἰδωλοφρόνων κακοτρόπων αἰσχύνη·
χαῖρε, εὐσεβοφρόνων θεϊκὴ εὐφροσύνη.

Χαῖρε, σταδίου πρώταρχε σκάμματος·
χαῖρε, Κυρίου ἔκτυπον χάριτος.

Χαῖρε, τυράννους ἀπίστους τροπώσας·
χαῖρε, ὁ λίθους ἀψύχους συντρίψας·

Χαίροις, Μάρτυς Γεώργιε.

Μέγιστος ἀθλοφόρων
τοῦ σταδίου ἐδείχθης,
Γεώργιε, ὁ σοῦ τοῖς ὀστέοις
ἀπαμβλύνας τὰ ἄκρα λογχῶν,
τοῦ τροχοῦ νικήσας αἰκισμούς, ἔνδοξε,
καὶ φάρμακον ὡς εὔγευστον
ποτήριον πιὼν κραυγάζων·
Ἀλληλούϊα.

Νέος ἐν ἡλικίᾳ,
πολιὲ ἐν φρονήσει,
Γεώργιε, καθεῖλες τυράννων
σῇ ἐνστάσει ὀφρύν, ἀθλητά,
καὶ συστρατιώτας σου λαμπροὺς ἔδειξας
συνάθλους σου, ὧν στόματα
διήνοιξας βοᾶν σοι ταῦτα·

Χαῖρε, ἡ στέψις Ἀνατολίου·
χαῖρε, ἡ τρῶσις τοῦ μισοκάλου.

Χαῖρε, ἀθλητοῦ Πρωτολέοντος θρίαμβος·
χαῖρε, τοῦ Χριστοῦ στρατιώτης ἀήττητος.

Χαῖρε, ὅτι ἐξουθένωσας τάχος δράκοντος ἰσχύν·
χαῖρε, ὅτι ἄθλοις ᾔσχυνας τῶν τυράννων τὴν ὀφρύν.

Χαῖρε, ἡ ἁγιότης μάγου Ἀθανασίου·
χαῖρε, ἡ κοσμιότης Ἐκκλησίας Κυρίου.

Χαῖρε, λαοῦ Κυρήνης διάσωσμα·
χαῖρε, ἐχθροῦ κακότητος ἥττημα·

Χαῖρε, πιστῶν ἐν πολέμοις τὸ νῖκος·
χαῖρε, ἡμῶν ἐν ἀγῶσι τὸ στέφος.

Χαίροις, Μάρτυς Γεώργιε.

Ξένων θαυμάτων πέλεις
αὐτουργὸς εἰς αἰῶνας,
Γεώργιε, Χριστοῦ τῇ δυνάμει,
Στρατηλάτα Αὐτοῦ εὐσθενές,
ὁ τροπώσας δράκοντα νέους ἐσθίοντα
Κυρήνης καὶ τὰ στόματα
ἀνοίξας εὐσεβούντων ψάλλειν·

Ἀλληλούϊα.

Ὄλβος τῆς Ἐκκλησίας
πολυτίμητος πέλων,
Γεώργιε, κοσμεῖς εἰς αἰῶνας
τοὺς Ἁγίους ἐφόρους ἡμῶν
καὶ φρουρῶν ἐν δίναις ἀληθῶς σύλλογον·
διό σε μακαρίζοντες
βοῶμέν σοι ἐν εὐλαβείᾳ·

Χαῖρε, ἡ ῥῶσις τῶν ἀσθενούντων·
χαῖρε, ἡ τρῶσις τῶν τυραννούντων.

Χαῖρε, τῶν γενναίων ἀγώνων ὁ σάπφειρος·
χαῖρε, παραδόξων θαυμάτων ὁ πρόξενος.

Χαῖρε, δρόσος ἀναψύχουσα τὰς καρδίας εὐσεβῶν·
χαῖρε, στῦλος ἀδιάσειστος τῆς στηρίξεως πιστῶν.

Χαῖρε, ὅτι ἐκχέεις συμπαθείας σου νέκταρ·
χαῖρε, ὅτι ἐκβλύζεις γενναιότητος φρέαρ.
Χαῖρε, πηγὴ ἰάσεων ἄφθονος·
χαῖρε, ῥοὴ χαρίτων ἀέναος.
Χαῖρε, πιστὸς στρατιώτης Ὑψίστου·
χαῖρε, λαμπρὸς στεφανίτης σταδίου.
Χαίροις, Μάρτυς Γεώργιε.

Πύργος τῆς ἀριστείας
ἀδιάσειστος πέλων
καὶ θέμεθλος ἀκλόνητος θάῤῥους,
ἐν τῆς πίστεως πύργῳ ἡμᾶς
προφυλάττεις πάντας ἐξ ἐχθρῶν, ἔνδοξε,
ἐπιβουλῆς, Γεώργιε,
τοὺς ψάλλοντας ᾠδαῖς εὐτάκτοις·
Ἀλληλούϊα.

Ῥείθροις τῆς χάριτός σου
καταρδεύεις καρδίας,
Γεώργιε, τῶν σοὶ προστρεχόντων
τὰς ἀνίκμους, σεπτέ, καὶ ξηρὰς
πρὸς καρποφορίαν δαψιλῆ, πάντιμε,
καὶ πίστει σοι ἑκάστοτε
βοώντων, τροπαιοῦχε Μάρτυς·
Χαῖρε, σταδίου ὁ ἀθλητάρχης·
χαῖρε, Κυρίου ὁ στρατηλάτης.

Χαῖρε, γεωργὸς εὐσεβείας ἀκάματος·
χαῖρε, φυτουργὸς ἀληθείας τῆς πίστεως.

Χαῖρε, δένδρον ἀγλαόκαρπον ἀγαπήσεως Χριστοῦ·
χαῖρε, μύρον εὐωδέστατον θεοβρύτου ἐκ κρουνοῦ.

Χαῖρε, ὁ τῶν εἰδώλων τὴν ἀπάτην συντρίψας·
χαῖρε, ὁ τῶν βασάνων τὴν πληθὺν ὑπομείνας.

Χαῖρε, φρουρὸς Κυρήνης καὶ καύχημα.
χαῖρε, σκηπτὸς τῆς πλάνης καὶ σύντριμμα.

Χαῖρε, δι' οὗ ὁ Χριστὸς ἀνυμνεῖται·
χαῖρε, δι' οὗ ὁ ἐχθρὸς ἐκμειοῦται.

Χαίροις, Μάρτυς Γεώργιε.

Σὲ ἀρωγόν, προστάτην,
ἀντιλήπτορα θεῖον,
Γεώργιε στεῤῥέ, κηδεμόνα
πάντες ἔχομεν καὶ βοηθὸν
ἐν τοῦ βίου δίναις, λυτρωτὰ ἔνδοξε
Κυρήνης ἐκ τοῦ δράκοντος
τοῦ στόματος, οἱ ἐκβοῶντες·

Ἀλληλούϊα.

Τίς τὴν σεπτήν σου κλῆσιν,
ἀριστεῦ τοῦ σταδίου,
θερμῶς ἐπεκαλέσατο, Μάρτυς,
αἰχμαλώτων ἐλευθερωτά,
καὶ οὐκ ἔσπευσας αὐτοῖς ἄνωθεν

φρουρῆσαι τάχος κράζομεν,
Γεώργιε, καὶ ἐκβοῶμεν·

Χαῖρε, ἡγῆτορ τροπαιοφόρων·
χαῖρε, ἀκέστορ τῶν σοὶ σπευδόντων.

Χαῖρε, ταχινὴ ἱκετῶν σου ἀντίληψις·
χαῖρε, ἡ θερμὴ σῶν προσφύγων παράκλησις.

Χαῖρε, ὅτι ἠλευθέρωσας Χριστωνύμους ἐκ δεινῶν·
χαῖρε, ὅτι πάντας ἔσωσας εὐσεβεῖς ἐκ συμφορῶν.

Χαῖρε, δρακοντοκτόνος ὁ ὀφθεὶς τῆς Κυρήνης·
χαῖρε, οὐρανοφόρος παροχεὺς τῆς εἰρήνης.

Χαῖρε, στεῤῥῶν ἀγώνων ψαλτήριον·
χαῖρε, πιστῶν ἐν μάχαις προπύργιον·

Χαῖρε, τερπνὴ χοϊκῶν θυμηδία·
χαῖρε, σεπτὴ ἀθλητῶν ἀγλαΐα.

Χαίροις, Μάρτυς Γεώργιε.

Ὕμνους οὐκ εὐτονοῦμεν
τεθηγμένους ὑφαίνειν
σῇ χάριτι, Γεώργιε μάκαρ,
ὅτι ἔδωκας πᾶσι πιεῖν
τῶν θεοπειθῶν σου προσευχῶν νάματα
ἐκ παῤῥησίας κρήνης σου
τοῖς ψάλλουσιν ἐν κατανύξει·

Ἀλληλούϊα.

Φαίνεις, δρακοντοκτόνε,
ἀστραπαῖς πᾶσι κτίσει
τῶν σῶν ἀρίστων κατορθωμάτων,
τροπαιοῦχε Χριστοῦ ἀθλητά,
καὶ ἐγείρεις πάντας πρὸς Χριστοῦ αἴνεσιν
τοὺς θεωμένους πλῆθός σου
θαυμάτων, οὓς βοᾶν σοι πείθεις·

Χαῖρε, λαμπὰς παμφώτων καμάτων·
χαῖρε, ψεκὰς ἀΰλων ναμάτων.

Χαῖρε, τρισηλίου φωτὸς οἰκητήριον·
χαῖρε, διαθέρμου εὐχῆς ἐντευκτήριον.

Χαῖρε, στῦλος οὐρανόφωτος ἀγωγῆς μαρτυρικῆς·
χαῖρε, φάρος θείας χάριτος Παρακλήτου τηλαυγής.

Χαῖρε, ὅτι τὸ σκότος τῶν εἰδώλων ἐλαύνεις·
χαῖρε, ὅτι τὸ μένος τῶν τυράννων ἐκτρέπεις.

Χαῖρε, φωτὸς ἀΰλου θησαύρισμα·
χαῖρε, παντὸς τοὺ κόσμου ἀγλάϊσμα·

Χαῖρε, Χριστοῦ Στρατηλάτης στρατείας·
χαῖρε, ἐχθροῦ συντριμμὸς τῆς μανίας·

Χαίροις, Μάρτυς Γεώργιε.

Χαῖρε, ὁ δροσοβόλος
ὑετὸς συμπαθείας
πρὸς πάσχοντας, Γεώργιε Μάρτυς,
ὁ πιαίνων ἀνίκμους ψυχὰς
καὶ ποτίζων πάντας σῶν εὐχῶν νάματα

τοὺς σπεύδοντας τῷ φρέατι
σῆς χάριτος καὶ ἐκβοῶντας·

Ἀλληλούϊα.

Ψάλλοντές σου ἀγῶνας
τοὺς στεῤῥούς, τροπαιοῦχε
Γεώργιε, ὑδάτων ποσίμων
πρὸς ἐκλύτρωσιν ἐκ φυλακῆς
δράκοντος εἰδώλων, εὐσεβεῖς θέλοντος
καταπιεῖν, μεγάλαθλε,
βοῶμέν σοι ἐν κατανύξει·

Χαῖρε, τὸ σέβας τῶν μεγαλάθλων·
χαῖρε, τὸ κέρας Χριστοῦ Μαρτύρων.

Χαῖρε, ὁ ἐγείρας τῆς πίστεως τρόπαια·
χαῖρε, ἁγιάσας σῇ χάριτι ὕδατα.

Χαῖρε, ὅτι ἠλευθέρωσας τῶν ὑδάτων τὴν ῥοήν·
χαῖρε, ὅτι κατηγλάϊσας Χριστωνύμων τὴν πληθύν.

Χαῖρε, ἔφιππε Μάρτυς, Στρατηλάτα Κυρίου·
χαῖρε, ὁ καθαιρέτης τοῦ δεινοῦ βροτοκτόνου.

Χαῖρε, ὀλέτης τάχιστος δράκοντος·
χαῖρε, προστάτης δήμου θεόφρονος.

Χαῖρε, πιστῶν καμνόντων συλλῆπτορ·
χαῖρε, ἡμῶν ἐν νόσοις ἀκέστορ.

Χαίροις, Μάρτυς Γεώργιε.

Ὦ Γεώργιε Μάρτυς,
ὁ αἰχμῇ δόρατός σου
τὸν δράκοντα συντρίψας εἰδώλων (ἐκ γ΄ )
καὶ Σταυροῦ τῇ δυνάμει πηγὴν
ἁγιάσας ὕδατος, στεῤῥὲ πρώταθλε
τοῦ σκάμματος τῆς πίστεως,
ἐπάκουσον ἡμῶν ψαλλόντων·

Ἀλληλούϊα.

Καὶ αὖθις τὸ Κοντάκιον.

Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Δρακοντοκτόνον στρατηλάτην εὐφημήσωμεν,
τροπαιοφόρον, πᾶσι νάματα δωρούμενον
ἀφθαρσίας ἀκενώτου Χριστοῦ ἀγάπης
ἐκ πηγῆς τῆς ζωηφόρου, καθαρτήριον
τῆς ἀπάτης τῶν εἰδώλων ῥύπου χεύμασιν
ἄθλων κράζοντες· Χαίροις, Μάρτυς Γεώργιε.

Δίστιχον.

Δρακοντοκτόνον Γεώργιον ὕμνησεν
Ἀθανασίου ὀτρύνσει Χαραλάμπης.

www.tezaurliturgic.ro

# ΕΥΧΕΤΗΡΙΟΝ ΤΡΟΠΑΡΙΟΝ

Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Σῶτερ, Λόγε Θεοῦ καὶ Θεέ,
τροπαιοφόρου Γεωργίου δεήσεσι
συντήρει ἐν ὑγιείᾳ
ἄμφω καὶ ῥώμῃ ψυχῆς
τὸν σεπτὸν Κυρήνης
ἀρχιποίμενα,
σεμνὸν Ἀθανάσιον,
τὸν μοχθοῦντα δι᾽ ἔκδοσιν
τήνδε, σὺν τέκνῳ
κατὰ πνεῦμα θεόφρονι
τούτου, Κύριε,
Ρωμανῷ, ἀναλώμασιν
οὗ βίβλος νῦν ἐκδίδεται
τοῦ Μεγαλομάρτυρος,
περικλεοῦς Γεωργίου,
Κυρήνης τοῦ ἀπαλλάξαντος
πηγὴν παναρχαίαν
ἐκ τοῦ δράκοντος ὀδόντων,
Χριστὲ φιλάνθρωπε.

www.tezaurliturgic.ro

# ΠΕΡΙΕΧΟΜΕΝΑ

ΧΑΙΡΕΤΙΣΜΟΣ ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΠΑ ΚΑΙ ΠΑΤΡΙΑΡΧΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ ΘΕΟΔΩΡΟΥ ΤΟΥ Β΄ ........ 11

ΕΙΣΑΓΩΓΙΚΟΝ ΣΗΜΕΙΩΜΑ ........ 13

ΠΡΟΛΕΓΟΜΕΝΑ

ΤΑ ΘΑΥΜΑΤΑ ΤΩΝ ΑΓΙΩΝ ΘΑΥΜΑΤΑ ΧΡΙΣΤΟΥ .... 15

Ἅγιος Μεγαλομάρτυς Θεόδωρος, ὁ Τήρων ........ 105

Ἅγιος Μεγαλομάρτυς Θεόδωρος, ὁ Στρατηλάτης ........ 127

Ἅγιος Μεγαλομάρτυς Προκόπιος ........ 152

Ἅγιος Μεγαλομάρτυς Παντελεήμων, ὁ Ἰαματικὸς ........ 173

Ἅγιος Μεγαλομάρτυς Δημήτριος, ὁ Μυροβλύτης ........ 204

Ἅγιος Μεγαλομάρτυς Μηνᾶς ........ 223

Ἅγιος Μεγαλομάρτυς Μερκούριος ........ 238

Ἅγιος Νικόλαος, Ἐπίσκοπος Μύρων ........ 253

Ἅγιος Μεγαλομάρτυς Γεώργιος, ὁ Τροπαιοφόρος ........ 297

ΕΠΙΛΕΛΕΓΜΕΝΗ ΒΙΒΛΙΟΓΡΑΦΙΑ ........ 396

ΔΡΟΣ ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ, ΑΚΑΘΙΣΤΟΣ ΥΜΝΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΔΡΑΚΟΝΤΟΚΤΟΝΟΝ ΓΕΩΡΓΙΟΝ ΤΟΝ ΤΡΟΠΑΙΟΦΟΡΟΝ ........ 397


ВЕЛИКОМѸЧЕНИКЪ ГЕѠРГІИ ПОБѢДОНОСЕЦЪ

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro